1. περὶ Ald.; εἰς Sch. || προυπάρχον Sch. sy. ex Photii Bibl.; ὑπάρχον Ald. || δὲ post οὔσης et καὶ post φορᾶς e Photio assumsi. || ῥέπῃ correxi; ῥέῃ edd. 3. κἂν corr.; καὶ edd. || ἢ μόνοι Heins. Sch. sy.; ἢ μόνον Ald.; καὶ μόνοι Sch. || αἱ αἰτίαι corr.; αἰτιᾶται Ald. edd. 4. εἴ τις — στρέφων retinui scripturam Aldinae, quam Schn. ex Photio auctam dedit. 5. τῷ αὐτῷ Sch. sy.; τούτῳ Ald. edd. 9. διίστησι — διιστάμενα de coni. Useneri in Alex. Aphrod. Problemata, Berolini 1858, p. XIII et p. 11, cuius iam partem Schn. ex Photio invenerat; διίστησι καὶ ἡ στάσις τῆς ὄψεως διάστασις ἑνὸς μορίου· καὶ τἄλλα — ἐγκεφάλῳ συνίστασθαι. διιστάμενα δὲ etc. Ald. || σῴζεται scripsi de coni.; ἄλλοτε Ald. edd. || μὴ κινούμενος. negationem addidi cum Usenero, quae tamen in Ald. edd. omittitur. 11. ἔνδεια. Usener e Probl. 43 addere iubet εἰς τὰ κενά. || αμφότερα γὰρ ταῦτα καταβαρύνει dedi de coni.; ἀνιοῦσα γὰρ ταῦτα καταβαίνει Ald.; ἀνιοῦσα γὰρ παρ' αὐτὰ καταβ. Sch. || ἐφίστησι Usener l. l.; διίστησι Ald. edd. 13. σφαλερόν. Usener l. l. φανερὸν scribere suadet. || ἀποκλῖνον corr. Usener; ἄγον Ald. edd.

Fragmentum IX. περὶ ἱδρώτων.

Editio princeps: Aldina fol. 451ᵛ — 455ᵛ. — Camotiana p. 560 — 568.

Codices AQ. cf. Fr. V.

1. ἐξ Sch. sy. cum Furl.; μεθ' Ald. || συμφύτου Sch. sy.; ὡς τούτου Ald. || εἴ γε correxi; εἴ τε Ald.; ὅτε Sch. 2. ἐν τῇ προσφύσει Sch. sy. ex Arist. Probl. 2, 2; πρὸς φύσιν Ald. || συνεχὴς δ' οὐχ ἧττον ἡ Sch. sy.; συνεχὲς ἧττον ἡ Ald. 4. ἀλυσιτελοῦς Sch. sy. corr.; ἀλυσίου Ald. || πᾶν correxi; πάλιν Ald. 5. τούτοις — αἰτίας corr. Sch. sy.; τούτων αἰτίας ἐστὶ καὶ Ald. deinceps καὶ ante ὅτι cum Schn. sy. sustuli. 7.

Digitized by Google

τοῦτο correxi; *τούτοις* Ald. 8. *οἱ ἐν ᾗ.* Sch. sy.; *τῶν ἐν ᾗ.* Ald. || *εὔπνουν — ἐκκρίνεται* dedi ex interpolatione Grangerii fere cum Sch.; *ὕπνουν . . . ἀπερίπτωτον καὶ οὐδ . . . εται* Ald. 10. *ἀναδιδῶσι* correxi; *ἀναδίδωσι* Ald.; *ἀναδοθῶσι* Sch. || *κατεργασίᾳ — τῆς ὑγρότητος* scripsi praeeunte Sch. in comm. p. 784; *κακεργασία — οἷά τις ὑγρότης* Ald. 12. *εἰκάσθαι* Sch. sy.; *εἰκάσαι* Ald. || *ἀνακεχρωσμένης* Ald. Sch. sy.; *ἀνακεχωρισμένης* Furl. Heins. Sch. 13. *ὅπερ ἐνίοτε* Sch. sy.; *ὑπέρευ ὅτε δὲ* Ald. 14. *καθάρσει — τόπον* scripsi de coni.; *καὶ δὴ — τρόπον* Ald. 15. *δὲ τῇ κ.* Sch. sy.; *δ' ἐν κ.* Ald. || *ἀπέπτων* correxit Sch. II, 612, in syllabo *περιττωμάτων* scribere iussit; *ἀεὶ αὐτῶν* Ald. 16. *ταύτῃ ποιούμενον.* forsan scribendum *ἄλλως παύοντα.* || *πυριάσει* cum Coraio Sch. syll.; *περικαύσει* Ald. 17. *πόρους* Ald. Heins.; *πόνους* Sch. 18. *τούτων* monente Sch. corr.; *τούτου* Ald. || *ὥςπερ συγκεκλειμένους* Sch. sy.; *ὥσπερ νῦν κεκλ.* Ald.; *ὥσπερ γυναικῶν κεκλειμένους* Grangerii coniecturam posuerat Sch. 19. *ἣ γὰρ* Sch. sy,, addito *δὲ* post *ἑκατέρα*; *ἡ γὰρ* Ald. 21. *τε καὶ οἱ ἀ.* Sch. sy.; *δὲ καὶ ἀ.* Ald. 22. *τοῦτο* dedi e correctione Sch. idem deinceps *τοῖς καταπεπεμμένην τὴν τροφὴν ἔχουσι* in syll. praescripsit. 25. *καὶ ὅτι οὐ π.* correxi; *καὶ οὐδ' οἱ* Ald.; *καὶ διότι οὐχ οἱ π.* Sch. 26. verba *καὶ ἡ κάθεξις — ἐμφράττοντος*, quae Sch. post *ἐκπίπτειν* posuit, in veterem restitui locum. || *ἔπειτα δὲ — πρὸς* dedi de corr. quam partim Sch. praecepit; *τὰ δὲ καὶ ἡ ἀπόκρισις ἡ ὑπὸ θ. γ. διὰ τῶν πόρων ἐκ τοῦ ὑγροῦ πνεύματος ἣ καὶ ἄγει πρὸς* Ald. || *ἅμα* corr. Sch. sy.; *ἅπασα* Ald. 28. *ἰδίσειεν* A; *ἱδρώσειεν* Ald.

29. *ποιεῖ μὲν γὰρ — κωλύει* om. Ald. edd.; ex A suscepit Sch. sy. 30. *οἱ δὲ — οὐχ* corr. Sch. sy.; *τὰ δ' ὑπὸ τοῦ ὕδατος κάτω φερόμενα μέρη τοῦ σώματος οὐχ* Ald. 37. initium paragraphi ex Probl. 27 interpolavit cum Grangerio Sch., sed verba insuper addita *καὶ οὐχ — θερμαίνεσθαι* in syllabo resecuit. 38. *ἱδρὼς — ἐγένετο καὶ* om. Ald., interpolavit Sch. ex Probl. 2, 18. idem supplementum hoc modo scriptum praebuit A *ἱδρώτων τὸ ψυχθὲν καὶ ὑγρὸν γενόμενον προσπεσὸν*, quae sic corrigenda esse videntur Schneidero *γινόμενον ἱδρὼς τὸ δ' ἔσω ψυχθὲν καὶ ὑγρὸν γενόμενον καὶ πρ.*

Digitized by Google

Fragmentum XI. περὶ παραλύσεως.

Καταψυχομένου Sch. addere iussit in comm. et sententiae complendae causa necessarium. || *ἄλλῳ τινὶ τρόπῳ* scripsi cum versione Furlani; *ἄλλου τινὸς τρόπου* Ald. edd.

Fragmentum XII. ἐκ τῶν μετὰ τὰ φυσικά.

Editio princeps: Aldina 1497 etc. f. 117—121ᵛ. — Camotiana 1552 p. 599—608.

Codices: Vaticanus 1302 (A), Laurentianus pl. 28, 45 (B), Marcianus 211 (C), Parisiensis 1853 (P), comparati a Brandis.

3. *ἔχειν* correxi; *ἔχει* vulgo. 4. initio dedi de coni. *εἰ δ' ἑτέρα*; *ἡ δ' ἑτέρα* edd. || *πειστικωτέρως* P Ald.; *πιστικωτέρως* Brand. 8. *ἔμψυχα εἶναι* coni.; *ἔμψυχ' ἂν εἶναι* edd. 11. *ἂν* post *φθείροι* ut spurium seclusi. || pro *ἄρ'*, quod libri habent, *ἀρχῶν* scribendum esse videtur. 14. *τῇ γραμματικῇ καὶ μουσικῇ* scripsi de coni.; nominativos dant A P Ald. et inverso ordine B C. || *οἱ μὲν — τῆς ὕλης* dedi de coni.; *οἱ μὲν οὖν ἐμμόρφους π. — οἱ δ' ἄμφω τάς τ' ἐμμόρφους* P C Brand.; — *εὐμόρφους π. — τάς τε ἀμόρφους* A; — *ἐμμόρφους π. · τάς τε αμόρφους* Ald.; *οἱ μὲν οὖν ἐμμόρφους πάσας τίθενται, οἱ δὲ μόνον ἀμόρφους τὰς ὑλικάς· οἱ δ' ἄμφω τάς τ' ἐμμόρφους καὶ* B. 15. *σάρξ.* videtur *σωρὸς* scribendum esse. || *τί πλέον* A Ald.; *τί τὸ πλ.* B C P Brand. || *ἢ εἰς τὸ χεῖρον μετάβασις*; *ἡ* — Ald.; *εἰ εἰς τὸ χ. ἡ μετ.* P Brandis. ab initio *ἢ εἰς* B, dein articulum omittunt A edd. 16. *ἄτοπον* adiunxi cum B, om. ceteri. || *μὴ ἀεὶ τὸ* correxi; *μὴ δεῖ τὸ* P; *μὴ δὴ τὸ* A C Ald. Brand.; *καὶ ὡς δεῖ τὸ* B. 17. *δυνάμει μὲν ὂν* de coni.; *δ. δ' ἓν καὶ* vulgo. || *γένεσις τῆς οὐ. ἕνεκα τὸ μ.* dedi de coni.; *γ. ἡ οὐ. γε αὐτῶν τῷ μ.* B P Brand.; — *αὐτῶν τὸ μ.* A Ald.; *αὐτῶν τῶν μ.* C. 20. *ἣν — τινός* ut vitiosa notavi. || *ἐνίων μὲν τὸ κ.* de coni.; *ἐνία τῶν μὲν κ.* libri. 22. *καὶ ὑπὸ τὴν* A C P Ald.; *καὶ τὰ ὑπὸ τὴν* B Brand. ante *ἑπόμενα* adieci *τά*. 24. *ἐπεὶ* coni.; *ἢ* libri. 27. *διὸ — δῆλον* ita scripsi mutato *καὶ* in *εἰ* et *κινεῖται* assumto ex C, praeterea correcta interpunctione. *διὸ καὶ ἡ ἐν. — ἐνεργῇ καὶ κινῆται, — φυτοῖς· εἰ δὲ μὴ ὁμώνυμα, δῆλον* Brandis. 28. *εἴ γε* sua-

Digitized by Google

dente Sylburg. scripsi, interpunctionem correxi. εἴτε libri. ὑπὲρ δὲ τοῦ — ἄλλως θ' ὁ — δὴ τῷ ἔνια μὴ dedi ex emendatione Useneri (Anal. Theophr. 1858 p. 48); ὑπὲρ δὲ τοῦ, — ἀλλ' ὡς ὁ — δὴ ἔνια τῷ μὴ libri; — τῶν μὴ A Ald. 29. τῆς ὑγρότητος correxi; καὶ ὑγρότητες libri. 33. ἐν ante ἐναντίοις cum Sylb. addidi. 34. τὰς post περὶ cum interpr. lat. Bessarionis adieci.

Fragmentum XXX. Usener Analecta Theophrastea p. 38—40. — Aldina fol. 233ᵛ — 234ᵛ. — Camotiana p. 646 — 648.

1. κατασκευάζειν corr. Usen.; κατασκευάζει libri. || ἐπ' Usener; ἔτι libri. || αὐτῆς Ald.; αὐτῇ libri. 4. δὲ ante καὶ restituit e libris mss. Mang. || τοῦ ante πυρὸς adiecit Usen. 5. χρήσονται e mss. Mang.; χρῶνται Ald. || πάντα τὰ μ. Ald. Cam. Usen.; τὰ om. libri. 6. τὸ τῶν ἀ. Ald. Usen.; τὸ τῶν om. libri. || φανῆναι. Usener coniicit φανήσεται. μύθων hic deesse quaedam animadvertit Mangeyus.

Fr. 33. ἢ ὡς adiecit Usener de coni.; μὲν ante ἐκ posuit Usen. e Plutarcho II, 20; ante τῶν habent libri Stobaei. — Fr. 37. χρόνον φασὶν cod. Paris. 1907; χρόνον εἶναί φασιν Ald. — Fr. 39. ἐξ αὐτῆς corr. Usener; αὐτοῦ edd. — Fr. 42. ἰλύος Froben. Usen.; *limo* mg. Aldobrandinae interpr.; ἡλίου libri. || ψυχὴν ταὐτὸν Usener de coni.; αὐτὸν libri; αὐτῶν de coni. Wyttenbachii Huebner. — Fr. 46. ἐνῆν Usen. coni.; ἦν libri. || ἐγέννησε pr. A O (A est codex quidam a Brandisio collatus, O est Laurentianus 85, 1); ἐγέννησαν Ald. Verba καὶ οὕτω μὲν — ad finem fragmenti usque exscripta sunt ex altero loco Simplicii f. 33. — Fr. 48. ἐπέδωκεν Ald. Usen.; ἀπέδωκεν D (codex quidam a Brandisio comparatus). || θεοῦ D Usen.; θείου Ald. — Fr. 49. ἔχον. Usener coni. ἔχοντες. — Fr. 53. τούτων Bekk.; τούτου Ald. Sch. || ἔτι τε δὴ dedi de coni.; εἰ δὲ δὴ vulgo. || παντελῶς de coni.; παντέλειος Ald. — Fr. 87. Forsan καταυλήσειε scribendum. — Fr. 88. καθάπερ. Hic partem huius fragmenti penitus vitiosam et ad rem parum gravem omisi. || προδάγειν. Schn. προσήγαγε coniicit. equidem potius pro ἐποίησε scripserim ποιῆσαι. — Fr. 89, quod inest in Porphyrii

Digitized by Google

commentario ad Ptolemaei Harmonica edito a Wallisio, Operum t. III p. 241 — 244 e codd. mss. tribus Barocciano bibliothecae Bodleianae (D), Oxoniensis collegii Magdalenensis (M), et tertio Bibl. Bodleianae (E), intellectu difficillimum, haud dubie valde pessumdatum est; quaedam Schneider corrigere conatus est, paucula nos tentavimus.

1. *μελῳδητικὸν*; *μελῳδικὸν* ME. || *φωνῇ* Sch.; *φωνὴ* Wall. || *αὐτὸ* Sch.; *αὐτὸν* Wall. || *ἐπεβάλοντο εἰς* Sch.; *ἐπέβαλον, τὸ εἰς* Wall. 2. *εἰ μέν τι* codd.; *εἰ μέν τοι* Wall. Sch., qui se *μὲν τῇ* malle ait. deinceps *ὥστε ἡ χρόα* ME. — *μέρος* quod intra uncos est Wall. supplevit. locum vitiosum sic fere emendari posse crediderim: *εἰ ἐν τῇ ποσότητι ἡ διαφορὰ γίγνεται αὕτη, πᾶν τὸ ποσότητι διάφορον κἂν μέλος ἢ μέλους μέρος εἴη· ὥστε καὶ ἡ χρόα, χρόας εἰ ποσότητι διαφέροι· ὅπερ ἀνάγκη, εἴ γε τὸ μέλος καὶ τὸ δ.* verba *κἂν μέλος ἢ μέλους* ex errore repetita esse puto. || *τοιόνδε* MESch.; *τοιόντε* DWall. Sch scribi vult *τὸ μέλος, ὅτι τοιόνδε, ἀριθμὸς ἂν εἴη.* mihi venit in mentem *τὸ μέλος ὅτι ἀριθμητὸν δῆλον ἂν εἴη.* 3. *μηδὲν ἄλλ' ἢ ἀρ.* dedi ex coniectura Schneideri; *μηδὲν ἀλλὰ ὁ ἀριθμὸς* Wall. Sch. || *συμβέβηκε* ex Schneideri correctione; *συμβεβήκοι* Wall. Sch. || *ὁ ἀκουστὸς* Sch.; *ἢ ἀκ.* codd.; *ὁ ἀριθμὸς* Wall. || *εἰ μὲν ὡς.* voculam *ὡς* adiecit Wall. 4. *εἰ δὲ ἡ* correxi; *οἱ δὲ ἡ* D; *εἰ δὲ οἱ* ME; *εἰ δὲ ὡς* Wall. Sch. || *εἴδησις.* Sch. coniicit *αἴσθησις.* || *οὕτως — ἴδιον* om. D. Sch. coniecit *καθὸ ἕκαστον ἐπιτέτακται ἴσον.* 5. *γὰρ ἢ ταύτην* DWall.; *γὰρ καὶ τ.* MESch. || *διὸ βραχύτερον.* haec verba, ut e proxime sequentibus errore hic inserta, seclusi. Sch. voluit *διὸ τράχηλον μακρότερον ποιοῦσι*: at id inest verbis *βίᾳ ἀποστενοῦντες.* 6. *τοιαύτης ἔοικεν — δεῖν* correxit Sch.; *τὸ αὐτῇ εἴκειν — δεῖ* Wall. 8. *κινοῖτο* corr. Sch.; *κινεῖται* Wall. || *εἰ διὰ* Wall. Sch.; *ἢ διὰ* codd.; *εἰ δὲ διὰ* mavult Sch. || *σύμφωνος οὗτος* Wall. Sch.; *σ. αὕτη* codd. || *μὴ* seclusit Sch.; *μὴν* Wall. 9. *τῷ θάτερον — ἢ τῷ — ἀλλὰ τῷ* corr. Sch.; *τὸ θ. — ἢ τὸ — ἀλλὰ τὸ* Wall. 10. *ἐκινεῖτο.* mihi *ἐξικνεῖτο* vera scriptura esse videtur. || *ἐπαίσθοιτο* corr. Sch.; *ἐπαίσθητο* Wall. 11. *προκατελαμβάνετο.* activum mavult Sch. 12. verba in initio paragraphi intelligi possunt, si *γὰρ* deleas et verba *οὐδὲ — φασιν* parenthesin facere statuas. sed sequentia *ἐπειδὴ*

Digitized by Google

— *αἴτια* non expedio. Sch. proposuit: *γίγνεται. τὰ δὲ αἴτια.* || *ἐκμέλεια παραπ.* de coni.; *ἐμμέλεια π.* Sch. 13. *τόπους ἄρ' οὖν.* Sch. coniicit *τόνους, ἄρ' οὐκ.* || *ἧς καὶ* corr. Sch.; *οἷς καὶ* Wall. 14. *οὔτ' οὖν* correxi; *ἅτε οὖν* cum codd. Wall. Sch., qui *οὐ* adiecerunt. || in fine verba addita leguntur *ἢ εἰ μὴ ἦν.* — Fr. 97. 2. *πράττουσι* correxit Heyne Opusc. Acad. 2, 152; *προστάττουσι* Stobaei libri Sch. || *ἐωνημένων* corr. Heyne l. l. Sch.; *ὠναμένων* edd. Stobaei. || *προσορμίζειν.* Sch. coni. *προσορίζειν.* 4. *ὅρκον* corr. Sch.; *οἶκον* Stob. Sch. || *παρανομοῦντος.* Sch. coni. *παραφρονοῦντος.* || *ἔοικε* forsan *εἴωθε* scriptum fuit. — Fr. 103. *ἀπειλὴν* Sch.; *ἀπειλεῖν* Porson. — Fr. 116. G. Herm. ad Arist. Poet. p. 185 corrigit *θνήτ' ἐφύοντο — ζωρά τε πρὶν κέκρητο δ. κ.* — Fr. 159. *διό·* Casaub. ex Eustathio *ὅτι καὶ* scribi maluit. Sch. ante *διὸ* et post *λιτρώδη* lacunam indicavit. || *Φέτρᾳ.* Casaub. aut *Φεραῖς* aut *'Αφέταις* scribendum esse coniecit. || verba *καὶ τὸν ἐν Καρίᾳ* praeeunte Dalecampio Casaub. e Plinio 31, 5, 30 interpolavit. sed Porson Advers. p. 47 ed. Lips. comparato loco 8, 337. c. corrigi vult *καθὰ τὸν ἐν Καρίᾳ παρ' ᾧ Ζηνοποσειδῶνος ἱερόν ἐστιν.* || *ἀποσφαιροῦντες.* Sch. coniicit *ἀφαιροῦντες.*

Fr. 171. *περὶ ἰχθύων τῶν ἐν τῷ ξηρῷ διαμενόντων.* Ald. 1497. F. 435 v — 439. Camot. p. 530 — 533. Codd. AQ, cf. Fr. V. — 1. *καὶ* ante *μᾶλλον* adiecit Sch. || *ἐμὺς*; A. Q. *ἡ μῦς*; *ὁ μῦς* Ald.; *ἡ ἐμὺς* Sch. e Plin. 9, 35 et 76 et Aristot. H. A. 5, 28. || *ἄτοπος δ' ἂν αὐτοῖς*; *ἄτοπος δ' ἂν τοῖς* AQ; *ἄτοπον δ' αὐτοῖς* Ald.; *ἄτοπος δ' αὐτοῖς* Sch. 2. *τρώγλαις* corr. Furl. Sch. ex Pseud-Arist. Mirab. 73, unde etiam Sch. verba *ἐπὶ τὰς ἅλως* supplevit; *στρογγύλαις* AQ Ald. || *καὶ* post *ὥςπερ* accessit ex AQ. 3. *διαγίνονται* corr.; *διαγένηται* Ald. edd.; *διαγίνεται* Sch. sy. || *ἄλλοι δὲ* Furl. Sch.; *ἀλλοῖοι δ'* AQ Ald.

4. *ἢ* in fine seclusit Schn. Forsan scribendum *τοιοῦτον ἰχθύων γένος οἷον ὀφιῶδες.* 6. *γ' ὧν* de coni Schneideri; *γοῦν* libri. || *εἰ μὴ καὶ.* scribendum erit *εἰ καὶ μή.* 7. *καθάπερ — τῶν ἐν* scripsi ex A omisso tantum *γὰρ* post *καθάπερ.*; *κ. τῶν περὶ* etc. Ald. Schn. in addendis scripturam turbavit. || *ἐν τῇ γῇ ὥσπερ* dedi de conj.; *ἐν τῷ ζῆν ἢ καὶ* Ald.; *ἐν τῷ πηλῷ ζῆν ἢ καὶ* Sch. *ὥσπερ* sumsi e Pseud-Arist. Mirab. 74. || *διαρκοῦντας* Sch. ex eodem et cod. A; *διαναρκῶντας*

Digitized by Google

Ald. 8. οἳ correxi ex Athenae. p. 331; καὶ Ald. 9. κεντρίσκος. Dubitabat Schn. num e Suida κεστρῖνος an ex Athenaeo κεντρίνισκος scribendum esset. 10. ἡ ἔγχελυς corr. cum Furl. Schn.; ἡ ἔγχυσις A; καὶ ἄγχυσις Ald. 11. δέ τι coni.; δὲ τὸ libri; τὸ seclusit Sch. || διανάειν A Sch. sy.; διανοεῖν Ald.; δεῖ διανοεῖν Heins.; δεῖ νοεῖν Schn.

Quamquam ratio huius editionis non permittit pleniorem scripturae expositionem, quamobrem in proximis ea tantum exposui, quibus haec editio a prioribus differt, tamen ne quidquam quod bonae frugis esse possit, omisisse videar, hic adiungenda duxi et quaedam, quae Philippson in Ὕλη Ἀνθρωπίνη Berolini 1831 ad libellum de Sensu et Sensilibus attulerat, vel coniecturas vel emendationes, et scripturas eas, quas ad emendandum fragmentum duodecimum, Metaphysica inscriptum, nuper proposuit Usener (Rheinisches Museum 1861 p. 259 — 281), quem de hoc genere literarum optime meruisse constat.

Ad Libellum de Sensu et Sensilibus hae sunt scripturae a Philippson commendatae et in editione eius receptae. § 5 πυρὸς ἐξιοῦσαν μέχρι τινὸς συμφύεσθαι τῇ ἀπορροῇ· διὸ καὶ τὸ χρῶμα φλόγα εἶναι ἀπὸ τῶν σωμάτων, σύμμετρα μόρια τῇ ὄψει ἔχουσαν, ὡς ἀπορροῆς τε γιγνομένης, καὶ δέον οὖν ἁρμόττειν ἀλλήλοις. καὶ οὕτως .. — § 6. ἀέρος δι᾽ ὤτων ἐγκεφάλου τε καὶ αἵματος μ. ψ. ex Platonis Timaeo p. 381., ut mox ὑπὸ ταύτης. — § 8. ὁμοίως τὰς ὄψεις ἐκ τῶν ἀντικειμένων, ἀλλὰ ταῖς μὲν μεῖζον, ταῖς δ᾽ ἔλαττον, καὶ ταῖς μὲν cum supplemento. — § 9. κινηθεῖσα ἠχῇ. — § 10. Post τούτων addit στοιχείων. — § 15. εἴη ἀναισθησία. Dein ὥστ᾽ εἰ οὖν τῷ ὁμοίῳ ἡ αἴσθησις, ἤγουν διά τινα συμμετρίαν οὐ κρίνουσιν, ἁπάσας. — § 18. μᾶλλον ὁρᾷ cum Steph. — § 19, 11. ante ἀπαθῆ addit οὐκ. — § 20, 8. καὶ συμβαίνει τὰς ὀ. — § 23. καὶ γὰρ ἀλλοῖα μεθ. — § 27. δὲ πειρᾶται. — § 30, 12. post λεπτῆς addit ὀσμῆς. — § 31. αἴσθησις· οὔτε γὰρ τὸ ἐν. lin. 9. οὐδὲν δὲ τῶν φύσει. lin. 12. ante χώρις addit οὐ. — § 39. σύμμετρον τῇ ὀσμῇ· τὸν γὰρ ἐγκέφαλον αὐτὸν μόνον λεπτότατον καὶ ἀσύμμετρον καὶ οὐ μίγνυσθαι ταῖς ὀσμαῖς. — § 41, 8. λεπταὶ καὶ τὸ παρὰ τῇ αἰσθήσει καὶ τῇ ἀκοῇ τρῆμα

Digitized by Google

βρ. — § 44, 12. *εἶναι· οὐ γὰρ δύνασθαι συνιέναι· συμβάλλεσθαι — γλῶτταν· τὰ δὲ φ.* — § 47, 5. *φρονεῖν, ἔτι δὲ καὶ τὸ λυπεῖσθαι καὶ ἀγνοεῖν τῇ ἀναπνοῇ* cum supplemento e § 43 et 23 petito. — § 55, 12. *οὕτω τῇ ἀκοῇ ἐντὸς* cum Schn. — § 61. *κατ' αὐτά* — § 62, 13. Post *ὁμοίως* addit *μανόν.* — § 65, 9. Post *ἄλλους* addit *χυλοὺς* et post *ἄλλα* addit *σχήματα.* — § 71, 3. *ἐπὶ νεκροῦ μοῖραν* scripsit e Plutarcho plac. philos. 4, 4. — § 72, 10. *καὶ τὸ κατακείμενον.* l. 11. post *ὁμοίων* addit *ἢ ἐξ ἀνομοίων.* — § 73, 15 post *θέσιν* addit *πρὸς ἄλληλα.* § 77, 3. *μακρὰν* cum Par. et Flor. scripsit. — § 78, 7. *τοσοῦτον ἐπεμεμίχθαι.* — § 79, 7. *τῆς φορᾶς ἀλλὰ μᾶλλον δοκεῖ ἡ θέσις.* l. 16. *τὰς πρὸ τῶν τειχῶν ἔχει βωμίδας.* — § 81 extr. *ἢ καὶ ἄλλῳ γίνοιτ' ἂν ἢ μέλανι καὶ ποίῳ οὐ δ.* — § 82, 15. *προσαφορίζει σχεδὸν ὁμοίως τοῖς πλείστοις· οὐδὲν γὰρ ἴδιον εἴρηκε γε, πλήν.* — § 83, 4. *ὀξύτητα τῶν πλευρῶν καὶ λεπτότητα τῶν γ.* supplemento petito ex Plat. Tim. p. 370. l. 5. *ὑγρότητος τῆς περὶ τὸ σῶμα τὰ μείζω, ἐκκρίνοντα τὰ ἐλάττω,* omissis dein verbis *τὰ μείζω,* indidem scripsit. — § 84 in. *ἡδὺ δὲ καὶ ἀλγεινὸν τὸ μὲν εἰς φύσιν ἀπιὸν ἀθρόον.* — § 84, 3. *αἰσθητά.* l. 8. *τοὺς πόρους καί.* l. 9. *τὰ δὲ ἧττον τραχύνοντα.* l. 11. *ἐκτήκειν τῆς γλώττης τι τῆς φύσεως πικρόν.* — § 85, 4. *ἐπιφραχθέντες βίᾳ ἀνασπ.* l. 12. Post *βραδείας* addit *φορᾶς.* — §. 90, 2. *εἰ μή ἐστιν.*

Usener ad libellum Metaphysicorum has proposuit tum emendationes tum coniecturas. § 2 verba *ἑκάτερα κεχωρισμένα* sedem mutare et *κεχωρισμένα ἑκάτερα* scribere praecipit. l 8. *τὰς μὲν ἀρχὰς* scribendum esse censet. l. 9. *καὶ ὥςπερ αἴτια τὰ ἀΐδια τῶν φθαρτῶν.* — § 3, 4 pro *παντὸς* fuisse *περᾶναί τι* coniicit. l. 7. veram scripturam *οὐχ οἷάτε συνάπτειν* W. Hoffmannum reperisse refert. — § 4, 4. post *οὖν* excidisse *οὐσίαν* censet. — § 5, 7. post *κυκλικὴ* inserendum *κίνησις.* l. 8. *καὶ ἐκεῖνο* restituit praeeunte Camotio in comm. — § 8, 9. post *λέγοι* inserit *ὅτι,* et mox praeeunte Hampkio *μεταφορὰν* pro *διαφορὰν* scribendum esse monet. l. 10. *ψυχῇ* scribit. l. 12. verbis *ὥσπερ καὶ τοῖς ζώοις* substituenda esse coniicit *ἀνθρώποις τε καὶ ζώοις.* l. 13. *ὅμως ὡς ἐμψύχοις* emendat. — § 9, 11. *ἀσύνετον* corrigit. — § 10, 14. commate post *ὅμοια* sublato post *εἶναι* distinguendum esse praecipit. —

Digitized by Google

§ 11, 11. *ἄλλων, ἄν τις ἄρα τίθηται* scribendum esse censet. — § 12, 8. *χρόνον θ' ἅμα* scribi vult et hoc comma in archetypo propter constructionis duritiem damnatum, et eius loco verba proxima *τοῦ δ'* — *μνεῖαν* substituta, illud igitur omittendum esse censet. — § 14, 5 post *Καθάπερ* inseri *Πλάτων* iubet. — § 15, 5. Verbis vitiosis *ὥσπερ σὰρξ εἰκῇ* substituere voluerat *ὥσπερ ἐξ ἀστρίων* (l. *ἀστραγάλων*) *εἰκῇ* Bergk Comm. crit. Marp. 1850. Usener commendat *σωρὸς*, quod et ego proposueram. l. 13. pro *ἑτέρων* scribendum esse *ἀστέρων* docet. — § 16, 8 *τὸ κινούμενον* et l. 12 *ὃ κινεῖται* emendat. ibidem *τὸ ποιοῦν* coll. Arist. de gener. 768 b, 16. l. 6. *ἀντικαταλλακτέον* scribendum, l. 7 *ἐν* omittendum et l. 19 *μεριστῶν ἢ* corrigendum esse censet. — § 17. Verbis *δυνάμει μὲν ὂν* substituit *δ. δ' ὄν*. l. 5. *εἰ δὲ γένεσις ἡ οὐσία γε αὐτῶν τὸ μ.* coniicit. — § 18, 9. *ἀλλήλοις ἀλλὰ καθάπερ τὰ λευκὰ καὶ μέλανα ἐν ἐναντίοις* emendat. — § 20, 4. *ὁμοίως δὲ* scribi vult, l. 6 post *οἷον* addit *ἐν*, l. 9 *τῶν δ' ἐν μέρει* restituit. — § 21, 3. *δὲ τῷ κατ' ἀν.* emendat. — § 26, 6. *βλέποντες* scribit. Deinceps *τῷ νῷ τῶν τοιούτων ἡ θεωρία θιγόντι*, coniunctis scripturis codicis Paris. et editionum Camotii et Stephani scribendum esse iudicat. l. 12. *περὶ τὴν τῆς φ.* emendat. — § 27, 7 pro *ἡμέρων* scribendum *ἢ μερῶν* monuisse refert Spengelium Münch. Gel. Anz. 1843. — § 29, 11. *ἐλάφων τοῖσδε λελωβημένων κνήσει* cum codd., collato Arist. hist. an. p. 611 b, 15 scribendum esse censet. — § 30, 5 pro *τούτων* scribendum *του* proponit. l. 10. forsan *μὴ πεφυκότ' οὖσι* fuisse arbitratur. — § 31 init. *εἰ δὲ μὴ τοῦ θ' ἕνεκά του* coniicit. l. 4. *λέγομεν ἃ* in *λεγόμενα* mutandum esse docet. l. 5 post *ἅπασιν* addendum *ἀνάγκη* censet. — § 32, 7. *πλῆθος εἶναι τὸ κ.* emendat. l. 8. *καθάπτεσθαι τῆς φ. ἀμαθεστάτου ἐστί* scribi posse putat. l. 11. *ἄκρα* mutat in *ἀθρόα*. § 34, 4. *τό τινος χάριν* scribit. — Qua emendationum optima sylloge me non uti potuisse, antequam contextus typis exscriberetur, valde doleo. Nunc lectores his breviter relatis utentur aut potius libellum ipsum lectionum causas habentem adibunt.

Digitized by Google

Digitized by Google

FRAGMENTUM I.

ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΣ ΚΑΙ ΑΙΣΘΗΤΩΝ.

CAP. I. *Περὶ δ' αἰσθήσεως αἱ μὲν πολλαὶ καὶ κα-* 1
θόλου δόξαι δύο εἰσίν· οἱ μὲν γὰρ τῷ ὁμοίῳ ποιοῦν-
ται οἱ δὲ τῷ ἐναντίῳ. Παρμενίδης μὲν καὶ Ἐμπεδο-
κλῆς καὶ Πλάτων τῷ ὁμοίῳ, οἱ δὲ περὶ Ἀναξαγόραν
καὶ Ἡράκλειτον τῷ ἐναντίῳ. τὸ δὲ πιθανὸν ἔλαβον οἱ
μὲν ὅτι τῶν ἄλλων τε τὰ πλεῖστα τῇ ὁμοιότητι θεω-
ρεῖται καὶ ὅτι σύμφυτόν ἐστι πᾶσι τοῖς ζώοις τὰ συγ-
γενῆ γνωρίζειν, ἔτι δ' ὡς τὸ μὲν αἰσθάνεσθαι τῇ ἀπορ-
ροίᾳ γίνεται τὸ δ' ὅμοιον φέρεται πρὸς τὸ ὅμοιον. οἱ 2
δὲ τὴν αἴσθησιν ὑπολαμβάνοντες ἐν ἀλλοιώσει γίνε-
σθαι καὶ τὸ μὲν ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου τὸ δ'
ἐναντίον παθητικὸν τούτῳ προσέθεσαν τὴν γνώμην·
ἐπιμαρτυρεῖν δ' οἴονται καὶ τὸ περὶ τὴν ἀφὴν συμβαῖ-
νον· τὸ γὰρ ὁμοίως τῇ σαρκὶ θερμὸν ἢ ψυχρὸν (οὐ)
ποιεῖν αἴσθησιν. καθόλου μὲν οὖν περὶ αἰσθήσεως
αὗται παραδέδονται δόξαι. περὶ ἑκάστης δὲ τῶν κατὰ
μέρος οἱ μὲν ἄλλοι σχεδὸν ἀπολείπουσιν, Ἐμπεδοκλῆς
δὲ πειρᾶται καὶ ταύτας ἀνάγειν εἰς τὴν ὁμοιότητα.
Παρμενίδης μὲν γὰρ ὅλως οὐδὲν ἀφώρικεν ἀλλὰ μό- 3
νον ὅτι δυοῖν ὄντοιν στοιχείοιν κατὰ τὸ ὑπερβάλλον
ἐστὶν ἡ γνῶσις. ἐὰν γὰρ ὑπεραίρῃ τὸ θερμὸν ἢ τὸ

Digitized by Google

ψυχρὸν ἄλλην γίνεσθαι τὴν διάνοιαν, βελτίω δὲ καὶ
καθαρωτέραν τὴν διὰ τὸ θερμόν· οὐ μὴν ἀλλὰ καὶ ταύ-
την δεῖσθαί τινος συμμετρίας· „ὡς γὰρ ἑκάστῳ —
φησίν — ἔχει κρᾶσις μελέων πολυπλάγκτων, Τὼς νόος
ἀνθρώποισι παρέστηκεν· τὸ γὰρ αὐτὸ Ἐστὶν ὅπερ φρο-
νέει μελέων φύσις ἀνθρώποισι, Καὶ πᾶσιν καὶ παντί·
4 τὸ γὰρ πλέον ἐστὶ νόημα.“ τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ
φρονεῖν ὡς ταὐτὸ λέγει, διὸ καὶ τὴν μνήμην καὶ τὴν
λήθην ἀπὸ τούτων γίνεσθαι διὰ τῆς κράσεως· ἂν δ'
ἰσάζωσι τῇ μίξει πότερον ἔσται φρονεῖν ἢ οὒ καὶ τίς ἡ
διάθεσις οὐδὲν ἔτι διώρικεν. ὅτι δὲ καὶ τῷ ἐναντίῳ
καθ' αὑτὸ ποιεῖ τὴν αἴσθησιν φανερὸν ἐν οἷς φησι τὸν
νεκρὸν φωτὸς μὲν καὶ θερμοῦ καὶ φωνῆς οὐκ αἰ-
σθάνεσθαι διὰ τὴν ἔκλειψιν τοῦ πυρὸς ψυχροῦ δὲ καὶ
σιωπῆς καὶ τῶν ἐναντίων αἰσθάνεσθαι, καὶ ὅλως δὲ
πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν. οὕτω μὲν οὖν αὐτὸς ἔοι-
κεν ἀποτέμνεσθαι τῇ φάσει τὰ συμβαίνοντα δυσχερῆ
διὰ τὴν ὑπόληψιν.

5 Cap. II. Πλάτων δ' ἐπὶ πλέον μὲν ἧπται τῶν κατὰ
μέρος, οὐ μὴν εἴρηκέ γε περὶ ἁπασῶν ἀλλὰ μόνον περὶ
ἀκοῆς καὶ ὄψεως. καὶ τὴν μὲν ὄψιν ποιεῖ πυρός· διὸ καὶ
τὸ χρῶμα φλόγα τὴν ἀπὸ τῶν σωμάτων σύμμετρα μό-
ρια τῇ ὄψει ἔχουσαν * ὡς ἀπορροῆς τε γιγνομένης, καὶ
.. δέον οὖν ἁρμόττειν ἀλλήλοις ἐξιοῦσαν μέχρι τινὸς
συμφύεσθαι τῇ ἀπορροῇ καὶ οὕτως ὁρᾶν ἡμᾶς. ὥσπερ
ἂν εἰς τὸ μέσον τιθεὶς τὴν ἑαυτοῦ δόξαν τῶν τε φα-
σκόντων προσπίπτειν τὴν ὄψιν καὶ τῶν φέρεσθαι πρὸς
6 αὐτὴν ἀπὸ τῶν ὁρατῶν. ἀκοὴν δὲ διὰ τῆς φωνῆς ὁρί-
ζεται. φωνὴν γὰρ εἶναι πληγὴν ὑπ' ἀέρος ἐγκεφάλου
καὶ αἵματος δι' ὤτων μέχρι ψυχῆς, τὴν δ' ἀπὸ ταύ-
της κίνησιν ἀπὸ κεφαλῆς μέχρι ἥπατος ἀκοήν. περὶ
δὲ ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς ὅλως οὐδὲν εἴρη-

Digitized by Google

κεν, οὐδὲ εἰ παρὰ ταύτας ἄλλαι τινές εἰσιν, ἀλλὰ μᾶλ-
λον ἀκριβολογεῖται περὶ τῶν αἰσθητῶν. Ἐμπεδοκλῆς 7
δὲ περὶ ἁπασῶν ὁμοίως λέγει καί φησι τῷ ἐναρμόττειν
εἰς τοὺς πόρους τοὺς ἑκάστης αἰσθάνεσθαι· διὸ καὶ οὐ
δύνασθαι τὰ ἀλλήλων κρίνειν ὅτι τῶν μὲν εὐρύτεροι
ὄντες τῶν δὲ στενότεροι τυγχάνουσιν οἱ πόροι πρὸς τὸ
αἰσθητὸν ὡς τὰ μὲν οὐχ ἁπτόμενα διευτονεῖν τὰ δ' ὅλως
εἰσελθεῖν οὐ δύνασθαι. πειρᾶται δὲ καὶ τὴν ὄψιν λέ-
γειν ποία τις ἐστί· φησὶ γὰρ τὸ μὲν ἐντὸς αὐτῆς εἶναι
πῦρ τὸ δὲ περὶ αὐτὸ γῆν καὶ ἀέρα, δι' ὧν διιέναι λε-
πτὸν ὂν καθάπερ τὸ ἐν τοῖς λαμπτῆρσι φῶς. τοὺς δὲ
πόρους ἐναλλὰξ κεῖσθαι τοῦ τε πυρὸς καὶ τοῦ ὕδατος,
ὧν τοῖς μὲν τοῦ πυρὸς τὰ λευκὰ τοῖς δὲ τοῦ ὕδατος τὰ
μέλανα γνωρίζειν· ἐναρμόττειν γὰρ ἑκατέροις ἑκάτερα.
φέρεσθαι δὲ τὰ χρώματα πρὸς τὴν ὄψιν διὰ τὴν ἀπορ-
ροήν. συγκεῖσθαι δ' οὐχ ὁμοίως, τὰς δ' ἐκ τῶν ἀντι- 8
κειμένων, καὶ ταῖς μὲν ἐν μέσῳ ταῖς δ' ἐκτὸς εἶναι
τὸ πῦρ, διὸ καὶ τῶν ζώων τὰ μὲν ἐν ἡμέρᾳ τὰ δὲ νύ-
κτωρ μᾶλλον ὀξυωπεῖν· ὅσα μὲν πυρὸς ἔλαττον ἔχει
μεθ' ἡμέραν· ἐπανισοῦσθαι γὰρ αὐτοῖς τὸ ἐντὸς φῶς
ὑπὸ τοῦ ἐκτός· ὅσα δὲ τοῦ ἐναντίου νύκτωρ· ἐπανα-
πληροῦσθαι γὰρ καὶ τούτοις τὸ ἐνδεές. ἐν δὲ τοῖς ἐναν-
τίοις ἑκάτερον· ἀμβλυωπεῖν μὲν γὰρ καὶ οἷς ὑπερέχει
τὸ πῦρ· ἐπαυξηθὲν (γὰρ) ἔτι μεθ' ἡμέραν ἐπιπλάττειν
καὶ καταλαμβάνειν τοὺς τοῦ ὕδατος πόρους. οἷς δὲ τὸ
ὕδωρ ταὐτὸ τοῦτο γίνεσθαι νύκτωρ· καταλαμβάνεσθαι
γὰρ τὸ πῦρ ὑπὸ τοῦ ὕδατος ἕως ἂν τοῖς μὲν ὑπὸ τοῦ
ἔξωθεν φωτὸς ἀποκριθῇ τὸ ὕδωρ, τοῖς δ' ὑπὸ τοῦ ἀέ-
ρος τὸ πῦρ· ἑκατέρων γὰρ ἴασιν εἶναι τὸ ἐναντίον.
ἄριστα δὲ κεκρᾶσθαι καὶ βελτίστην εἶναι τὴν ἐξ ἀμ-
φοῖν ἴσων συγκειμένην. καὶ περὶ μὲν ὄψεως σχεδὸν
ταῦτα λέγει. τὴν δ' ἀκοὴν ἀπὸ τῶν ἔξωθεν γίνεσθαι 9

Digitized by Google

ψόφων· ὅταν γὰρ ὑπὸ τῆς φωνῆς κινηθῇ ἠχεῖν ἐντός· ὥσπερ γὰρ εἶναι κώδωνα τῶν ἔσω ἤχων τὴν ἀκοὴν ἣν προσαγορεύει σάρκινον ὄζον· κινουμένην δὲ παίειν τὸν ἀέρα πρὸς τὰ στερεὰ καὶ ποιεῖν ἦχον. ὄσφρησιν δὲ γίνεσθαι τῇ ἀναπνοῇ, διὸ καὶ μάλιστα ὀσφραίνεσθαι τούτους οἷς σφοδροτάτη τοῦ ἄσθματος ἡ κίνησις· ὀσμὴν δὲ πλείστην ἀπὸ τῶν λεπτῶν καὶ τῶν κούφων ἀπορρεῖν. περὶ δὲ γεύσεως καὶ ἁφῆς οὐ διορίζεται καθ' ἑτέραν οὔτε πῶς οὔτε δι' ἃ γίγνονται, πλὴν τὸ κοινὸν ὅτι τῷ συναρμόττειν τοὺς πόρους αἴσθησίς ἐστιν· ἥδεσθαι δὲ τοῖς ὁμοίοις κατά τά τε μόρια καὶ τὴν κρᾶσιν

10 λυπεῖσθαι δὲ τοῖς ἐναντίοις. ὡσαύτως δὲ λέγει καὶ περὶ φρονήσεως καὶ ἀγνοίας. τὸ μὲν γὰρ φρονεῖν εἶναι τοῖς ὁμοίοις τὸ δ' ἀγνοεῖν τοῖς ἀνομοίοις ὡς ἢ ταὐτὸν ἢ παραπλήσιον ὂν τῇ αἰσθήσει τὴν φρόνησιν. διαριθμησάμενος γὰρ ὡς ἕκαστον ἑκάστῳ γνωρίζομεν ἐπὶ τέλει προσέθηκεν ὡς ἐκ τούτων „πάντα πεπήγασιν ἁρμοσθέντα, καὶ τούτοις φρονέουσι καὶ ἥδονταί τ' ἀνιῶνται.“ διὸ καὶ τῷ αἵματι μάλιστα φρονεῖν· ἐν τούτῳ γὰρ μάλιστα κεκρᾶσθαί ἐστι τὰ στοιχεῖα τῶν μερῶν.

11 ὅσοις μὲν οὖν ἴσα καὶ παραπλήσια μέμικται καὶ μὴ διὰ πολλοῦ μηδ' αὖ μικρὰ μηδ' ὑπερβάλλοντα τῷ μεγέθει, τούτους φρονιμωτάτους εἶναι καὶ κατὰ τὰς αἰσθήσεις ἀκριβεστάτους, κατὰ λόγον δὲ καὶ τοὺς ἐγγυτάτω τούτων, ὅσοις δ' ἐναντίως ἀφρονεστάτους. καὶ ὧν μὲν μανὰ καὶ ἀραιὰ κεῖται τὰ στοιχεῖα νωθροὺς καὶ ἐπιπόνους, ὧν δὲ πυκνὰ καὶ κατὰ μικρὰ τεθραυσμένα τοὺς δὲ τοιούτους ὀξέως φερομένους καὶ πολλοῖς ἐπιβαλλομένους ὀλίγα ἐπιτελεῖν διὰ τὴν ὀξύτητα τῆς τοῦ αἵματος φορᾶς. οἷς δὲ καθ' ἕν τι μόριον ἡ μέση κρᾶσίς ἐστι ταύτῃ σοφοὺς ἑκάστους εἶναι· διὸ τοὺς μὲν ῥήτορας ἀγαθοὺς τοὺς δὲ τεχνίτας, ὡς τοῖς μὲν ἐν ταῖς

Digitized by Google

χερσὶ τοῖς δ' ἐν τῇ γλώττῃ τὴν κρᾶσιν οὖσαν· ὁμοίως
δ' ἔχειν καὶ κατὰ τὰς ἄλλας δυνάμεις.

Cap. III. Ἐμπεδοκλῆς μὲν οὖν οὕτως οἴεται καὶ 12
τὴν αἴσθησιν γίνεσθαι καὶ τὸ φρονεῖν. ἀπορήσειε δ'
ἄν τις ἐξ ὧν λέγει πρῶτον μὲν τί διοίσει τὰ ἔμψυχα
πρὸς τὸ αἰσθάνεσθαι τῶν ἄλλων. ἐναρμόττει γὰρ καὶ
τοῖς τῶν ἀψύχων πόροις· ὅλως γὰρ ποιεῖ τὴν μῖξιν τῇ
συμμετρίᾳ τῶν πόρων· διόπερ ἔλαιον μὲν καὶ ὕδωρ
οὐ μίγνυσθαι, τὰ δ' ἄλλα ὑγρὰ καὶ περὶ ὅσων δὴ κατ-
αριθμεῖται τὰς ἰδίας κράσεις. ὥστε πάντα τε αἰσθή-
σεται καὶ ταὐτὸ ἔσται μῖξις καὶ αἴσθησις καὶ αὔξησις·
πάντα γὰρ ποιεῖ τῇ συμμετρίᾳ τῶν πόρων· ἐὰν μὴ
προσθῇ τινα διαφοράν. ἔπειτα ἐν αὐτοῖς τοῖς ἐμψύ- 13
χοις τί μᾶλλον αἰσθήσεται τὸ ἐν τῷ ζῴῳ πῦρ ἢ τὸ
ἐκτὸς, εἴπερ ἐναρμόττουσιν ἀλλήλοις· ὑπάρχει γὰρ καὶ
ἡ συμμετρία καὶ τὸ ὅμοιον. ἔτι δὲ καὶ ἀνάγκη διαφο-
ράν τινα ἔχειν εἴπερ αὐτὸ μὲν μὴ δύναται συμπλη-
ροῦν τοὺς πόρους τὸ δ' ἔξωθεν ἐπεισιόν· ὥστ' εἰ ὅμοιον
ἦν πάντη καὶ πάντως οὐκ ἂν ἦν αἴσθησις. ἔτι δὲ πό-
τερον οἱ πόροι κενοὶ ἢ πλήρεις; εἰ μὲν γὰρ κενοὶ συμ-
βαίνει διαφωνεῖν ἑαυτῷ, φησὶ γὰρ ὅλως οὐκ εἶναι κε-
νόν· εἰ δὲ πλήρεις ἀεὶ ἂν αἰσθάνοιτο τὰ ζῷα· δῆλον
γὰρ ὡς ἐναρμόττει, καθάπερ φησὶ, τὸ ὅμοιον. καίτοι 14
κἂν αὐτὸ τοῦτό τις διαπορήσειεν εἰ δυνατόν ἐστι τη-
λικαῦτα μεγέθη γίνεσθαι τῶν ἑτερογενῶν ὥστ' ἐναρ-
μόττειν, ἄλλως τε κεἰ συμβαίνει καθάπερ φησὶ τὰς
ὄψεις ὧν ἀσύμμετρος ἡ κρᾶσις ὁτὲ μὲν ὑπὸ τοῦ πυρὸς
ὁτὲ δὲ ὑπὸ τοῦ ἀέρος ἐμπλαττομένων τῶν πόρων ἀμαυ-
ροῦσθαι. εἰ δ' οὖν ἐστι καὶ τούτων συμμετρία καὶ
πλήρεις οἱ πόροι τῶν μὴ συγγενῶν, πῶς ὅταν αἰσθά-
νηται καὶ ποῦ ταῦτα ὑπεξέρχεται; δεῖ γάρ τινα ἀπο-
δοῦναι μεταβολήν. ὥστε πάντως ἔχει δυσκολίαν· ἢ

Digitized by Google

γὰρ κενὸν ἀνάγκη ποιεῖν, ἢ ἀεὶ τὰ ζῷα αἰσθάνεσθαι πάντων, ἢ τὸ μὴ συγγενὲς ἁρμόττειν οὐ ποιοῦν αἴσθησιν οὐδ' ἔχον μεταβολὴν οἰκείαν τοῖς ἐμποιοῦσιν.
15 *ἔτι δὲ εἰ καὶ μὴ ἐναρμόττοι τὸ ὅμοιον ἀλλὰ μόνον ἅπτοιτο καθ' ὁτιοῦν εὔλογον αἴσθησιν γίνεσθαι· δυοῖν γὰρ τούτοιν ἀποδίδωσι τὴν γνῶσιν τῷ τε ὁμοίῳ καὶ τῇ ἁφῇ, διὸ καὶ τὸ ἁρμόττειν εἴρηκεν· ὥστ' εἰ τὸ ἔλαττον ἅψαιτο τῶν μειζόνων εἴη ἂν αἴσθησις. ὅλως δὲ κατά γε ἐκεῖνον ἀφαιρεῖται καὶ τὸ ὅμοιον ἀλλὰ ἡ συμμετρία μόνη ἱκανή. διὰ τοῦτο γὰρ οὐκ αἰσθάνονται, φησίν, ἀλλήλων, ὅτι τοὺς πόρους ἀσυμμέτρους ἔχουσιν· εἰ δ' ὅμοιον ἢ ἀνόμοιον τὸ ἀπορρέον οὐδὲν ἔτι προσαφώρισεν. ὥστε ἢ οὐ τῷ ὁμοίῳ ἡ αἴσθησις ἢ οὐ διά τινα ἀσυμμετρίαν οὐ κρίνουσι … ἁπάσας ἀνάγκη τὰς αἰσθήσεις καὶ πάντα τὰ αἰσθητὰ τὴν αὐτὴν ἔχειν φύσιν.*
16 *ἀλλὰ μὴν οὐδὲ τὴν ἡδονὴν καὶ λύπην ὁμολογουμένως ἀποδίδωσιν ἥδεσθαι μὲν ποιῶν τοῖς ὁμοίοις λυπεῖσθαι δὲ τοῖς ἐναντίοις· ἐχθρὰ γὰρ εἶναι· διὸ „πλεῖστον ἀπ' ἀλλήλων διέχουσι Γέννῃ τε κράσει τε καὶ εἴδεσιν ἐκμακτοῖσι.“ αἰσθήσει γάρ τινι ἢ μετ' αἰσθήσεως ποιοῦσι τὴν ἡδονὴν καὶ τὴν λύπην, ὥστε οὐχ ἅπασα γίνεται τοῖς ὁμοίοις. ἔτι εἰ τὰ συγγενῆ μάλιστα ποιεῖ τὴν ἡδονὴν ἐν τῇ ἁφῇ, καθάπερ φησί, τὰ σύμφυτα μάλιστ' ἂν ἥδοιτο καὶ αἰσθάνοιτο· διὰ τῶν αὐτῶν γὰρ ποιεῖ τὴν αἴσθησιν καὶ τὴν ἡδονήν.*
17 *καίτοι πολλάκις αἰσθανόμενοι λυπούμεθα κατ' αὐτὴν τὴν αἴσθησιν, ὡς δ' Ἀναξαγόρας φησὶν ἀεί· πᾶσαν γὰρ αἴσθησιν εἶναι μετὰ λύπης. ἔτι δ' ἐν ταῖς κατὰ μέγεθος· … συμβαίνει γὰρ τῷ ὁμοίῳ γίνεσθαι τὴν γνῶσιν· τὴν γὰρ ὄψιν ὅταν ἐκ πυρὸς καὶ τοῦ ἐναντίου συστήσῃ τὸ μὲν λευκὸν καὶ τὸ μέλαν δύναιτ' ἂν τοῖς ὁμοίοις γνωρίζειν, τὸ δὲ φαιὸν καὶ τἆλλα χρώματα τὰ μικτὰ*

Digitized by Google

πῶς; οὔτε γὰρ τοῖς τοῦ πυρὸς οὔτε τοῖς τοῦ ὕδατος
πόροις, οὔτ' ἄλλους ποιεῖ κοινοὺς ἐξ ἀμφοῖν· ὁρῶμεν
δ' οὐδὲν ἧττον ταῦτα τῶν ἁπλῶν. ἀτόπως δὲ καὶ ὅτι 18
τὰ μὲν ἡμέρας τὰ δὲ νύκτωρ μᾶλλον ὁρῶμεν· τὸ γὰρ
ἔλαττον πῦρ ὑπὸ τοῦ πλείονος φθείρεται, διὸ καὶ πρὸς
τὸν ἥλιον καὶ ὅλως τὸ καθαρὸν οὐ δυνάμεθα ἀντιβλέ-
πειν. ὥστε ὅσοις ἐνδεέστερον τὸ φῶς ἧττον ἐχρῆν ὁρᾷν
μεθ' ἡμέραν, ἢ εἴπερ τὸ ὅμοιον συναύξει, καθάπερ
φησί, τὸ δ' ἐναντίον φθείρει καὶ κωλύει τὰ μὲν λευκὰ
μᾶλλον ἐχρῆν ὁρᾷν ἅπαντας μεθ' ἡμέραν, καὶ ὅσοις
ἔλαττον καὶ ὅσοις πλέον τὸ φῶς, καὶ τὰ μέλανα νύ-
κτωρ. νῦν δὲ πάντες ἅπαντα μεθ' ἡμέραν μᾶλλον
ὁρῶσι πλὴν ὀλίγων ζώων· τούτοις δ' εὔλογον τοῦτ'
ἰσχύειν τὸ οἰκεῖον πῦρ ὥσπερ ἔνια καὶ τῇ χρόᾳ δια-
λάμπει μᾶλλον τῆς νυκτός. ἔτι δὲ οἷς ἡ κρᾶσις ἐξ ἴσων 19
ἀνάγκη συναύξεσθαι κατὰ μέρος ἑκάτερον· ὥστ' εἰ
πλεονάζον κωλύει θάτερον ὁρᾷν ἁπάντων ἂν εἴη πα-
ραπλησία πως ἡ διάθεσις. ἀλλὰ τὰ μὲν τῆς ὄψεως πάθη
χαλεπώτερον ἔσται διελεῖν. τὰ δὲ περὶ τὰς ἄλλας αἰ-
σθήσεις πῶς κρίνωμεν τῷ ὁμοίῳ; τὸ γὰρ ὅμοιον ἀόρι-
στον. οὔτε γὰρ ψόφῳ τὸν ψόφον οὔτ' ὀσμῇ τὴν ὀσμὴν
οὔτε τοῖς ἄλλοις τοῖς ὁμογενέσιν, ἀλλὰ μᾶλλον ὡς εἰ-
πεῖν τοῖς ἐναντίοις· ἀπαθῆ γὰρ δεῖ τὴν αἴσθησιν προσ-
άγειν. ἤχου δ' ἐνόντος ἐν ὠσὶν ἢ χυλῶν ἐν γεύσει καὶ
ὀσμῆς ἐν ὀσφρήσει κωφότεραι πᾶσαι γίνονται μᾶλ-
λον ὅσῳ ἂν πλήρεις ὦσι τῶν ὁμοίων· εἰ μή τις λεχθείη
περὶ τούτων διορισμός. ἔτι δὲ τὸ περὶ τὴν ἀπορροήν, 20
καίπερ οὐχ ἱκανῶς λεγόμενον, περὶ μὲν τὰς ἄλλας
ὅμως ἐστί πως ὑπολαβεῖν, περὶ δὲ τὴν ἁφὴν καὶ γεῦ-
σιν οὐ ῥᾴδιον. πῶς γὰρ τῇ ἀπορροῇ κρίνομεν ἢ πῶς
ἐναρμόττει τοῖς πόροις τὸ τραχὺ καὶ τὸ λεῖον; μόνου
γὰρ δοκεῖ τῶν στοιχείων τοῦ πυρὸς ἀπορρεῖν ἀπὸ δὲ

Digitized by Google

τῶν ἄλλων οὐδενός. ἔτι δὲ εἰ ἡ φθίσις διὰ τὴν ἀπορ-
ροήν, ᾧπερ χρῆται κοινοτάτῳ σημείῳ καὶ τὰς ὀσμὰς
ἀπορροῇ γίνεσθαι, τὰ πλείστην ἔχοντα ὀσμὴν τάχιστ'
ἐχρῆν φθείρεσθαι. νῦν δὲ σχεδὸν ἐναντίως ἔχει· τὰ
γὰρ ὀσμωδέστατα τῶν φυτῶν καὶ τῶν ἄλλων ἐστὶ χρο-
νιώτατα. συμβαίνει δὲ καὶ ἐπὶ τῆς φιλίας (γεύσεως?)
ὅλως μὴ εἶναι αἴσθησιν ἢ ἧττον διὰ τὸ συγκρίνεσθαι
21 τότε καὶ μὴ ἀπορρεῖν. ἀλλὰ περὶ μὲν τὴν ἀκοὴν ὅταν
ἀποδῷ τοῖς ἔσωθεν γίνεσθαι ψόφοις ἄτοπον τὸ οἴεσθαι
δῆλον εἶναι πῶς ἀκούουσιν ἔνδον ποιήσαντος ψόφον
ὥσπερ κώδωνος. τῶν μὲν γὰρ ἔξω δι' ἐκεῖνον ἀκούο-
μεν, ἐκείνου δὲ ψοφοῦντος διὰ τί; τοῦτο γὰρ αὐτὸ
λείπεται ζητεῖν. ἀτόπως δὲ καὶ τὸ περὶ τὴν ὄσφρησιν
εἴρηκε. πρῶτον μὲν γὰρ οὐ κοινὴν αἰτίαν ἀπέδωκεν·
ἔνια μὲν γὰρ ὅλως οὐδ' ἀναπνέει τῶν ὀσφραινομένων.
ἔπειτα τὸ μάλιστα ὀσφραίνεσθαι τοὺς πλεῖστον ἐπι-
σπωμένους εὔηθες· οὐδὲν γὰρ ὄφελος μὴ ὑγιαινούσης
ἢ μὴ ἀνεῳγμένης πως τῆς αἰσθήσεως. πολλοῖς δὲ συμ-
βαίνει πεπηρῶσθαι καὶ ὅλως μηδὲν αἰσθάνεσθαι. πρὸς
δὲ τούτοις οἱ δύσπνοοι καὶ οἱ πονοῦντες καὶ οἱ καθεύ-
δοντες μᾶλλον ἂν αἰσθάνοιντο τῶν ὀσμῶν· τὸν πλεῖ-
στον γὰρ ἕλκουσιν ἀέρα. νῦν δὲ συμβαίνει τοὐναν-
22 τίον. οὐ γὰρ ἴσως καθ' αὑτὸ τὸ ἀναπνεῖν αἴτιον τῆς
ὀσφρήσεως ἀλλὰ κατὰ συμβεβηκὸς ὡς ἔκ τε τῶν ἄλ-
λων ζώων μαρτυρεῖται καὶ διὰ τῶν εἰρημένων πα-
θῶν· ὁ δ' ὡς ταύτης οὔσης τῆς αἰτίας καὶ ἐπὶ τέλει
πάλιν εἴρηκεν ὥσπερ ἐπισημαινόμενος „Ὧδε μὲν οὖν
πνοιῆς τε λελόγχασι πάντα καὶ ὀσμῶν.“ οὐκ ἀληθὲς
δὲ οὐδὲ τὸ μάλιστα ὀσφραίνεσθαι τῶν κουφῶν, ἀλλὰ
δεῖ καὶ ὀσμὴν ἐνυπάρχειν. ὁ γὰρ ἀὴρ καὶ τὸ πῦρ κου-
23 φότατα μέν, οὐ ποιοῦσι δὲ αἴσθησιν ὀσμῆς. ὡσαύτως
δ' ἄν τις καὶ περὶ τὴν φρόνησιν ἀπορήσειεν εἰ διὰ

Digitized by Google

τῶν αὐτῶν ποιεῖ καὶ τὴν αἴσθησιν. καὶ γὰρ ἅπαντα μεθέξει τοῦ φρονεῖν. καὶ ἅμα πῶς ἐνδέχεται καὶ ἐν ἀλλοιώσει καὶ ὑπὸ τοῦ ὁμοίου γίνεσθαι τὸ φρονεῖν; τὸ γὰρ ὅμοιον οὐκ ἀλλοιοῦται τῷ ὁμοίῳ. τὸ δὲ δὴ τῷ αἵματι φρονεῖν καὶ παντελῶς ἄτοπον· πολλὰ γὰρ τῶν ζώων ἄναιμα, τῶν δ' ἐναίμων τὰ περὶ τὰς αἰσθήσεις ἀναιμότατα τῶν μερῶν. ἔτι καὶ ὀστοῦν καὶ θρὶξ αἰσθάνοιτ' ἄν, ἐπεὶ γοῦν ἐξ ἁπάντων ἐστὶ τῶν στοιχείων. καὶ συμβαίνει ταὐτὸν εἶναι τὸ φρονεῖν καὶ αἰσθάνεσθαι καὶ ἥδεσθαι καὶ (τὸ) λυπεῖσθαι καὶ [τὸ] ἀγνοεῖν· ἄμφω γὰρ ποιεῖ τοῖς ἀνομοίοις. ὥσθ' ἅμα τῷ μὲν ἀγνοεῖν ἔδει γίνεσθαι λύπην τῷ δὲ φρονεῖν ἡδονήν.
ἄτοπον δὲ καὶ τὸ τὰς δυνάμεις ἑκάστοις ἐγγίνεσθαι 24
διὰ τὴν ἐν τοῖς μορίοις τοῦ αἵματος σύγκρασιν, ὡσεὶ τὴν γλῶτταν αἰτίαν τοῦ εὖ λέγειν, τὰς χεῖρας τοῦ δημιουργεῖν, ἀλλ' οὐκ ὀργάνου τάξιν ἔχοντα. διὸ καὶ μᾶλλον ἄν τις ἀποδοίη τῇ μορφῇ τὴν αἰτίαν ἢ τῇ κράσει τοῦ αἵματος, ἢ χωρὶς διανοίας ἐστίν· οὕτως γὰρ ἔχει καὶ ἐπὶ τῶν ἄλλων ζώων. Ἐμπεδοκλῆς μὲν οὖν ἔοικεν ἐν πολλοῖς διαμαρτάνειν.

Cap. IV. *Τῶν δὲ μὴ τῷ ὁμοίῳ ποιούντων τὴν* 25
αἴσθησιν Ἀλκμαίων μὲν πρῶτον ἀφορίζει τὴν πρὸς τὰ ζῷα διαφοράν. ἄνθρωπον γάρ φησι τῶν ἄλλων διαφέρειν ὅτι μόνον ξυνίησι· τὰ δ' ἄλλα αἰσθάνεται μὲν οὐ ξυνίησι δέ, ὡς ἕτερον ὂν τὸ φρονεῖν καὶ αἰσθάνεσθαι, καὶ οὐ καθάπερ Ἐμπεδοκλῆς ταὐτόν. ἔπειτα περὶ ἑκάστης λέγει. ἀκούειν μὲν οὖν φησι τοῖς ὠσὶν διότι κενὸν ἐν αὐτοῖς ἐνυπάρχει· τοῦτο γὰρ ἠχεῖν φθέγγεσθαι δὲ τῷ κοίλῳ τὸν ἀέρα δ' ἀντηχεῖν. ὀσφραίνεσθαι δὲ ῥισὶν ἅμα τῷ ἀναπνεῖν ἀνάγοντα τὸ πνεῦμα πρὸς τὸν ἐγκέφαλον. γλώττῃ δὲ τοὺς χυμοὺς κρίνειν· χλιαρὰν γὰρ οὖσαν καὶ μαλακὴν τήκειν τῇ

Digitized by Google

θερμότητι· δέχεσθαι δὲ καὶ διαδιδόναι διὰ τὴν μανό-
26 τητα τῆς ἀπαλότητος. ὀφθαλμοὺς δὲ ὁρᾶν διὰ τοῦ πέριξ ὕδατος· ὅτι δ' ἔχει πῦρ δῆλον εἶναι, πληγέντος γὰρ ἐκλάμπειν. ὁρᾶν τῷ στίλβοντι καὶ τῷ διαφανεῖ ὅταν ἀντιφαίνῃ καί, ὅσῳ ἂν καθαρώτερον ᾖ, μᾶλλον. ἁπάσας δὲ τὰς αἰσθήσεις συνηρτῆσθαί πως πρὸς τὸν ἐγκέφαλον, διὸ καὶ πηροῦσθαι κινουμένου καὶ μεταλλάττοντος τὴν χώραν· ἐπιλαμβάνεσθαι γὰρ τοὺς πόρους δι' ὧν αἱ αἰσθήσεις. περὶ δὲ ἁφῆς οὐκ εἴρηκε οὔτε πῶς οὔτε τίνι γίνεται. Ἀλκμαίων μὲν οὖν ἐπὶ τοσοῦτον ἀφώρικεν.

27 Cap. V. Ἀναξαγόρας δὲ γίνεσθαι τοῖς ἐναντίοις· τὸ γὰρ ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου. καθ' ἑκάστην δ' ἰδίᾳ πειρᾶται διαριθμεῖν. ὁρᾶν μὲν γὰρ τῇ ἐμφάσει τῆς κόρης, οὐκ ἐμφαίνεσθαι δὲ εἰς τὸ ὁμόχρων ἀλλ' εἰς τὸ διάφορον. καὶ τοῖς μὲν πολλοῖς μεθ' ἡμέραν ἐνίοις δὲ νύκτωρ εἶναι τὸ ἀλλόχρουν, διὸ ὀξυωπεῖν τότε. ἁπλῶς δὲ τὴν νύκτα μᾶλλον ὁμόχρων εἶναι τοῖς ὀφθαλμοῖς. ἐμφαίνεσθαι δὲ μεθ' ἡμέραν ὅτι τὸ φῶς συναίτιον τῆς ἐμφάσεως· τὴν δὲ χρόαν τὴν κρα-
28 τοῦσαν μᾶλλον εἰς τὴν ἑτέραν ἐμφαίνεσθαι [εἰς]. τὸν αὐτὸν δὲ τρόπον καὶ τὴν ἁφὴν καὶ τὴν γεῦσιν κρίνειν· τὸ γὰρ ὁμοίως θερμὸν καὶ ψυχρὸν οὔτε θερμαίνειν οὔτε ψύχειν πλησιάζον. οὐδὲ δὴ τὸ γλυκὺ καὶ τὸ ὀξὺ δι' αὐτῶν γνωρίζειν ἀλλὰ τῷ μὲν θερμῷ τὸ ψυχρόν, τῷ δ' ἁλμυρῷ τὸ πότιμον, τῷ δ' ὀξεῖ τὸ γλυκὺ κατὰ τὴν ἔλλειψιν τὴν ἑκάστου· πάντα γὰρ ἐνυπάρχειν [ἐστὶν] ἐν ἡμῖν. ὡσαύτως δὲ καὶ ὀσφραίνεσθαι καὶ ἀκούειν τὸ μὲν ἅμα τῇ ἀναπνοῇ τὸ δὲ τῷ διικνεῖσθαι τὸν ψόφον ἄχρι τοῦ ἐγκεφάλου· τὸ γὰρ περιέχον ὀστοῦν εἶ-
29 ναι κοῖλον εἰς ὃ ἐμπίπτειν τὸν ψόφον. ἅπασαν δ' αἴσθησιν μετὰ λύπης, ὅπερ ἂν δόξειεν ἀκόλουθον εἶναι

Digitized by Google

τῇ ὑποθέσει· πᾶν γὰρ τὸ ἀνόμοιον ἁπτόμενον πόνον παρέχει. φανερὸν δὲ τοῦτο τῷ τε τοῦ ὕπνου (χρόνου Sch.) πλήθει καὶ τῇ τῶν αἰσθητῶν ὑπερβολῇ. τά τε γὰρ λαμπρὰ χρώματα καὶ τοὺς ὑπερβάλλοντας ψόφους λύπην ἐμποιεῖν καὶ οὐ πολὺν χρόνον δύνασθαι τοῖς αὐτοῖς ἐπιμένειν. αἰσθητικώτερα δὲ τὰ μείζω ζῶα καὶ ἁπλῶς εἶναι κατὰ τὸ μέγεθος τὴν αἴσθησιν (τῶν αἰσθητηρίων). ὅσα μὲν γὰρ μεγάλους καὶ καθαροὺς καὶ λαμπροὺς ὀφθαλμοὺς ἔχει μεγάλα τε καὶ πόρρωθεν ὁρᾶν, ὅσα δὲ μικροὺς ἐναντίως. ὁμοίως δὲ καὶ ἐπὶ 30
τῆς ἀκοῆς. τὰ μὲν γὰρ μεγάλα τῶν μεγάλων καὶ τῶν πόρρωθεν ἀκούειν τὰ δ' ἐλάττω λανθάνειν, τὰ δὲ μικρὰ τῶν μικρῶν καὶ τῶν ἐγγύς. καὶ ἐπὶ τῆς ὀσφρήσεως ὁμοίως· ὄζειν μὲν γὰρ μᾶλλον τὸν λεπτὸν ἀέρα, θερμαινόμενον μὲν γὰρ καὶ μανούμενον ὄζειν. ἀναπνέον δὲ τὸ μὲν μέγα ζῶον ἅμα τῷ μανῷ καὶ τὸ πυκνὸν ἕλκειν, τὸ δὲ μικρὸν αὐτὸ τὸ μανὸν, διὸ καὶ τὰ μεγάλα μᾶλλον αἰσθάνεσθαι. καὶ γὰρ τὴν ὀσμήν ἐγγὺς εἶναι μᾶλλον ἢ πόρρω διὰ τὸ πυκνοτέραν εἶναι, σκεδαννυμένην δὲ ἀσθενῆ. σχεδὸν δὲ ὡς εἰπεῖν οὐκ αἰσθάνεσθαι τὰ μὲν μεγάλα τῆς λεπτῆς ἀέρος τὰ δὲ μικρὰ τῆς πυκνῆς.

Cap. VI. Τὸ μὲν οὖν τοῖς ἐναντίοις ποιεῖν τὴν 31
αἴσθησιν ἔχει τινὰ λόγον ὥσπερ ἐλέχθη· δοκεῖ γὰρ ἡ ἀλλοίωσις οὐχ ὑπὸ τῶν ὁμοίων ἀλλ' ὑπὸ τῶν ἐναντίων εἶναι. καίτοι καὶ τοῦτο δεῖται πίστεως εἰ ἀλλοίωσις ἡ αἴσθησις εἴ τε τὸ ἐναντίον τοῦ ἐναντίου κριτικόν. τὸ δὲ μετὰ λύπης ἅπασαν εἶναι [ψεῦδος] οὔτ' ἐκ τῆς χρήσεως ὁμολογεῖται, τὰ μὲν (γὰρ) μεθ' ἡδονῆς τὰ δὲ πλεῖστα ἄνευ λύπης ἐστίν, οὔτ' ἐκ τῶν εὐλόγων. ἡ μὲν γὰρ αἴσθησις κατὰ φύσιν, οὐδὲν δὲ τῇ φύσει βίᾳ καὶ μετὰ λύπης ἀλλὰ μᾶλλον μεθ' ἡδονῆς, ὅπερ

Digitized by Google

καὶ φαίνεται συμβαῖνον. τὰ γὰρ πλείω καὶ πλεονάκις ἡδόμεθα καὶ αὐτὸ δὲ τὸ αἰσθάνεσθαι χωρὶς τῆς περὶ
32 ἕκαστον ἐπιθυμίας διώκομεν. ἔτι δὲ ἐπεὶ καὶ ἡδονὴ καὶ λύπη γίνεται διὰ τῆς αἰσθήσεως ἅπαν δὲ φύσει πρὸς τὸ βέλτιόν ἐστι, καθάπερ ἡ ἐπιστήμη, μᾶλλον ἂν εἴη μεθ' ἡδονῆς ἢ μετὰ λύπης. ἁπλῶς δ' εἴπερ μηδὲ τὸ διανοεῖσθαι μετὰ λύπης, οὐδὲ τὸ αἰσθάνεσθαι· τὸν αὐτὸν γὰρ ἔχει λόγον ἑκάτερον πρὸς τὴν αὐτὴν χρείαν. ἀλλὰ μὴν οὐδὲ αἱ τῶν αἰσθητῶν ὑπερβολαὶ καὶ τὸ τοῦ χρόνου πλῆθος οὐδὲν σημεῖον ὡς μετὰ λύπης ἐστὶν ἀλλὰ μᾶλλον ὡς ἐν συμμετρίᾳ τινὶ καὶ κράσει πρὸς τὸ αἰσθητὸν ἡ αἴσθησις. διόπερ ἴσως τὸ μὲν ἐλλεῖπον ἀναίσθητον τὸ δ' ὑπερβάλλον λύπην
33 τε ποιεῖ καὶ φθείρει. συμβαίνει τοίνυν τὸ κατὰ φύσιν· ἐκ τοῦ παρὰ φύσιν σκοπεῖν· ἡ γὰρ ὑπερβολὴ παρὰ φύσιν. ἐπεὶ τό γε ἀπ' ἐνίων καὶ ἐνιότε λυπεῖσθαι καθάπερ καὶ ἥδεσθαι φανερὸν καὶ ὁμολογούμενον· ὥστ' οὐδὲν μᾶλλον διά γε τοῦτο μετὰ λύπης ἢ μεθ' ἡδονῆς ἐστιν ἀλλ' ἴσως μετ' οὐδετέρου κατά γε τὸ ἀληθές· οὐδὲ γὰρ ἂν δύναιτο κρίνειν, ὥσπερ οὐδὲ ἡ διάνοια συνεχῶς οὖσα μετὰ λύπης ἢ ἡδονῆς. ἀλλὰ τοῦτο μὲν ἀπὸ μικρᾶς ἀρχῆς ἐφ' ὅλην μετήνεγκε τὴν αἴσθησιν.
34 ὅταν δὲ λέγῃ τὰ μείζω μᾶλλον αἰσθάνεσθαι καὶ ἁπλῶς κατὰ τὸ μέγεθος τῶν αἰσθητηρίων εἶναι τὴν αἴσθησιν, τὸ μὲν αὐτῶν ἔχει τινὰ ἀπορίαν. οἷον πότερον τὰ μικρὰ μᾶλλον ἢ τὰ μεγάλα τῶν ζώων μᾶλλον αἰσθητικά; δόξειε γὰρ ἂν ἀκριβεστέρας αἰσθήσεως εἶναι τὰ μικρὰ μὴ λανθάνειν, καὶ ἅμα τὸ τὰ ἐλάττω δυνάμενον καὶ τὰ μείζω κρίνειν οὐκ ἄλογον. ἅμα δὲ καὶ δοκεῖ περὶ ἐνίας αἰσθήσεις βέλτιον ἔχειν τὰ μικρὰ τῶν μεγάλων,
35 ὥστε ταύτῃ μὲν χείρων ἡ τῶν μειζόνων αἴσθησις. εἰ δ' αὖ φαίνεται καὶ πολλὰ λανθάνειν τὰ μικρὰ τῶν

Digitized by Google

μειζόνων, οἷον οἱ ψόφοι, χρώματα, βελτίων ἢ τῶν μει-
ζόνων· ἅμα δὲ καὶ εὔλογον ὥσπερ καὶ τὴν ὅλην τοῦ
σώματος κρᾶσιν ὁμοίως ἔχειν καὶ τὰ περὶ τὰς αἰσθή-
σεις. τοῦτο μὲν οὖν ὥσπερ ἐλέχθη διαπορήσειεν ἄν
τις εἰ ἄρα δεῖ λέγειν οὕτως· οὐ γὰρ ἐν τοῖς ὁμοίοις
γένεσιν ἀφώρισται κατὰ τὸ μέγεθος· ἀλλὰ κυριώτατα
ἴσως ἡ τοῦ σώματος διάθεσίς τε καὶ κρᾶσις. τὸ δὲ
πρὸς τὰ μεγέθη τὴν συμμετρίαν ἀποδιδόναι τῶν αἰ-
σθητῶν ἔοικεν ὁμοίως λέγειν Ἐμπεδοκλεῖ· τῷ γὰρ
ἐναρμόττειν τοῖς πόροις ποιεῖ τὴν αἴσθησιν. πλὴν ἐπὶ
τῆς ὀσφρήσεως ἴδιον συμβαίνει δυσχερές· ὄζειν μὲν
γάρ φησι τὸν λεπτὸν ἀέρα μᾶλλον ὀσφραίνεσθαι δὲ
ἀκριβέστερον ὅσα τὸν πυκνὸν ἢ τὸν μανὸν ἕλκει. περὶ 36
δὲ τῆς ἐμφάσεως κοινή τίς ἐστιν ἡ δόξα· σχεδὸν γὰρ
οἱ πολλοὶ τὸ ὁρᾶν οὕτως ὑπολαμβάνουσι διὰ τὴν γι-
νομένην ἐν τοῖς ὀφθαλμοῖς ἔμφασιν. τοῦτο δὲ οὐκέτι
συνεῖδον ὡς οὔτε τὰ μεγέθη σύμμετρα τὰ ὁρώμενα
τοῖς ἐμφαινομένοις οὔτε ἐμφαίνεσθαι πολλὰ ἅμα καὶ
τἀναντία δυνατόν. ἔτι δὲ κίνησις καὶ διάστημα καὶ
μέγεθος ὁρατὰ μὲν ἔμφασιν δ' οὐ ποιοῦσιν. ἐνίοις δὲ
τῶν ζώων οὐδ' ἐμφαίνεται καθάπερ τοῖς σκληροφθάλ-
μοις καὶ τοῖς ἐνύδροις. ἔτι δὲ καὶ τῶν ἀψύχων διά γε
τοῦτο πολλὰ ἂν ὁρῷεν· καὶ γὰρ ἐν ὕδατι καὶ χαλκῷ
καὶ ἑτέροις πολλοῖς ἐστιν ἀνάκλασις. φησὶ δὲ καὶ αὐ- 37
τὸς ἐμφαίνεσθαι μὲν εἰς ἄλληλα (τὰ) χρώματα μᾶλλον
δὲ τὸ ἰσχυρὸν εἰς τὸ ἀσθενές· ὥστε ἑκάτερον μὲν ἐχρῆν
ὁρᾶν, μᾶλλον δὲ (τὸ) μέλαν καὶ ὅλως (τὸ) ἀσθενέστε-
ρον. διὸ καὶ τὴν ὄψιν ὁμόχρων ποιεῖ τῇ νυκτὶ καὶ τὸ
φῶς αἴτιον τῆς ἐμφάσεως. καίτοι πρῶτον μὲν τὸ φῶς
ὁρῶμεν αὐτὸ δι' οὐδεμίας ἐμφάσεως, ἔπειτα οὐδὲν ἧτ-
τον τὰ μέλανα τῶν λευκῶν οὐκ ἔχει φῶς. ἔτι δέ γ'
ἐν τοῖς ἄλλοις ἀεὶ τὴν ἔμφασιν ὁρῶμεν εἰς τὸ λαμπρό-

Digitized by Google

τερον καὶ καθαρώτερον γινομένην, ὥσπερ καὶ αὐτὸς λέγει τοὺς ὑμένας τῶν ὀμμάτων λεπτοὺς εἶναι καὶ λαμπρούς. τιθέασι δὲ καὶ τὴν ὄψιν αὐτὴν οἱ πολλοὶ πυρός ... ταύτης τῆς χρόας μετεχούσας μᾶλλον. Ἀναξαγόρας μὲν οὖν ὥσπερ ἐλέχθη κοινήν τινα ταύτην καὶ παλαιὰν δόξαν ἀναφέρει. πλὴν ἴδιον ἐπὶ πάσαις λέγει ταῖς αἰσθήσεσι καὶ μάλιστα ἐπὶ τῇ ὄψει διότι τὸ μὲν αἰσθανόμενόν ἐστιν, οὐ δηλοῖ δὲ τὰς σωματικωτάτας αἰσθήσεις.

38 Cap. VII. *Κλείδημος δὲ μόνος ἰδίως εἴρηκε περὶ τῆς ὄψεως. αἰσθάνεσθαι γάρ φησι τοῖς ὀφθαλμοῖς μὲν ὅτι διαφανεῖς· ταῖς δ' ἀκοαῖς ὅτι ἐμπίπτων ὁ ἀὴρ κινεῖ. ταῖς δὲ ῥισὶν ἐφελκομένους τὸν ἀέρα, τοῦτον γὰρ ἀναμίγνυσθαι· τῇ δὲ γλώσσῃ τοὺς χυμοὺς καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν διὰ τὸ σομφὴν εἶναι· τῷ δ' ἄλλῳ σώματι παρὰ μὲν ταῦτ' οὐδέν, αὐτῶν δὲ τούτων καὶ τὸ θερμὸν καὶ τὰ ὑγρὰ καὶ τὰ ἐναντία· μόνον δὲ τὰς ἀκοὰς αὐτὰς μὲν οὐδὲν κρίνειν εἰς δὲ τὸν νοῦν διαπέμπειν, οὐχ ὥσπερ Ἀναξαγόρας ἀρχὴν ποιῶν πάντων τὸν νοῦν.*

39 Cap. VIII. *Διογένης δέ, ὥσπερ τὸ ζῆν καὶ τὸ φρονεῖν, τῷ ἀέρι καὶ τὰς αἰσθήσεις ἀνάπτει, διὸ καὶ δόξειεν ἂν τῷ ὁμοίῳ ποιεῖν· οὐδὲ γὰρ τὸ ποιεῖν εἶναι καὶ πάσχειν εἰ μὴ πάντα ἦν ἐξ ἑνός. τὴν μὲν ὄσφρησιν τῷ περὶ τὸν ἐγκέφαλον ἀέρι· τοῦτον γὰρ ἄθρουν εἶναι καὶ σύμμετρον τῇ ἀκοῇ (ἀναπνοῇ* Sch.)· *τὸν ἐγκέφαλον αὐτὸν μόνυν καὶ φλεβία, λεπτότατον δ' ἐν οἷς ἡ θέσις ἀσύμμετρος, καὶ οὐ μίγνυσθαι ταῖς ὀσμαῖς· ὡς εἴ τις εἴη τῇ κράσει σύμμετρος δῆλον ὡς αἰσθανό-*
40 *μενον ἄν. τὴν δ' ἀκοὴν ὅταν ὁ ἐν τοῖς ὠσὶν ἀὴρ κινηθεὶς ὑπὸ τοῦ ἔξω διαδῷ πρὸς τὸν ἐγκέφαλον. τὴν δ' ὄψιν ὁρᾶν ἐμφαινομένων εἰς τὴν κόρην, ταύτην δὲ*

Digitized by Google

μιγνυμένην τῷ ἐντὸς ἀέρι ποιεῖν αἴσθησιν· σημεῖον δέ· ἐὰν γὰρ φλεγμασία γένηται τῶν φλεβῶν οὐ μίγνυσθαι τῷ ἐντὸς οὔθ' ὁρᾶν ὁμοίως τῆς ἐμφάσεως οὔσης. τὴν δὲ γεῦσιν τῇ γλώττῃ διὰ τὸ μανὸν καὶ ἁπαλόν. περὶ δὲ ἁφῆς οὐδὲν ἀφώρισεν, οὔτε πῶς οὔτε τίνων ἐστίν· ἀλλὰ μετὰ ταῦτα πειρᾶται λέγειν διὰ τί συμβαίνει τὰς αἰσθήσεις ἀκριβεστέρας εἶναι καὶ τῶν ποίων.
ὄσφρησιν μὲν οὖν ὀξυτάτην οἷς ἐλάχιστος ἀὴρ ἐν τῇ 41
κεφαλῇ, ἥκιστα γὰρ μίγνυσθαι· καὶ πρὸς τούτοις ἐὰν ἕλκῃ διὰ μακροτέρου καὶ στενοτέρου, θᾶττον γὰρ οὕτω κρίνεσθαι· διόπερ ἔνια τῶν ζώων ὀσφραντικώτερα τῶν ἀνθρώπων εἶναι· οὐ μὴν ἀλλὰ συμμέτρου γε οὔσης τῆς ὀσμῆς τῷ ἀέρι πρὸς τὴν κρᾶσιν μάλιστα ἂν αἰσθάνεσθαι τὸν ἄνθρωπον. ἀκούειν δ' ὀξύτατα ὧν αἵ τε φλέβες λεπταὶ αἱ παρὰ τῇ αἰσθήσει καὶ ἡ ἀκοὴ τέτρηται βραχὺ καὶ λεπτὸν καὶ ἰθὺ, καὶ πρὸς τούτοις τὸ οὖς ὀρθὸν ἔχει καὶ μέγα· κινούμενον γὰρ τὸν ἐν τοῖς ὠσὶν ἀέρα κινεῖν τὸν ἐντός. ἐὰν δὲ εὐρυτέρα ᾖ κινουμένου τοῦ ἀέρος ἦχον εἶναι καὶ τὸν ψόφον ἄναρ-
θρον διὰ τὸ μὴ προσπίπτειν πρὸς ἠρεμοῦν. ὁρᾶν δ' 42
ὀξύτατον ὅσα τε τὸν ἀέρα καὶ τὰς φλέβας ἔχει λεπτὰς ὥσπερ ἐπὶ τῶν ἄλλων καὶ ὅσα τὸν ὀφθαλμὸν λαμπρότατον. μάλιστα δ' ἐμφαίνεσθαι τὸ ἐναντίον χρῶμα, δι' ὃ τοὺς μελανοφθάλμους μεθ' ἡμέραν καὶ τὰ λαμπρὰ μᾶλλον ὁρᾶν τοὺς δ' ἐναντίους νύκτωρ. ὅτι δὲ ὁ ἐντὸς ἀὴρ αἰσθάνεται μικρὸν ὢν μόριον τοῦ θεοῦ σημεῖον εἶναι ὅτι πολλάκις πρὸς ἄλλα τὸν νοῦν ἔχον-
τες οὔθ' ὁρῶμεν οὔτ' ἀκούομεν. ἡδονὴν δὲ καὶ λύ- 43
πην γίνεσθαι τόνδε τὸν τρόπον. ὅταν μὲν πολὺς ὁ ἀὴρ μίσγηται τῷ αἵματι καὶ κουφίζῃ κατὰ φύσιν ὢν καὶ κατὰ πᾶν τὸ σῶμα διεξιὼν ἡδονήν· ὅταν δὲ παρὰ φύσιν καὶ μὴ μίσγηται συνιζάνοντος τοῦ αἵματος

Digitized by Google

καὶ ἀσθενεστέρου καὶ πυκνοτέρου γιγνομένου λύπην.
ὁμοίως καὶ θράσος καὶ ὑγίειαν καὶ τἀναντία. κριτι-
κώτατον δὲ ἡδονῆς τὴν γλῶτταν· ἁπαλώτατον γὰρ εἶ-
ναι καὶ μανὸν καὶ τὰς φλέβας ἁπάσας ἀνήκειν εἰς αὐ-
τήν· διὸ σημεῖά τε πλεῖστα τοῖς κάμνουσιν ἐπ' αὐτῆς
εἶναι, καὶ τῶν ἄλλων ζώων τὰ χρώματα μηνύειν,
ὁπόσα γὰρ ἂν ᾖ καὶ ὁποῖα τοσαῦτα ἐμφαίνεσθαι. τὴν
44 μὲν οὖν αἴσθησιν οὕτω καὶ διὰ τοῦτο γίγνεσθαι. φρο-
νεῖν δὲ ὥσπερ ἐλέχθη τῷ ἀέρι καθαρῷ καὶ ξηρῷ· κω-
λύειν γὰρ τὴν ἰκμάδα τὸν νοῦν, διὸ καὶ ἐν τοῖς ὕπνοις
καὶ ἐν ταῖς μέθαις καὶ ἐν ταῖς πλησμοναῖς ἧττον φρο-
νεῖν. ὅτι δὲ ἡ ὑγρότης ἀφαιρεῖται τὸν νοῦν σημεῖον
ὅτι τὰ ἄλλα ζῶα χείρω τὴν διάνοιαν· ἀναπνεῖν τε γὰρ
τὸν ἀπὸ τῆς γῆς ἀέρα καὶ τροφὴν ὑγροτέραν προσφέ-
ρεσθαι. τοὺς δὲ ὄρνιθας ἀναπνεῖν μὲν καθαρὸν φύ-
σιν δὲ ὁμοίαν ἔχειν τοῖς ἰχθύσι· καὶ γὰρ τὴν σάρκα
στιφρὰν καὶ τὸ πνεῦμα οὐ διιέναι διὰ παντὸς ἀλλὰ
ἑστάναι περὶ τὴν κοιλίαν. διὸ τὴν μὲν τροφὴν ταχὺ
πέττειν αὐτὸ δ' ἄφρον εἶναι. συμβάλλεσθαι δ' ἔτι
πρὸς τῇ τροφῇ καὶ τὸ στόμα καὶ τὴν γλῶτταν· οὐ γὰρ
δύνασθαι συνιέναι ἀλλήλων. τὰ δὲ φυτὰ διὰ τὸ μὴ εἶναι
κοῖλα μηδὲ ἀναδέχεσθαι τὸν ἀέρα παντελῶς ἀφῃρῆσθαι
45 τὸ φρονεῖν. ταὐτὸν δ' αἴτιον εἶναι καὶ ὅτι τὰ παίδια
ἄφρονα. πολὺ γὰρ ἔχειν τὸ ὑγρὸν ὥστε μὴ δύνασθαι
διὰ παντὸς διιέναι τοῦ σώματος (τὸν ἀέρα) ἀλλὰ ἐκ-
κρίνεσθαι περὶ τὰ στήθη, διὸ νωθῆ τε εἶναι καὶ ἄφρονα.
ὀργίλα δὲ καὶ ὅλως ὀξύρροπα καὶ εὐμετάπτωτα διὰ
τὸ ἐν μικρῷ κινεῖσθαι τὸν ἀέρα πολύν· ὅπερ καὶ τῆς
λήθης αἴτιον εἶναι· διὰ γὰρ τὸ μὴ ἰέναι διὰ παντὸς
τοῦ σώματος οὐ δύνασθαι καὶ συνιέναι· σημεῖον δέ·
καὶ γὰρ τοῖς ἀναμιμνησκομένοις τὴν ἀπορίαν εἶναι

Digitized by Google

περὶ τὸ στῆθος, ὅταν δὲ εὔρωσι διασκίδνασθαι καὶ ἀνακουφίζεσθαι τῆς λύπης.

Cap. IX. Διογένης μὲν οὖν πάντα βουλόμενος 46
ἀνάπτειν τῷ ἀέρι πολλῶν ἀπολείπεται πρὸς πίστιν. οὔτε γὰρ τὴν αἴσθησιν οὔτε τὴν φρόνησιν ἴδιον ποιεῖ τῶν ἐμψύχων. ἴσως γὰρ καὶ ἀέρα τοιοῦτον καὶ κρᾶσιν καὶ συμμετρίαν ἐνδέχεται πανταχοῦ καὶ πᾶσιν ὑπάρχειν, εἰ δὲ μὴ τοῦτο αὐτὸ λεκτέον. ἔτι δὲ καὶ ἐν αὐταῖς ταῖς διαφόροις αἰσθήσεσιν ὥστε ἐνδέχεσθαι τὰ τῆς ὄψεως τὴν ἀκοὴν κρίνειν καὶ ὥσπερ ἡμεῖς τῇ ὀσφρήσει ταῦτα ἄλλο τι ζῷον ἕτερα διὰ τὸ τὴν αὐτὴν ἔχειν κρᾶσιν. ὥστε καὶ τῇ περὶ τὸν θώρακα ἀναπνοῇ κρίνειν τότε τὰς ὀσμάς· ἐνδέχεται γὰρ ἐνίοτε σύμμετρον εἶναι ταύταις. εὔηθες δὲ καὶ τὸ περὶ τὴν ὄψιν 47
ὡς τῷ ἀέρι τῷ ἐντὸς ὁρῶμεν· ἀλλὰ ἐλέγχει μέν πως τοὺς τὴν ἔμφασιν ποιοῦντας οὐ μὴν αὐτὸς λέγει τὴν αἰτίαν. ἔπειτα τὸ μὲν αἰσθάνεσθαι καὶ ἥδεσθαι καὶ φρονεῖν τῇ τε ἀναπνοῇ καὶ τῇ μίξει τοῦ αἵματος ἀποδίδωσι. πολλὰ δὲ τῶν ζώων τὰ μὲν ἄναιμα τὰ δὲ ὅλως οὐκ ἀναπνεῖ· καὶ εἰ δεῖ διὰ παντὸς τοῦ σώματος διιέναι τὴν ἀναπνοὴν ἀλλὰ μορίων τινῶν ... μικροῦ γὰρ ἕνεκα τοῦτ' ἔστιν, οὐθὲν ἂν κωλύοι διά γε τοῦτο καὶ τὰ πάντα καὶ μεμνῆσθαι καὶ φρονεῖν. ἔτι δὲ εἰ καὶ τοῦτο συνέβαινεν οὐκ ἂν ἦν ἐμποδών. οὐ γὰρ ἐν ἅπασι τοῖς μέρεσιν ὁ νοῦς, οἷον ἐν τοῖς σκέλεσι καὶ τοῖς ποσὶν, ἀλλὰ ἐν ὡρισμένοις, δι' ὧν καὶ οἱ ἐν ἡλικίᾳ καὶ μέμνηνται καὶ φρονοῦσιν. εὔηθες δὲ καὶ τὸ τοὺς ἀν- 48
θρώπους διαφέρειν τῷ καθαρώτερον ἀναπνεῖν ἀλλ' οὐ τὴν φύσιν καθάπερ καὶ τὰ ἔμψυχα τῶν ἀψύχων. ἐχρῆν γὰρ εὐθὺς μεταλλάξαντα τόπον διαφέρειν τῷ φρονεῖν· καὶ τῶν ἀνθρώπων δὲ τοὺς ἐν τοῖς ὑψηλοῖς ἐμφρονεστέρους εἶναι τῶν πάντων δὲ μάλιστα τοὺς

Digitized by Google

ὄρνιθας· οὐ γὰρ τοσοῦτον ἡ τῆς σαρκὸς διαφέρει φύσις ὅσον ἡ τοῦ ἀέρος καθαριότης. ἔτι δὲ τὰ φυτὰ μὴ φρονεῖν διὰ τὸ μὴ ἔχειν κενόν, οἷς δ' ἐνυπάρχει ταῦτα πάντα φρονεῖν. Διογένης μὲν οὖν ὥσπερ εἴπομεν ἅπαντα προθυμούμενος ἀνάγειν εἰς τὴν ἀρχὴν πολλὰ διαμαρτάνει τῶν εὐλόγων.

49 Cap. X. Δημόκριτος δὲ περὶ μὲν αἰσθήσεως οὐ διορίζει πότερα τοῖς ἐναντίοις ἢ τοῖς ὁμοίοις ἐστίν. εἰ μὲν γὰρ ἀλλοιοῦσθαι ποιεῖ τὸ αἰσθάνεσθαι δόξειεν ἂν τοῖς διαφόροις· οὐ γὰρ ἀλλοιοῦται τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου· πάλιν δ' (εἰ) τὸ μὲν αἰσθάνεσθαι καὶ ἁπλῶς ἀλλοιοῦσθαι πάσχειν, ἀδύνατον δέ, φησί, τὸ μὴ ταὐτὰ πάσχειν, * ἀλλὰ καὶ ἕτερα ὄντα ποιεῖν οὐχ ἕτερα ἀλλ' ᾗ ταὐτόν τι πάσχει τοῖς ὁμοίοις. διὸ περὶ μὲν τούτων ἀμφοτέρως ἐστὶν ὑπολαμβάνειν. περὶ ἑκάστης δ' ἤδη
50 τῶν ἐν μέρει πειρᾶται λέγειν. ὁρᾶν μὲν οὖν ποιεῖ τῇ ἐμφάσει· ταύτην δ' ἰδίως λέγει· τὴν γὰρ ἔμφασιν οὐκ εὐθὺς ἐν τῇ κόρῃ γίνεσθαι ἀλλὰ τὸν ἀέρα τὸν μεταξὺ τῆς ὄψεως καὶ τοῦ ὁρωμένου τυποῦσθαι συστελλόμενον ὑπὸ τοῦ ὁρωμένου καὶ τοῦ ὁρῶντος· ἅπαντος γὰρ ἀεὶ γίνεσθαί τινα ἀπορροήν· ἔπειτα τοῦτον στερεὸν ὄντα καὶ ἀλλόχρων ἐμφαίνεσθαι τοῖς ὄμμασιν ὑγροῖς· καὶ τὸ μὲν πυκνὸν οὐ δέχεσθαι τὸ δ' ὑγρὸν διιέναι. διὸ καὶ τοὺς ὑγροὺς τῶν σκληρῶν ὀφθαλμῶν ἀμείνους εἶναι πρὸς τὸ ὁρᾶν εἰ ὁ μὲν ἔξω χιτὼν ὡς λεπτότατος καὶ πυκνότατος εἴη τὰ δ' ἐντὸς ὡς μάλιστα σομφὰ καὶ κενὰ πυκνῆς καὶ ἰσχυρᾶς σαρκός, ἔτι δὲ ἰκμάδος παχείας τε καὶ λιπαρᾶς, καὶ αἱ φλέβες κατὰ τοὺς ὀφθαλμοὺς εὐθεῖαι καὶ ἄνικμοι καὶ ὁμοσχημονοῖεν τοῖς ἀποτυπουμένοις. τὰ γὰρ ὁμόφυλα μάλιστα ἕκαστον γνωρίζειν.

51 Cap. XI. Πρῶτον μὲν οὖν ἄτοπος ἡ ἀποτύπωσις

Digitized by Google

ἢ ἐν τῷ ἀέρι. δεῖ γὰρ ἔχειν πυκνότητα καὶ μὴ θρύπτεσθαι τὸ πυκνούμενον, ὥσπερ καὶ αὐτὸς λέγει παραβάλλων τοιαύτην εἶναι τὴν ἐντύπωσιν οἷον εἰ ἐκμάξειας εἰς σκληρόν. ἔπειτα μᾶλλον ἐν ὕδατι τυποῦσθαι δυνατὸν ὅσῳ πυκνότερον· ἧττον δὲ ὁρᾶται. καίτοι προσῆκε μᾶλλον. ὅλως δὲ ἀπορροὴν ποιοῦντι τῆς μορφῆς ὥσπερ ἐν τοῖς περὶ τῶν εἰδώλων τί δεῖ τὴν ἀποτύπωσιν ποιεῖν; αὐτὰ γὰρ ἐμφαίνεται τὰ εἴδωλα. εἰ 52
δὲ δὴ τοῦτο συμβαίνει καὶ ὁ ἀὴρ ἀπομάττεται καθάπερ κηρὸς ὠθούμενος καὶ πυκνούμενος, πῶς καὶ ποῖά τις ἡ ἔμφασις γίνεται; δῆλον γὰρ ὡς ἐπὶ προσώπου τύπος ἔσται τῷ ὁρωμένῳ καθάπερ ἐν τοῖς ἄλλοις. τοιούτου δ' ὄντος ἀδύνατον ἐξ ἐναντίας ἔμφασιν γίνεσθαι μὴ στραφέντος τοῦ τύπου. τοῦτο δὲ ὑπὸ τίνος ἔσται καὶ πῶς δεικτέον· οὐχ οἷόν τε γὰρ ἄλλως γίνεσθαι τὸ ὁρᾶν. ἔπειτα ὅταν ὁρᾶται πλείονα κατὰ τὸν αὐτὸν τόπον πῶς ἐν τῷ αὐτῷ ἀέρι πλείους ἔσονται τύποι; καὶ πάλιν πῶς ἀλλήλους ὁρᾶν ἐνδέχεται; τοὺς γὰρ τύπους ἀνάγκη συμβάλλειν ἑαυτοῖς, ἑκάτερον ἀντιπρόσωπον ὂν ἀφ' ὧν ἐστίν. ὥστε τοῦτο ζήτησιν ἔχει. καὶ πρὸς 53
τούτῳ διὰ τί ποτε ἕκαστος αὐτὸς αὑτὸν οὐχ ὁρᾷ; καθάπερ γὰρ τοῖς τῶν πέλας ὄμμασιν οἱ τύποι, καὶ τοῖς αὐτῶν ἐμφαίνοιντ' ἄν· ἄλλως τε εἰ καὶ εὐθὺς ἀντιπρόσωποι κεῖνται καὶ ταὐτὸ συμβαίνει πάθος ὥσπερ ἐπὶ τῆς ἠχοῦς. ἀνακλᾶσθαι γάρ φησι καὶ πρὸς αὐτὸν τὸν φθεγξάμενον τὴν φωνήν. ὅλως δὲ ἄτοπος ἡ τοῦ ἀέρος τύπωσις. ἀνάγκη γὰρ ἐξ ὧν λέγει πάντα ἐναποτυποῦσθαι τὰ σώματα καὶ πολλὰ ἐναλλάττειν, ὃ καὶ πρὸς τὴν ὄψιν ἐμπόδιον ἂν εἴη καὶ ἄλλως οὐκ εὔλογον. ἔτι δὲ εἴπερ ἡ τύπωσις διαμένει καὶ μὴ φανερῶν μηδὲ πλησίον ὄντων τῶν σωμάτων, ἐχρῆν ὁρᾶν εἰ καὶ μὴ νύκτωρ ἀλλὰ μεθ' ἡμέραν. καίτοι τούς γε τύπους

Digitized by Google

οὐχ ἧττον εἰκὸς διαμένειν νυκτὸς ὅσῳ ἐμψυχρότερος
54 ὁ ἀήρ. ἀλλ' ἴσως τὴν ἔμφασιν ὁ ἥλιος ποιεῖ τὸ φῶς
ὥσπερ ἐπιφέρων ἐπὶ τὴν ὄψιν, καθάπερ ἔοικε βούλε-
σθαι λέγειν. ἐπεὶ τό γε τὸν ἥλιον ἀπωθοῦντα ἀφ'
ἑαυτοῦ καὶ ἀποπλαττόμενον πυκνοῦν τὸν ἀέρα, καθά-
περ φησίν, ἄτοπον· διακρίνειν γὰρ πέφυκε μᾶλλον.
ἄτοπον δὲ καὶ τὸ μὴ μόνον τοῖς ὄμμασιν ἀλλὰ καὶ
τῷ ἄλλῳ σώματι μεταδιδόναι τῆς αἰσθήσεως. φησὶ
γὰρ διὰ τοῦτο κενότητα καὶ ὑγρότητα ἔχειν δεῖν τὸν
ὀφθαλμὸν ἵν' ἐπιπλέον δέχηται καὶ τῷ ἄλλῳ σώματι
παραδιδῷ. ἄλογον δὲ καὶ τὸ μάλιστα μὲν ὁρᾶν φάναι
τὰ ὁμόφυλα, τὴν δὲ ἔμφασιν ποιεῖν τοῖς ἀλλόχρωσιν
ὡς οὐκ ἐμφαινομένων τῶν ὁμοίων. τὰ δὲ μεγέθη καὶ
τὰ διαστήματα πῶς φαίνεται καίπερ ἐπιχειρήσας λέ-
55 γειν οὐκ ἀποδίδωσιν. περὶ μὲν οὖν ὄψεως ἰδίως ἔνια
βουλόμενος λέγειν πλείω παραδίδωσι ζήτησιν. τὴν δ'
ἀκοὴν παραπλησίως ποιεῖ τοῖς ἄλλοις. εἰς γὰρ τὸ κε-
νὸν ἐμπίπτοντα τὸν ἀέρα κίνησιν ἐμποιεῖν, πλὴν ὅτι
κατὰ πᾶν μὲν ὁμοίως τὸ σῶμα εἰσιέναι μάλιστα δὲ καὶ
πλεῖστον διὰ τῶν ὤτων, ὅτι διὰ πλείστου τε κενοῦ
διέρχεται καὶ ἥκιστα διαμίμνει. διὸ καὶ κατὰ μὲν τὸ
ἄλλο σῶμα οὐκ αἰσθάνεσθαι ταύτῃ δὲ μόνον. ὅταν
δὲ ἐντὸς γένηται σκίδνασθαι διὰ τὸ τάχος· τὴν γὰρ
φωνὴν εἶναι πυκνουμένου τοῦ ἀέρος καὶ μετὰ βίας
εἰσιόντος. ὥσπερ οὖν ἐκτὸς ποιεῖ τῇ ἀφῇ τὴν αἴσθη-
56 σιν οὕτω καὶ ἐντός. ὀξύτατον δ' ἀκούειν, εἰ ὁ μὲν
ἔξω χιτὼν εἴη πυκνὸς τὰ δὲ φλεβία κενὰ καὶ ὡς μά-
λιστα ἄνικμα καὶ εὔτρητα κατά τε τὸ ἄλλο σῶμα καὶ
τὴν κεφαλὴν καὶ τὰς ἀκοάς, ἔτι δὲ τὰ ὀστᾶ πυκνὰ καὶ
ὁ ἐγκέφαλος εὔκρατος καὶ τὸ περὶ αὐτὸν ὡς ξηρότατον·
ἀθρόον γὰρ οὕτως εἰσιέναι τὴν φωνὴν ἅτε διὰ πολλοῦ
κενοῦ καὶ ἀνίκμου καὶ εὐτρήτου εἰσιοῦσαν, καὶ ταχὺ

Digitized by Google

σκίδνασθαι καὶ ὁμαλῶς κατὰ τὸ σῶμα καὶ οὐδὲ ἐκπί-
πτειν ἔξω. τὸ μὲν οὖν (οὐ) σαφῶς ἀφορίζειν ὁμοίως 57
ἔχει τοῖς ἄλλοις. ἄτοπον δὲ τὸ ἴδιον, κατὰ πᾶν τὸ
σῶμα τὸν ψόφον εἰσιέναι, καὶ ὅταν εἰσέλθῃ διὰ τῆς
ἀκοῆς διαχεῖσθαι κατὰ πᾶν, ὥσπερ οὐ ταῖς ἀκοαῖς ἀλλ'
ὅλῳ τῷ σώματι τὴν αἴσθησιν οὖσαν. εἰ γὰρ καὶ συμ-
πάσχει τι τῇ ἀκοῇ διὰ τοῦτ' οὐκ αἰσθάνεται. πάσαις
γὰρ τοῦτό γε ὁμοίως ποιεῖ, καὶ οὐ μόνον ταῖς αἰσθή-
σεσιν ἀλλὰ καὶ τῇ ψυχῇ. καὶ περὶ μὲν ὄψεως καὶ ἀκοῆς
οὕτως ἀποδίδωσι, τὰς δ' ἄλλας αἰσθήσεις σχεδὸν ὁμοίας
ποιεῖ τοῖς πλείστοις. περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦ- 58
τον εἴρηκεν ὅτι γίνεται συμμέτρως ἐχούσης τῆς ψυχῆς
μετὰ τὴν κίνησιν· ἐὰν δὲ περίθερμός τις ἢ περίψυχρος
γένηται μεταλλάττειν φησί. διότι καὶ τοὺς παλαιοὺς
καλῶς τοῦθ' ὑπολαβεῖν ὅτι ἐστὶν ἀλλοφρονεῖν. ὥστε
φανερὸν ὅτι τῇ κράσει τοῦ σώματος ποιεῖ τὸ φρονεῖν,
ὅπερ ἴσως αὐτῷ καὶ κατὰ λόγον ἐστὶ σῶμα ποιοῦντι
τὴν ψυχήν. αἱ μὲν οὖν περὶ αἰσθήσεως καὶ τοῦ φρο-
νεῖν δόξαι σχεδὸν αὗται καὶ τοσαῦται τυγχάνουσιν
οὖσαι παρὰ τοῖς πρότερον.

Cap. XII. *Περὶ δὲ τῶν αἰσθητῶν*, τίς ἡ φύσις 59
καὶ ποῖον ἕκαστόν ἐστιν, οἱ μὲν ἄλλοι παραλείπουσιν.
τῶν μὲν γὰρ ὑπὸ τὴν ἁφὴν περὶ βαρέος καὶ κούφου
καὶ θερμοῦ καὶ ψυχροῦ λέγουσιν, οἷον ὅτι τὸ μὲν μα-
νὸν καὶ λεπτὸν θερμόν, τὸ δὲ πυκνὸν καὶ παχὺ ψυ-
χρόν, ὥσπερ Ἀναξαγόρας διαιρεῖ τὸν ἀέρα καὶ τὸν αἰ-
θέρα: σχεδὸν δὲ καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον τοῖς αὐ-
τοῖς καὶ ἔτι ταῖς ἄνω καὶ κάτω φοραῖς, καὶ πρὸς τού-
τοις περί τε φωνῶν ὅτι κίνησις τοῦ ἀέρος, καὶ περὶ
ὀσμῆς ὅτι ἀπορροή τις. Ἐμπεδοκλῆς δὲ καὶ περὶ τῶν
χρωμάτων, καὶ ὅτι τὸ μὲν λευκὸν τοῦ πυρὸς τὸ δὲ μέ-
λαν τοῦ ὕδατος. οἱ δ' ἄλλοι τοσοῦτον μόνον ὅτι τό τε

Digitized by Google

λευκὸν καὶ τὸ μέλαν ἀρχαί, τὰ δ' ἄλλα μιγνυμένων
γίνεται τούτων. καὶ γὰρ Ἀναξαγόρας ἁπλῶς εἴρηκε
60 περὶ αὐτῶν. Δημόκριτος δὲ καὶ Πλάτων ἐπὶ πλεῖστόν
εἰσιν ἡμμένοι, καθ' ἕκαστον γὰρ ἀφορίζουσι· πλὴν
ὁ μὲν οὐκ ἀποστερῶν τῶν αἰσθητῶν τὴν φύσιν, Δη-
μόκριτος δὲ πάντα πάθη τῆς αἰσθήσεως ποιῶν. ποτέ-
ρως μὲν οὖν ἔχει τἀληθὲς οὐκ ἂν εἴη (νῦν) λόγος. ἐφ'
ὅσον δὲ ἑκάτερος ἧπται καὶ πῶς ἀφώρικε πειρασθῶμεν
ἀποδοῦναι πρότερον εἰπόντες τὴν ὅλην ἔφοδον ἑκατέ-
ρου. Δημόκριτος μὲν οὖν οὐχ ὁμοίως λέγει περὶ πάν-
των ἀλλὰ τὰ μὲν τοῖς μεγέθεσι τὰ δὲ τοῖς σχήμασιν
ἔνια δὲ τάξει καὶ θέσει διορίζει. Πλάτων δὲ σχεδὸν
ἅπαντα πρὸς τὰ πάθη καὶ τὴν αἴσθησιν ἀποδίδωσιν.
ὥστε δόξειεν ἂν ἑκάτερος ἐναντίως τῇ ὑποθέσει λέ-
61 γειν. ὁ μὲν γὰρ πάθη ποιῶν τῆς αἰσθήσεως καθ' αὑτὰ
διορίζει τὴν φύσιν· ὁ δὲ καθ' αὑτὰ ποιῶν ταῖς οὐσίαις
πρὸς τὰ πάθη τῆς αἰσθήσεως ἀποδίδωσι.

Cap. XIII. Βαρὺ μὲν οὖν καὶ κοῦφον τῷ μεγέθει
διαιρεῖ Δημόκριτος. εἰ γὰρ διακριθῇ ἓνθὲν ἕκαστον
εἰ καὶ κατὰ σχῆμα διαφέροι, σταθμὸν ἂν ἐπὶ μεγέθει
τὴν φύσιν ἔχειν. οὐ μὴν ἀλλ' ἔν γε τοῖς μικτοῖς κου-
φότερον ἂν εἶναι τὸ πλέον ἔχον κενόν, βαρύτερον δὲ
62 τὸ ἔλαττον. ἐν ἐνίοις μὲν οὕτως εἴρηκεν. ἐν ἄλλοις
δὲ κοῦφον εἶναί φησιν ἁπλῶς τὸ λεπτόν. παραπλη-
σίως δὲ καὶ περὶ σκληροῦ καὶ μαλακοῦ. σκληρὸν μὲν
γὰρ εἶναι τὸ πυκνόν, μαλακὸν δὲ τὸ μανόν, καὶ τὸ
μᾶλλόν τε καὶ ἧττον καὶ μάλιστα κατὰ λόγον. διαφέ-
ρειν δ' ἔτι τὴν θέσιν καὶ τὴν ἐναπόλειψιν τῶν κενῶν
τοῦ σκληροῦ καὶ μαλακοῦ καὶ βαρέος καὶ κούφου. διὸ
σκληρότερον μὲν εἶναι σίδηρον βαρύτερον δὲ μόλυβ-
δον· τὸν μὲν γὰρ σίδηρον ἀνωμάλως συγκεῖσθαι καὶ
τὸ κενὸν ἔχειν πολλαχῇ καὶ κατὰ μεγάλα πεπυκνῶσθαι

Digitized by Google

καὶ κατὰ ἔνια, ἁπλῶς δὲ πλέον ἔχειν κενόν. τὸν δὲ μόλυβδον ἔλαττον ἔχοντα κενὸν ὁμαλῶς συγκεῖσθαι κατὰ πᾶν ὁμοίως, διὸ βαρύτερον μὲν μαλακώτερον δ' εἶναι τοῦ σιδήρου. περὶ μὲν βαρέος καὶ κούφου καὶ 63
σκληροῦ καὶ μαλακοῦ ἐν τούτοις ἀφορίζει. τῶν δ' ἄλλων αἰσθήσεων οὐδενὸς εἶναι φύσιν ἀλλὰ πάντα πάθη τῆς αἰσθήσεως ἀλλοιουμένης ἐξ ἧς γίνεσθαι τὴν φαντασίαν. οὐδὲ γὰρ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ φύσιν ὑπάρχειν ἀλλὰ τὸ σχῆμα μεταπίπτον ἐργάζεσθαι καὶ τὴν ἡμετέραν ἀλλοίωσιν· ὅτι γὰρ ἂν ἄθρουν ᾖ τοῦτ' ἐνισχύειν ἑκάστῳ, τὸ δ' εἰς μικρὰ διανενημένον ἀναίσθητον εἶναι. σημεῖον δὲ ὡς οὐκ εἰσὶ φύσει τὸ μὴ ταὐτὰ πᾶσι φαίνεσθαι τοῖς ζώοις ἀλλ' ὃ ἡμῖν γλυκὺ τοῦτ' ἄλλοις πικρὸν καὶ ἑτέροις ὀξὺ καὶ ἄλλοις δριμὺ τοῖς δὲ στρυφνόν, καὶ τὰ ἄλλα δὲ ὡσαύτως. ἔτι δ' αὐ- 64
τοὺς μεταβάλλειν τῇ κράσει καὶ τὰ πάθη κατὰ τὰς ἡλικίας· ᾗ καὶ φανερὸν ὡς ἡ διάθεσις αἰτία τῆς φαντασίας. ἁπλῶς μὲν οὖν περὶ τῶν αἰσθητῶν οὕτως δεῖν ὑπολαμβάνειν. οὐ μὴν ἀλλ' ὥσπερ καὶ τὰ ἄλλα καὶ ταῦτα ἀνατίθησι τοῖς σχήμασι· πλὴν οὐχ ἁπάντων ἀποδίδωσι τὰς μορφὰς ἀλλὰ μᾶλλον τῶν χυλῶν καὶ τῶν χρωμάτων, καὶ τούτων ἀκριβέστερον διορίζει τὰ περὶ τοὺς χυλοὺς ἀναφέρων τὴν φαντασίαν πρὸς ἄνθρωπον. τὸν μὲν οὖν ὀξὺν εἶναι τῷ σχήματι γωνιο- 65
ειδῆ τε καὶ πολυκαμπῆ καὶ μικρὸν καὶ λεπτόν. διὰ γὰρ τὴν δριμύτητα ταχὺ καὶ πάντῃ διαδύνεσθαι, τραχὺν δ' ὄντα καὶ γωνιοειδῆ συνάγειν καὶ συσπᾶν, διὸ καὶ θερμαίνειν τὸ σῶμα κενότητας ἐμποιοῦντα· μάλιστα γαρ θερμαίνεσθαι τὸ πλεῖστον ἔχον κενόν. τὸν δὲ γλυκὺν ἐκ περιφερῶν συγκεῖσθαι σχημάτων οὐκ ἄγαν μικρῶν, διὸ καὶ διαχεῖν ὅλως τὸ σῶμα καὶ οὐ βιαίως καὶ οὐ ταχὺ πάντα περαίνειν· τοὺς δ' ἄλλους

Digitized by Google

ταράττειν ὅτι διαδύνων πλανᾷ τὰ ἄλλα καὶ ὑγραίνει· ὑγραινόμενα δὲ καὶ ἐκ τῆς τάξεως κινούμενα συρρεῖν εἰς τὴν κοιλίαν· ταύτην γὰρ εὐπορώτατον εἶναι διὰ
66 τὸ ταύτῃ πλεῖστον εἶναι κενόν. τὸν δὲ στρυφνὸν ἐκ μεγάλων σχημάτων καὶ πολυγωνίων καὶ περιφερὲς ἥκιστ' ἐχόντων· ταῦτα γὰρ ὅταν εἰς τὰ σώματα ἔλθῃ ἐπιτυφλοῦν ἐμπλάττοντα τὰ φλεβία καὶ κωλύειν συρρεῖν, διὸ καὶ τὰς κοιλίας ἱστάναι. τὸν δὲ πικρὸν ἐκ μικρῶν καὶ λείων καὶ περιφερῶν τὴν περιφέρειαν εἰληχότα καὶ καμπὰς ἔχουσαν, διὸ καὶ γλισχρὸν καὶ κολλώδη. ἁλμυρὸν δὲ τὸ ἐκ μεγάλων καὶ οὐ περιφερῶν ἀλλ' ἐπ' ἐνίων μὲν σκαληνῶν διὸ οὐδὲ πολυκαμπῶν. βούλεται δὲ σκαληνὰ λέγειν ἅπερ παράλλαξιν ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν. μεγάλων μὲν ὅτι ἡ ἁλμυρὶς ἐπιπολάζει· μικρὰ γὰρ ὄντα καὶ τυπτόμενα τοῖς περιέχουσι μίγνυσθαι ἂν ἐν τῷ παντί· οὐ περιφερῶν δὲ ὅτι τὸ μὲν ἁλμυρὸν τραχὺ τὸ δὲ περιφερὲς λεῖον· [οὐ] σκαληνὸν δὲ διὰ τὸ μὴ πε-
67 ριπλάττεσθαι, διὸ ψαφαρὸν εἶναι. τὸν δὲ δριμὺν μικρὸν καὶ περιφερῆ καὶ γωνιοειδῆ, σκαληνὸν δὲ οὐκ ἔχειν.* τὸν μὲν γὰρ δριμὺν πολυγώνιον ποιεῖν τῇ τραχύτητι, θερμαίνειν καὶ διαχεῖν διὰ τὸ μικρὸν εἶναι καὶ περιφερῆ καὶ γωνιοειδῆ· καὶ γὰρ τὸ γωνιοειδὲς εἶναι τοιοῦτον.* ὡσαύτως δὲ καὶ τὰς ἄλλας ἑκάστου δυνάμεις ἀποδίδωσιν ἀνάγων εἰς τὰ σχήματα. ἁπάντων δὲ τῶν σχημάτων οὐδὲν ἀκέραιον εἶναι καὶ ἀμιγὲς τοῖς ἄλλοις ἀλλ' ἐν ἑκάστῳ πολλὰ εἶναι καὶ τὸν αὐτὸν ἔχειν λείου καὶ τραχέος καὶ περιφεροῦς καὶ ὀξέος καὶ τῶν λοιπῶν. οὗ δ' ἂν ἐνῇ πλεῖστον τοῦτο μάλιστα ἐνισχύειν πρός τε τὴν αἴσθησιν καὶ τὴν δύναμιν. ἔτι δὲ εἰς ὁποίαν ἕξιν ἂν εἰσέλθῃ διαφέρειν οὐκ ὀλίγον. καὶ διὰ τοῦτο τὸ αὐτὸ τἀναντία, καὶ τά-

Digitized by Google

ναντία τὸ αὐτὸ πάθος ποιεῖν ἐνίοτε. καὶ περὶ μὲν τῶν 68
χυλῶν οὕτως ἀφώρικεν· ἄτοπον δ' ἂν φανείη πρῶτον μὲν τὸ μὴ πάντων ὁμοίως ἀποδοῦναι τὰς αἰτίας ἀλλὰ βαρὺ μὲν καὶ κοῦφον καὶ μαλακὸν καὶ σκληρὸν καὶ μεγέθει καὶ σμικρότητι καὶ τῷ μανῷ καὶ πυκνῷ, θερμὸν δὲ καὶ ψυχρὸν καὶ τὰ ἄλλα τοῖς σχήμασιν. ἔπειτα βαρέος μὲν καὶ κούφου καὶ σκληροῦ καὶ μαλακοῦ καθ' αὑτὰ ποιεῖν φύσεις· μέγεθος μὲν γὰρ καὶ σμικρότης καὶ τὸ πυκνὸν καὶ τὸ μανὸν οὐ πρὸς ἕτερόν ἐστι· θερμῶν δὲ καὶ ψυχρῶν καὶ τῶν ἄλλων πρὸς τὴν αἴσθησιν, καὶ ταῦτα πολλάκις λέγοντα διότι τοῦ χυμοῦ
τὸ σχῆμα σφαιροειδές. ὅλως δὲ μέγιστον ἐναντίωμα 69
καὶ κοινὸν ἐπὶ πάντων ἅμα μὲν πάθη ποιεῖν τῆς αἰσθήσεως ἅμα δὲ τοῖς σχήμασι διορίζειν· καὶ τὸ αὐτὸ φαίνεσθαι τοῖς μὲν πικρὸν τοῖς δὲ γλυκὺ τοῖς δ' ἄλλο· οὐχ οἷόν τε γὰρ τὸ σχῆμα πάθος εἶναι οὔτε ταὐτὸ τοῖς μὲν σφαιροειδὲς τοῖς δ' ἄλλως. ἀνάγκη δ' εἴπερ ὡς εἶπε τοῖς μὲν γλυκὺ τοῖς δὲ πικρὸν* οὐδὲ κατὰ τὰς ἡμετέρας ἕξεις μεταβάλλειν τὰς μορφάς. ἁπλῶς δὲ τὸ μὲν σχῆμα καθ' αὑτό ἐστι, τὸ δὲ γλυκὺ καὶ ὅλως τὸ αἰσθητὸν πρὸς ἄλλο καὶ ἐν ἄλλοις ὥς φησιν. ἄτοπον δὲ καὶ τὸ πᾶσιν ἀξιοῦν ταὐτὸ φαίνεσθαι τῶν αὐτῶν αἰσθανομένοις καὶ τούτων τὴν ἀλήθειαν ἐλέγχειν, καὶ ταῦτα εἰρηκότα πρότερον τὸ τοῖς ἀνομοίως διακειμένοις ἀνόμοια φαίνεσθαι καὶ πάλιν τὸ μηθὲν μᾶλλον
ἕτερον ἑτέρου τυγχάνειν τῆς ἀληθείας. εἰκὸς γὰρ τὸ 70
βέλτιον τοῦ χείρονος καὶ τὸ ὑγιαῖνον τοῦ κάμνοντος· κατὰ φύσιν γὰρ μᾶλλον. ἔτι δὲ εἴπερ μή ἐστι φύσις τῶν αἰσθητῶν διὰ τὸ μὴ ταὐτὰ πᾶσι φαίνεσθαι, δῆλον ὡς οὐδὲ τῶν ζώων οὐδὲ τῶν ἄλλων σωμάτων· οὐδὲ γὰρ περὶ τούτων ὁμοδοξοῦσι. καίτοι εἰ μὴ καὶ διὰ τῶν αὐτῶν γίνεται πᾶσι τὸ γλυκὺ καὶ τὸ πικρόν,

Digitized by Google

ἀλλ' ἥ γε φύσις τοῦ πικροῦ καὶ τοῦ γλυκέος ἡ αὐτὴ φαίνεται πᾶσιν. ὅπερ καὶ αὐτὸς ἂν δόξειεν ἐπιμαρτυρεῖν. πῶς γὰρ ἂν τὸ ἡμῖν πικρὸν ἄλλοις ἦν γλυκὺ
71 καὶ στρυφνὸν εἰ μή τις ἦν ὡρισμένη φύσις αὐτῶν. ἔτι δὲ ποιεῖ σαφέστερον ἐν οἷς φησὶ γίνεσθαι μὲν ἕκαστον καὶ εἶναι κατ' ἀλήθειαν* ἰδίως δὲ ἐπὶ μικροῦ μοῖραν ἔχειν συνέσεως. ὥστε διά τε τούτων ἐναντίον ἂν φανείη τὸ μὴ ποιεῖν φύσιν τινὰ τῶν αἰσθητῶν, καὶ πρὸς τούτοις ὅπερ ἐλέχθη καὶ πρότερον, ὅταν σχῆμα μὲν ἀποδιδῷ τῆς οὐσίας ὥσπερ καὶ τῶν ἄλλων μὴ εἶναι δὲ λέγῃ φύσιν· ἢ γὰρ οὐδενὸς ὅλως ἢ καὶ τούτων ἔσται τῆς αὐτῆς γε ὑπαρχούσης αἰτίας. ἔτι δὲ τὸ θερμόν τε καὶ ψυχρὸν ἅπερ ἀρχὰς τιθέασιν εἰκὸς ἔχειν τινὰ φύσιν, εἰ δὲ ταῦτα καὶ τὰ ἄλλα. νῦν δὲ σκληροῦ μὲν καὶ μαλακοῦ καὶ βαρέος καὶ κούφου ποιεῖ τὴν οὐσίαν, ἅπερ οὐχ ἧττον ἔδοξε λέγεσθαι πρὸς ἡμᾶς, θερμοῦ δὲ καὶ ψυχροῦ καὶ τῶν ἄλλων οὐδενός. καίτοι τό γε βαρὺ καὶ κοῦφον ὅταν διορίζῃ τοῖς μεγέθεσιν ἀνάγκη τὰ ἁπλᾶ πάντα τὸν αὐτὸν ἔχειν ὅρον τῆς μορφῆς, ὥστε μιᾶς τινος ἂν ὕλης εἴη καὶ τῆς αὐτῆς
72 φύσεως. ἀλλὰ περὶ μὲν τούτων ἔοικε συνηκολουθηκέναι τοῖς ποιοῦσιν ὅλως τὸ φρονεῖν κατὰ τὴν ἀλλοίωσιν, ἥπερ ἐστὶν ἀρχαιοτάτη δόξα. πάντες γὰρ οἱ παλαιοὶ καὶ οἱ ποιηταὶ καὶ σοφοὶ κατὰ τὴν διάθεσιν ἀποδιδόασι τὸ φρονεῖν. τῶν δὲ χυλῶν ἑκάστῳ τὸ σχῆμα ἀποδίδωσι πρὸς τὴν δύναμιν ἀφομοιῶν τὴν ἐν τοῖς πάθεσιν· ὅπερ οὐ μόνον ἐξ ἐκείνων ἀλλὰ καὶ ἐκ τῶν αἰσθητηρίων ἔδει συμβαίνειν ἄλλως τε καὶ πάθη τούτων ἐστίν. οὐ γὰρ πᾶν τὸ σφαιροειδὲς οὐδὲ τὰ ἄλλα σχήματα τὴν αὐτὴν ἔχει δύναμιν, ὥστε καὶ κατὰ τὸ ὑποκείμενον ἔδει διορίζειν πότερον ἐξ ὁμοίων ἢ ἐξ ἀμφοῖν ἐστί, καὶ πῶς ἡ τῶν αἰσθήσεων ἀλλοίωσις γίνεται,

Digitized by Google

καὶ πρὸς τούτοις ὁμοίως ἐπὶ πάντων ἀποδοῦναι τῶν
διὰ τῆς ἁφῆς καὶ μὴ μόνον τὰ περὶ γεῦσιν. ἀλλὰ καὶ
ταῦτα μὲν ἤτοι διαφοράν τινα ἔχει πρὸς τοὺς χυλοὺς
ἣν ἔδει διελεῖν, ἢ καὶ παρεῖται δυνατὸν ὂν ὁμοίως εἰ-
πεῖν. τῶν δὲ χρωμάτων ἁπλᾶ μὲν λέγει τέτταρα. λευ- 73
κὸν μὲν οὖν εἶναι τὸ λεῖον. ὃ γὰρ ἂν μὴ τραχὺ μηδ'
ἐπισκιάζῃ μηδὲ δυσδίοδον ᾖ τοιοῦτον πᾶν λαμπρὸν εἶ-
ναι. δεῖ δὲ καὶ εὐθύτρυπα καὶ διαυγῆ τὰ λαμπρὰ εἶ-
ναι. τὰ μὲν οὖν σκληρὰ τῶν λευκῶν ἐκ τοιούτων σχη-
μάτων συγκεῖσθαι οἷον ἡ ἐντὸς πλὰξ τῶν κογχυλίων·
οὕτω γὰρ ἂν ἄσκια καὶ εὐαγῆ καὶ εὐθύπορα εἶναι.
τὰ δὲ ψαθυρὰ καὶ εὔθρυπτα ἐκ περιφερῶν μὲν λοξῶν
δὲ τῇ θέσει πρὸς ἄλληλα· καὶ τὰς δύο συζεύξεις τήν
τ' ὅλην τάξιν ἔχειν ὅτι μάλιστα ὁμοίαν. τοιούτων δ'
ὄντων ψαθυρὰ μὲν εἶναι διότι κατὰ μικρὸν ἡ σύναψις·
εὔθρυπτα δὲ ὅτι ὁμοίως κεῖνται· ἄσκια δὲ διότι λεῖα
καὶ πλατέα· λευκότερα δ' ἄλλα ἄλλων τῷ τὰ σχήματα
τὰ εἰρημένα καὶ ἀκριβέστερα καὶ ἀμιγέστερα εἶναι καὶ
τὴν τάξιν καὶ τὴν θέσιν ἔχειν μᾶλλον τὴν εἰρημένην.
τὸ μὲν οὖν λευκὸν ἐκ τοιούτων εἶναι σχημάτων. τὸ 74
δὲ μέλαν ἐκ τῶν ἐναντίων ἐκ τραχέων καὶ σκαληνῶν
καὶ ἀνομοίων· οὕτω γὰρ ἂν σκιάζειν καὶ οὐκ εὐθεῖς
εἶναι τοὺς πόρους οὐδ' εὐδιόδους. ἔτι δὲ τὰς ἀπορ-
ροίας νωθεῖς καὶ ταραχώδεις· διαφέρειν γάρ τι καὶ
τὴν ἀπορροὴν τῷ ποιὰν εἶναι πρὸς τὴν φαντασίαν ἣν
γίνεσθαι διὰ τὴν ἐναπόληψιν τοῦ ἀέρος ἀλλοίαν. ἐρυ- 75
θρὸν δ' ἐξ οἵωνπερ τὸ θερμὸν, πλὴν ἐκ μειζόνων.
ἐὰν γὰρ αἱ συγκρίσεις ὦσι μείζους ὁμοίων ὄντων τῶν
σχημάτων μᾶλλον ἐρυθρὸν εἶναι. σημεῖον δ' ὅτι ἐκ
τοιούτων τὸ ἐρυθρόν· ἡμᾶς τε γὰρ θερμαινομένους
ἐρυθραίνεσθαι καὶ τὰ ἄλλα τὰ πυρούμενα μέχρις ἂν οὗ
ἔχῃ τὸ τοῦ πυροειδοῦς. ἐρυθρότερα δὲ τὰ ἐκ μεγάλων

Digitized by Google

ὄντα σχημάτων οἷον τὴν φλόγα καὶ τὸν ἄνθρακα τῶν χλωρῶν ξύλων ἢ τῶν αὔων. καὶ τὸν σίδηρον δὲ καὶ τὰ ἄλλα τὰ πυρούμενα· λαμπρότατα μὲν γὰρ εἶναι τὰ πλεῖστον ἔχοντα καὶ λεπτότατον πῦρ, ἐρυθρότερα δὲ τὰ παχύτερον καὶ ἔλαττον. διὸ καὶ ἧττον εἶναι θερμὰ τὰ ἐρυθρότερα· θερμὸν μὲν γὰρ τὸ λεπτόν. τὸ δὲ χλωρὸν ἐκ τοῦ στερεοῦ καὶ τοῦ κενοῦ συνεστάναι* μεγάλων ἐξ ἀμφοῖν τῇ θέσει καὶ τῇ τάξει αὐτῶν τὴν
76 χρόαν. τὰ μὲν οὖν ἁπλᾶ χρώματα τούτοις κεχρῆσθαι τοῖς σχήμασιν· ἕκαστον δὲ καθαρώτερον ὅσῳ ἂν ἐξ ἀμιγεστέρων ᾖ. τὰ δὲ ἄλλα κατὰ τὴν τούτων μῖξιν· οἷον τὸ μὲν χρυσοειδὲς καὶ τὸ τοῦ χαλκοῦ καὶ πᾶν τὸ τοιοῦτον ἐκ τοῦ λευκοῦ καὶ τοῦ ἐρυθροῦ· τὸ μὲν γὰρ λαμπρὸν ἔχειν ἐκ τοῦ λευκοῦ, τὸ δὲ ὑπέρυθρον ἀπὸ τοῦ ἐρυθροῦ· πίπτειν γὰρ εἰς τὰ κενὰ τοῦ λευκοῦ τῇ μίξει τὸ ἐρυθρόν. ἐὰν δὲ προστεθῇ τούτοις τὸ χλωρὸν γίνεσθαι τὸ κάλλιστον χρῶμα, δεῖν δὲ μικρὰς τοῦ χλωροῦ τὰς συγκρίσεις εἶναι· μεγάλας γὰρ οὐχ οἷόν τε συγκειμένων οὕτω τοῦ λευκοῦ καὶ τοῦ ἐρυθροῦ. διαφόρους δ' ἔσεσθαι τὰς χρόας τῷ πλέον καὶ ἔλαττον
77 λαμβάνειν. τὸ δὲ πορφυροῦν ἐκ λευκοῦ καὶ μέλανος καὶ ἐρυθροῦ, πλείστην μὲν μοῖραν ἔχοντος τοῦ ἐρυθροῦ, μικρὰν δὲ τοῦ μέλανος μέσην δὲ τοῦ λευκοῦ, διὸ καὶ ἡδὺ φαίνεσθαι πρὸς τὴν αἴσθησιν. ὅτι μὲν οὖν τὸ μέλαν καὶ τὸ ἐρυθρὸν αὐτῷ ἐνυπάρχει φανερὸν εἶναι τῇ ὄψει, διότι δὲ τὸ λευκὸν τὸ λαμπρὸν καὶ διαυγὲς σημαίνειν, ταῦτα γὰρ ποιεῖν τὸ λευκόν. τὴν δ' ἴσατιν ἐκ μέλανος σφόδρα καὶ χλωροῦ, πλείω δὲ μοῖραν ἔχειν τοῦ μέλανος· τό δὲ πράσινον ἐκ πορφυροῦ καὶ τῆς ἰσάτιδος, ἢ ἐκ χλωροῦ καὶ πορφυροειδοῦς. τὸ γὰρ θεῖον εἶναι τοιοῦτον καὶ μετέχειν τοῦ λαμπροῦ. τὸ δὲ κυανοῦν ἐξ ἰσάτιδος καὶ πυρώδους, σχημάτων δὲ πε-

Digitized by Google

ριφερῶν καὶ βελονοειδῶν ὅπως τὸ στίλβον τῷ μέλανι
ἐνῇ. τὸ δὲ καρύϊνον ἐκ χλωροῦ καὶ κυανοειδοῦς· ἐὰν 78
δὲ (πλέον) χλωρὸν μιχθῇ φλογοειδὲς γίνεσθαι, τὸ γὰρ
ἄσκιον καὶ μελανόχρων ἐξείργεσθαι. σχεδὸν δὲ καὶ τὸ
ἐρυθρὸν τῷ λευκῷ μιχθὲν χλωρὸν ποιεῖν εὐαγὲς καὶ
οὐ μέλαν· διὸ καὶ τὰ φυόμενα χλωρὰ τὸ πρῶτον εἶναι
πρὸ τοῦ θερμανθῆναι καὶ διαχεῖσθαι. καὶ πλήθει μὲν
τοσούτων ἐπιμέμνηται χρωμάτων, ἄπειρα δὲ εἶναι τὰ
χρώματα καὶ τοὺς χυλοὺς κατὰ τὰς μίξεις, ἐάν τις τὰ
μὲν ἀφαιρῇ τὰ δὲ προστιθῇ καὶ τῶν μὲν ἔλαττον μίσγῃ
τῶν δὲ πλέον. οὐθὲν γὰρ ὅμοιον ἔσεσθαι θάτερον θα-
τέρου.

Cap. XIV. *Πρῶτον μὲν οὖν τὸ πλείους ἀποδοῦναι* 79
τὰς ἀρχὰς ἔχει τινὰ ἀπορίαν, οἱ γὰρ ἄλλοι τὸ λευκὸν
καὶ τὸ μέλαν ὡς τούτων ἁπλῶν ὄντων μόνων. ἔπειτα
τὸ μὴ πᾶσι τοῖς λευκοῖς μίαν ποιῆσαι τὴν μορφὴν ἀλλ'
ἑτέραν τοῖς σκληροῖς καὶ τοῖς ψαθυροῖς. οὐ γὰρ εἰκὸς
ἄλλην αἰτίαν εἶναι τοῖς διαφόροις κατὰ τὴν ἁφήν, οὐδ'
ἂν εἴποις τὸ σχῆμα αἴτιον εἶναι τῆς διαφορᾶς ἀλλὰ
μᾶλλον τὴν θέσιν. ἐνδέχεται γὰρ καὶ τὰ περιφερῆ καὶ
ἁπλῶς πάντα ἐπισκιάζειν ἑαυτοῖς. σημεῖον δέ· καὶ
γὰρ αὐτὸς ταύτην φέρει τὴν πίστιν, ὅσα τῶν λείων
μέλανα φαίνεται. διὰ γὰρ τὴν σύμφυσιν καὶ τὴν τά-
ξιν ὡς τὴν αὐτὴν ἔχοντα τῷ μέλανι φαίνεσθαι τοιαῦτα.
καὶ πάλιν ὅσα λευκὰ τῶν τραχέων. ἐκ μεγάλων γὰρ
εἶναι ταῦτα καὶ τὰς συνδέσεις οὐ περιφερεῖς ἀλλὰ
προκρόσσας· καὶ τῶν σχημάτων τὰς μορφὰς μιγνυμέ-
νας, ὥσπερ* ἡ ἀνάβασις καὶ τὰ πρὸ τῶν τειχῶν ἔχει
σώματα· τοιοῦτον γὰρ ὂν ἄσκιον εἶναι καὶ οὐ κωλύε-
σθαι τὸ λαμπρόν. πρὸς δὲ τούτοις πῶς λέγει καὶ ἐξ 80
ὧν τὸ λευκὸν ἐνίων γίνεσθαι μέλαν, εἰ τεθείησαν οὕ-
τως ὥστ' ἐπισκιάζειν; ὅλως δὲ τοῦ διαφανοῦς καὶ τοῦ

Digitized by Google

λαμπροῦ μᾶλλον ἔοικε τὴν φύσιν ἢ τοῦ λευκοῦ λέγειν. τὸ γὰρ εὐδίοπτον εἶναι καὶ μὴ ἐπαλλάττειν τοὺς πόρους τοῦ διαφανοῦς· [ἐπὶ πόσα δὲ λευκὰ τοῦ διαφανοῦς] ἔτι δὲ τὸ μὲν εὐθεῖς εἶναι τῶν λευκῶν τοὺς πόρους, τῶν δὲ μελάνων ἐπαλλάττειν ὡς εἰσιούσης τῆς φύσεως ὑπολαβεῖν ἐστίν, ὁρᾶν δέ φασι διὰ τὴν ἀπορροὴν καὶ τὴν ἔμφασιν τὴν εἰς τὴν ὄψιν· εἰ δὲ τοῦτο ἐστί, τί διοίσει τοὺς πόρους κεῖσθαι κατ᾽ ἀλλήλους ἢ ἐπαλλάττειν; οὐδὲ τὴν ἀπορροὴν ἀπὸ τοῦ κενοῦ πως γίνεσθαι ῥᾴδιον ὑπολαβεῖν· ὥστε λεκτέον τούτου τὴν αἰτίαν. ἔοικε γὰρ ἀπὸ τοῦ φωτὸς ἢ ἀπὸ ἄλλου τινὸς ποιεῖν τὸ λευκόν. διὸ καὶ τὴν παχύτητα τοῦ ἀέρος αἰ-
81 τιᾶται πρὸς τὸ φαίνεσθαι μέλαν. ἔτι δὲ οἷς τὸ μέλαν ἀποδίδωσι οὐ ῥᾴδιον καταμαθεῖν· ἡ σκιὰ γὰρ μέλαν τι καὶ ἐπιπρόσθησίς ἐστι τοῦ λευκοῦ· διὸ πρῶτον τὸ λευκὸν τὴν φύσιν. ἅμα δὲ οὐ μόνον τὸ ἐπισκιάζειν ἀλλὰ καὶ τὴν παχύτητα τοῦ ἀέρος καὶ τῆς εἰσιούσης ἀπορροῆς αἰτιᾶται καὶ τὴν ταραχὴν τοῦ ὀφθαλμοῦ. πότερον δὲ ταῦτα συμβαίνει διὰ τὸ μὴ εὐδίοπτον ἢ καὶ
82 ἄλλως γίνοιτ᾽ ἂν καὶ ποίῳ τὸ μέλαν οὐ διασαφεῖ. ἄτοπον δὲ καὶ τὸ χλωρῶν μὴ ἀποδοῦναι μορφὴν ἀλλὰ μόνον ἐκ τοῦ στερεοῦ καὶ τοῦ κενοῦ ποιεῖν. κοινὰ γὰρ ταὐτά τε πάντων καὶ ἐξ ὁποιωνοῦν ἔσται σχημάτων. χρὴ δ᾽ ὥσπερ καὶ τοῖς ἄλλοις ἴδιόν τε ποιῆσαι. καὶ εἰ μὲν ἐναντίον τῷ ἐρυθρῷ, καθάπερ τὸ μέλαν τῷ λευκῷ, τὴν ἐναντίαν ἔχει μορφήν· εἰ δ᾽ εἴη μὴ ἐναντίον αὐτὸ τοῦτ᾽ ἂν τις θαυμάσειεν ὅτι τὰς ἀρχὰς οὐκ ἐναντίας ποιεῖ· δοκεῖ γὰρ ἐν πᾶσιν οὕτως. μάλιστα δ᾽ ἐχρῆν τοῦτο διακριβοῦν ποῖα τῶν χρωμάτων ἁπλᾶ, καὶ διὰ τί τὰ μὲν σύνθετα τὰ δὲ ἀσύνθετα· πλείστη γὰρ ἀπορία περὶ τῶν ἀρχῶν. ἀλλὰ τοῦτο μὲν ἴσως χαλεπόν. ἐπεὶ καὶ τῶν χυμῶν εἴ τις δύναιτο τοὺς ἁπλοῦς ἀπο-

Digitized by Google

δοῦναι μᾶλλον ἂν ὅδε λέγοι. περὶ δὲ ὀσμῆς προσαφο-
ρίζειν παρῆκε, πλὴν τοσοῦτον ὅτι τὸ λεπτὸν ἀπορρέον
ἀπὸ τῶν βαρέων ποιεῖ τὴν ὀδμήν. ποῖον δέ τι τὴν
φύσιν ὂν ὑπὸ τίνος πάσχει οὐκέτι προσέθηκεν, ὅπερ
ἴσως ἦν κυριώτατον. Δημόκριτος μὲν οὖν οὕτως ἔνια 83
παραλείπει.

Cap. XV. Πλάτων δὲ θερμὸν μὲν εἶναί φησι τὸ δια-
κρῖνον δι' ὀξύτητα τῶν γωνιῶν· ψυχρὸν δὲ ὅταν τῆς
ὑγρότητος ἐκκρίνηται τὰ ἐλάττω καὶ μὴ δυνάμενα εἰσιέ-
ναι τὰ μείζω κύκλῳ περιωθῇ· τῇ γὰρ μάχῃ τρόμον καὶ
τῷ πάθει ῥῖγος εἶναι ὄνομα. σκληρὸν δὲ ᾧ ἂν ἡ σάρξ
ὑπείκῃ, μαλακὸν δὲ ὃ ἂν τῇ σαρκί. καὶ πρὸς ἄλληλα
ὁμοίως. ὑπείκειν δὲ τὸ μικρὰν ἔχον βάσιν. βαρὺ δὲ καὶ
κοῦφον τῷ μὲν ἄνω καὶ κάτω διορίζειν οὐ δεῖν, οὐ γὰρ
εἶναι τοιούτων φύσιν. ἀλλὰ κοῦφον μὲν εἶναι τὸ εἰς τὸν
παρὰ φύσιν τόπον ῥᾳδίως ἑλκόμενον, βαρὺ δὲ τὸ χαλε-
πῶς. τραχὺ δὲ καὶ λεῖον ὡς ἱκανῶς ὄντα φανερὰ παρα-
λείπει καὶ οὐ λέγει. ἡδὺ δὲ τὸ ἀπιὸν εἰς τὴν φύσιν 84
ἀθρόον πάθος, τὸ δὲ παρὰ φύσιν καὶ βίᾳ λυπηρὸν, τὰ
δὲ μέσα καὶ ἀναίσθητα ἀνὰ λόγον. διὸ καὶ κατὰ τὸ ὁρᾶν
οὐκ εἶναι λύπην οὐθ' ἡδονὴν τῇ διακρίσει καὶ συγκρί-
σει. περὶ δὲ χυμῶν ἐν μὲν τοῖς περὶ ὕδατος τέτταρα λέ-
γει ὕδατος εἴδη· ἐν χυλοῖς μὲν οἶνον, ὀπὸν, ἔλαιον, μέλι,
ἐν δὲ τοῖς πάθεσι τὸν γεώδη χυμόν· *καὶ διὰ ταῦτα συν-
άγοντα τοὺς χυμοὺς καὶ συγκρίνοντα τὰ μὲν τραχύτερα
στρυφνὰ εἶναι, τὰ δὲ ἧττον αὐστηρά. τὸ δὲ ῥυπτικὸν τῶν
πόρων καὶ ἀποκαθαρτικὸν ἁλμυρόν· τὸ δὲ σφόδρα ῥυπτι-
κὸν ὥστε καὶ ἐκτήκειν πικρόν. τὰ δὲ θερμαινόμενα καὶ
ἀναφερόμενα καὶ διακρίνοντα δριμέα· τὰ δὲ κυκῶντα
ὀξέα· τὰ δὲ σὺν τῇ ὑγρότητι τῇ ἐν τῇ γλώττῃ καὶ διαχυ-
τικὰ καὶ συστατικὰ εἰς τὴν φύσιν γλυκέα. τὰς δ' ὀσμὰς 85
εἴδη μὲν οὐκ ἔχειν ἀλλὰ τῷ λυπηρῷ καὶ ἡδεῖ διαφέρειν.

Digitized by Google

εἶναι δὲ τὴν ὀσμὴν ὕδατος μὲν λεπτότερον, ἀέρος δὲ
παχύτερον. σημεῖον δὲ ὅτι, ὅταν ἐπιφράξαντες ἀνα-
σπῶσιν, ἄνευ ὀσμῆς τὸ πνεῦμα εἰσέρχεται, διὸ καθά-
περ καπνὸν καὶ ὁμίχλην εἶναι τῶν σωμάτων ἀόρατον.
εἶναι δὲ καπνὸν μὲν μεταβολὴν ἐξ ὕδατος εἰς ἀέρα,
ὁμίχλην δὲ τὴν ἐξ ἀέρος εἰς ὕδωρ. φωνὴν δὲ εἶναι
πληγὴν ὑπὸ ἀέρος ἐγκεφάλου καὶ αἵματος δι᾽ ὤτων
μέχρι ψυχῆς· ὀξεῖαν δὲ καὶ βαρεῖαν τὴν ταχεῖαν καὶ
βραδεῖαν· συμφωνεῖν δ᾽ ὅταν ἡ ἀρχὴ τῆς βραδείας
86 ὁμοία ᾖ τῇ τελευτῇ τῆς ταχείας. τὸ δὲ χρῶμα φλόγα
εἶναι ἀπὸ τῶν σωμάτων σύμμετρα μόρια ἔχουσαν τῇ
ὄψει. λευκὸν μὲν τὸ διακριτικὸν μέλαν δὲ τὸ συγκρι-
τικόν, ἀνάλογον δὲ τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ
ψυχροῖς καὶ τοῖς περὶ τὴν γλῶσσαν στρυφνοῖς καὶ δρι-
μέσι. λαμπρὸν δὲ τὸ πυρῶδες λευκόν. τὰ δὲ ἄλλα ἐκ
τούτων· ἐν οἷς δὲ λόγοις οὐδ᾽ εἴ τις εἰδείη χρῆναι λέ-
γειν φησίν, ὧν οὐκ ἔχομεν εἰκότα λόγον ἢ ἀναγκαῖον·
οὐδ᾽ εἰ πειρωμένων μὴ γίγνοιτο οὐθὲν ἄτοπον, ἀλλὰ
τὸν θεὸν δύνασθαι τοῦτο δρᾶν. ἃ μὲν οὖν εἴρηκε καὶ
πῶς ἀφώρικε σχεδὸν ταῦτά ἐστιν.
87 Cap. XVI. Ἄτοπον δὲ καὶ τούτου πρῶτον μὲν τὸ
μὴ πάντα ὁμοίως ἀποδοῦναι μηδὲ ὅσα τοῦ αὐτοῦ γέ-
νους. ὁρίσας γὰρ τὸ θερμὸν σχήματι τὸ ψυχρὸν οὐχ
ὡσαύτως ἀπέδωκεν. ἐπεὶ δὲ μαλακὸν τὸ ὑπεῖκον, φα-
νερὸν ὅτι τὸ ὕδωρ καὶ ὁ ἀὴρ καὶ τὸ πῦρ μαλακά· φησὶ
γὰρ ὑπείκειν τὸ μικρὰν ἔχον βάσιν, ὥστε τὸ πῦρ ἂν
εἴη μαλακώτατον. δοκεῖ δὲ τούτων οὐθὲν οὐθ᾽ ὅλως
τὸ μὴ μένον ἀλλὰ μεθιστάμενον εἶναι μαλακὸν ἀλλὰ
88 τὸ εἰς τὸ βάθος ὑπεῖκον ἄνευ μεταστάσεως. ἔτι δὲ τὸ
βαρὺ καὶ κοῦφον οὐχ ἁπλῶς ἀλλ᾽ ἐπὶ τῶν γεωδῶν
ἀφώρικε· τούτων γὰρ δοκεῖ τὸ μὲν βαρὺ χαλεπῶς τὸ
δὲ κοῦφον ῥᾷον ἄγεσθαι πρὸς ἀλλότριον τόπον· τὸ δὲ

Digitized by Google

πῦρ καὶ ὁ ἀὴρ ταῖς εἰς τοὺς οἰκείους τόπους φοραῖς
κοῦφα καὶ ἔστι καὶ δοκεῖ. διόπερ οὐκ ἔσται τὸ μὲν
ἔλαττον τῶν ὁμογενῶν ἔχον βαρὺ τὸ δὲ πλεῖον κοῦ-
φον· τὸ μὲν γὰρ πῦρ ὅσον ἂν ᾖ πλησίον κουφότερον,
ἀλλ' ἄνω μὲν τιθεμένου τοῦ πυρὸς ἐφαρμόσουσι οἱ λό-
γοι καὶ οὗτος κἀκεῖνος ἐνταῦθα δ' οὐδέτερος. ὡσαύ-
τως δὲ καὶ ἐπὶ τῆς γῆς· ἄνωθεν γὰρ δεῦρο θᾶττον
οἰσθήσεται τὸ πλέον. ὥστε οὐχ ἁπλῶς ἡ γῆ καὶ τὸ
πῦρ ἐστὶ τὸ μὲν βαρὺ τὸ δὲ κοῦφον, ἀλλ' ἑκάτερον
πρὸς τὸν τόπον· οὐδ' ὁμοίως ἐνταῦθα καὶ τὸ γεῶδες
ἀλλ' ἀνάπαλιν. ἐνταῦθα μὲν τὸ ἔλαττον, ἐκεῖ δὲ τὸ
πλέον ἔχον τῶν ὁμογενῶν κουφότερον. ταῦτα δὲ πάντα 89
συμβαίνει διὰ τὸ μὴ ἁπλῶς περὶ κούφου καὶ βαρέος
ἀλλὰ περὶ τοῦ γεώδους ἀφορίζειν. τῶν δὲ χυλῶν τὰς
μὲν φύσεις οὐ λέγει τίς ἕκαστος, εἰ ἄρα τέσσαρες αἱ
πᾶσαι διαφοραὶ, τὰ δὲ πάθη τὰ συμβαίνοντα ἀπ' αὐ-
τῶν δηλοῖ. συνάγειν γὰρ τοὺς πόρους τὸ στρυφνὸν ἢ
στυπτικὸν, καὶ καθαίρειν τὸ ἁλμυρὸν, ὅπερ πάθος
ἐστὶν ἡμέτερον. ὁμοίως δὲ καὶ τὰ ἄλλα. ζητοῦμεν δὲ
τὴν οὐσίαν μᾶλλον καὶ διὰ τί ταῦτα δρῶσιν· ἐπεὶ τά
γε πάθη θεωροῦμεν. ἀπορήσειε δ' ἄν τις καὶ περὶ 90
τῶν ὀσμητῶν εἴ ἐστιν εἴδη· καὶ γὰρ τοῖς πάθεσι καὶ
ταῖς ἡδοναῖς διαφέρουσιν ὥσπερ οἱ χυλοί. καὶ ἅμα
δόξειεν ἂν ὁμοίως ἔχειν ἐπὶ πάντων. περὶ δὲ τῆς ὀσ-
μῆς ὅτι ἀπορροή τίς ἐστι καὶ ἀνάπνευσις τοῦ ἀέρος
σχεδὸν ὁμολογοῦσιν. τὸ δ' ἀφομοιοῦν καπνῷ καὶ ὁμί-
χλῃ, ταὐτά τε λέγειν οὐκ ἀληθές. οὐδὲ γὰρ αὐτὸς
φαίνεται ποιεῖν. τὸν μὲν γὰρ ἐξ ὕδατος εἰς ἀέρα, τὴν
δ' ὁμίχλην ἐξ ἀέρος εἰς ὕδωρ λέγει μεταβάλλειν. καί-
τοι δοκεῖ γ' ἀνάπαλιν ἔχειν ἐπὶ τῆς ὁμίχλης, διὸ καὶ
παύεται τὰ ὕδατα γινομένης ὁμίχλης. ἐνδεεστέρως καὶ 91
ὁ τῆς φωνῆς εἴρηται λόγος· οὔτε γὰρ κοινὸς ἅπασι τοῖς

Digitized by Google

ζώοις ἐστὶ οὔτε τὴν αἰτίαν λέγει τῆς αἰσθήσεως βουλόμενος. ἔτι δὲ οὐ τὸν ψόφον καὶ τὴν φωνὴν ἀλλὰ τὴν ἡμετέραν αἴσθησιν ἔοικεν ἀφορίζειν. περὶ δὲ χρωμάτων σχεδὸν ὁμοίως Ἐμπεδοκλεῖ λέγει· τὸ γὰρ σύμμετρα ἔχειν μόρια τῇ ὄψει τὸ τοῖς πόροις ἐναρμόττειν ἐστίν. ἄτοπον δὲ τὸ μόνην ταύτην ἀποδιδόναι τῶν αἰσθήσεων· ἔτι δὲ τὸ ἁπλῶς τὸ χρῶμα φλόγα λέγειν· τὸ μὲν γὰρ λευκὸν ἔχειν τινὰ ὁμοιότητα, τὸ δὲ μέλαν ἐναντίον ἂν φανείη. τὴν δὲ τῶν ἄλλων μίξιν τὸ ἀφαιρεῖν ὅλως οὐκ ἐνδέχεται ἀποδοῦναι ταῖς αἰτίαις δεῖταί τινος λόγου καὶ πίστεως.

Fr. II. *ΠΕΡΙ ΛΙΘΩΝ.*

1 Cap. I. *Τῶν ἐν τῇ γῇ συνισταμένων τὰ μέν ἐστιν ὕδατος τὰ δὲ γῆς. ὕδατος μὲν τὰ μεταλλευόμενα καθάπερ ἄργυρος καὶ χρυσὸς καὶ τἆλλα, γῆς δὲ λίθος τε καὶ ὅσα λίθων εἴδη περιττότερα καὶ εἴ τινες δὴ τῆς γῆς αὐτῆς ἰδιώτεραι φύσεις εἰσὶν ἢ χρώμασιν ἢ λειότησιν ἢ πυκνότησιν ἢ ἄλλῃ τινὶ δυνάμει. περὶ μὲν οὖν τῶν μεταλλευομένων ἐν ἄλλοις τεθεώρηται· περὶ
2 δὲ τούτων (λίθων?) νῦν λέγωμεν. ἅπαντα οὖν ταῦτα χρὴ νομίζειν ὡς ἁπλῶς εἰπεῖν ἐκ καθαρᾶς τινος συνεστᾶναι καὶ ὁμαλῆς ὕλης, εἴτε συρροῆς εἴτε διηθήσεώς τινος γενομένης, εἴτε ὡς ἀνωτέρω εἴρηται καὶ κατ' ἄλλον τρόπον ἐκκεκριμένης· τάχα γὰρ ἐνδέχεται τὰ μὲν οὕτως τὰ δ' ἐκείνως τὰ δ' ἄλλως. ἀφ' ὧν δὴ καὶ τὸ λεῖον καὶ τὸ πυκνὸν καὶ τὸ στιλπνὸν καὶ διαφανὲς καὶ τἆλλα τὰ τοιαῦτα ἔχουσι, καὶ ὅσῳ ἂν ὁμαλέστερον καὶ καθαρώτερον ἕκαστον ᾖ τοσούτῳ καὶ ταῦτα μᾶλλον*

Digitized by Google

ὑπάρχει. τὸ γὰρ ὅλον ὡς ἂν ἀκριβείας ἔχῃ τὰ κατὰ
τὴν σύστασιν ἢ πῆξιν οὕτως ἀκολουθεῖ καὶ τὰ ἀπ'
ἐκείνων. ἡ δὲ πῆξις τοῖς μὲν ἀπὸ θερμοῦ τοῖς δ' ἀπὸ 3
ψυχροῦ γίνεται. κωλύει γὰρ ἴσως οὐδὲν ἔνια γένη λί-
θων ὑφ' ἑκατέρων συνίστασθαι τούτων. ἐπεὶ τά γε τῆς
γῆς ἅπαντα δόξειεν ἂν ὑπὸ πυρός· ἐπείπερ τοῖς ἐναν-
τίοις ἑκάστων ἡ πῆξις καὶ ἡ τῆξις. ἰδιότητες δὲ πλεί-
ους εἰσὶν ἐν τοῖς λίθοις· ἐν μὲν γὰρ τῇ γῇ χρώμασί
τε καὶ γλισχρότητι καὶ λειότητι καὶ πυκνότητι καὶ τοῖς
τοιούτοις αἱ πολλαὶ διαφοραὶ κατὰ δὲ τὰ ἄλλα σπάνιοι.
τοῖς δὲ λίθοις αὗταί τε καὶ πρὸς ταύταις αἱ κατὰ τὰς 4
δυνάμεις τοῦ τε ποιεῖν ἢ πάσχειν ἢ τοῦ μὴ πάσχειν.
τηκτοὶ γὰρ οἱ δ' ἄτηκτοι, καὶ καυστοὶ οἱ δ' ἄκαυστοι,
καὶ ἄλλα τούτοις ὅμοια. καὶ ἐν αὐτῇ τῇ καύσει καὶ
πυρώσει πλείους ἔχοντες διαφοράς. ἔνιοι δὲ τοῖς χρώ-
μασιν ἐξομοιοῦν λέγονται δυνάμενοι τὸ ὕδωρ ὥσπερ
ἡ σμάραγδος, οἱ δ' ὅλως ἀπολιθοῦν τὰ τιθέμενα εἰς
ἑαυτούς, ἕτεροι δὲ ὁλκήν τινα ποιεῖν, οἱ δὲ βασανί-
ζειν τὸν χρυσὸν καὶ τὸν ἄργυρον ὥσπερ ἥ τε καλου-
μένη λίθος ἡρακλεία καὶ ἡ λυδή. θαυμασιωτάτη δὲ 5
καὶ μεγίστη δύναμις, εἴπερ ἀληθὲς, ἡ τῶν τικτόντων·
γνωριμωτέρα δὲ [τῶν] καὶ ἐν πλείοσι κατὰ τὰς ἐργα-
σίας· γλυπτοὶ γὰρ ἔνιοι καὶ τορνευτοὶ καὶ πριστοί, τῶν
δὲ οὐδὲ ὅλως ἅπτεται σιδήριον, ἐνίων δὲ κακῶς καὶ
μόλις. εἰσὶ δὲ πλείους καὶ ἄλλαι παρὰ ταύτας διαφο-
ραί. αἱ μὲν οὖν κατὰ τὰ χρώματα καὶ τὰς σκληρότη- 6
τας καὶ μαλακότητας καὶ λειότητας καὶ τἆλλα τὰ τοι-
αῦτα διὰ τὸ περιττὸν πλείοσιν ὑπάρχουσι καὶ ἐνίοις
γε κατὰ τόπον ὅλον. ἐξ ὧν δὴ καὶ διωνομασμέναι λι-
θοτομίαι Παρίων τε καὶ Πεντελικῶν καὶ Χίων τε καὶ
Θηβαϊκῶν, καὶ ὡς ὁ περὶ Αἴγυπτον ἐν Θήβαις ἀλαβα-
στρίτης — καὶ γὰρ οὗτος μέγας τέμνεται —, καὶ ὁ

Digitized by Google

τῷ ἐλέφαντι ὅμοιος ὁ χερνίτης καλούμενος, ἐν ᾗ πυέλῳ
7 φασὶ καὶ Δαρεῖον κεῖσθαι. καὶ ὁ πόρος ὅμοιος τῷ
χρώματι καὶ τῇ πυκνότητι τῷ παρίῳ τὴν δὲ κουφότητα
μόνον ἔχων τοῦ πόρου, διὸ καὶ ἐν τοῖς σπουδαζομέ-
νοις οἰκήμασιν ὥσπερ διάζωμα τιθέασιν αὐτὸν οἱ Αἰ-
γύπτιοι. καὶ μέλας αὐτόθι διαφανὴς ὅμοιος τῷ χίῳ,
καὶ παρ' ἄλλοις δὲ ἕτεροι πλείους. αἱ μὲν οὖν τοιαῦ-
ται διαφοραὶ καθάπερ ἐλέχθη κοινότεραι πλείοσιν, αἱ
δὲ κατὰ τὰς δυνάμεις τὰς προειρημένας οὐκέτι τόποις
ὅλοις ὑπάρχουσιν οὐδὲ συνεχείαις λίθων οὐδὲ μεγέθε-
8 σιν. ἔνιοι δὲ καὶ σπάνιοι πάμπαν εἰσὶ καὶ σμικροὶ κα-
θάπερ ἥ τε σμάραγδος καὶ τὸ σάρδιον καὶ ὁ ἄνθραξ
καὶ ἡ σάπφειρος καὶ σχεδὸν ... λόγον εἰς τὰ σφραγί-
δια γλυπτῶν. οἱ δὲ καὶ ἐν ἑτέροις εὑρίσκονται διακο-
πτομένοις. ὀλίγοι δὲ καὶ οἱ περὶ τὴν πύρωσιν καὶ καῦ-
σιν, ὑπὲρ ὧν δὴ καὶ πρῶτον ἴσως λεκτέον τίνας καὶ
πόσας ἔχουσι διαφοράς.
9 Cap. II. Κατὰ δὴ τὴν πύρωσιν οἱ μὲν τήκονται
καὶ ῥέουσιν ὥσπερ οἱ μεταλλευτοί. ῥεῖ γὰρ ἅμα τῷ
ἀργύρῳ καὶ τῷ χαλκῷ καὶ σιδήρῳ καὶ ἡ λίθος ἡ ἐκ
τούτων, εἴτ' οὖν διὰ τὴν ὑγρότητα τῶν ἐνυπαρχόντων
εἴτε καὶ δι' αὐτούς. ὡσαύτως δὲ καὶ οἱ πυρομάχοι καὶ
οἱ μυλίαι ῥέουσιν οἷς ἐπιτιθέασιν οἱ καίοντες. οἱ δὲ
καὶ ὅλως λέγουσι πάντας τήκεσθαι πλὴν τοῦ μαρμά-
ρου, τοῦτον δὲ κατακαίεσθαι καὶ κονίαν ἐξ αὐτοῦ γί-
10 νεσθαι. δόξειε δ' ἂν οὕτως ἐπὶ πλεῖον εἰρῆσθαι· πολ-
λοὶ γὰρ οἱ ῥηγνύμενοι καὶ διαπηδῶντες ὡς ἀπομαχό-
μενοι τὴν πύρωσιν ὥσπερ [οὐδ'] ὁ κέραμος. ὃ καὶ
κατὰ λόγον ἐστίν, οἵτινες ἐξυγρασμένοι τυγχάνουσιν·
τὸ γὰρ τηκτὸν ἔνικμον εἶναι δεῖ καὶ ὑγρότητ' ἔχειν
πλείω. φασὶ δὲ καὶ τῶν ἡλιουμένων τοὺς μὲν ἀναξη-
ραίνεσθαι τελείως ὥστ' ἀχρείους εἶναι μὴ καταβρε-

Digitized by Google

χθέντας πάλιν καὶ συνικμασθέντας τοὺς δὲ καὶ μαλα-
κωτέρους καὶ διαθραύστους μᾶλλον. φανερὸν δὲ ὡς
ἀμφοτέρων μὲν ἐξαιρεῖται τὴν ὑγρότητα, συμβαίνει δὲ
τοὺς μὲν πυκνοὺς ἀποξηραινομένους σκληρύνεσθαι,
τοὺς δὲ μανοὺς καὶ ὧν ἡ σύμφυσις τοιαύτη θραυστοὺς
εἶναι καὶ τηκτούς. ἔνιοι δὲ τῶν θραυστῶν ἀνθρακοῦν- 12
ται τῇ καύσει καὶ διαμένουσι πλείω χρόνον ὥσπερ οἱ
περὶ Βίνας ἐν τῷ μετάλλῳ οὓς ὁ ποταμὸς καταφέρει·
καίονται γὰρ ὅταν ἄνθρακες ἐπιτεθῶσι καὶ μέχρι τού-
του ἄχρις ἂν φυσᾷ τις, εἶτ' ἀπομαραίνονται καὶ πά-
λιν καίονται, διὸ καὶ πολὺν χρόνον ἡ χρῆσις· ἡ δ'
ὀσμὴ βαρεῖα σφόδρα καὶ δυσχερής. ὃν δὲ καλοῦσι σπῖ- 13
νον, ὃς ἦν ἐν τοῖς (αὐτοῖς) μετάλλοις, οὗτος διακο-
πεὶς καὶ συντεθεὶς πρὸς ἑαυτὸν ἐν τῷ ἡλίῳ τιθέμενος
καίεται, καὶ μᾶλλον ἐὰν ἐπιψεκάσῃ καὶ περιράνῃ τις.
ὁ δὲ λιπαραῖος ἐκφοροῦταί τε τῇ καύσει καὶ γίνεται 14
κισσηροειδὴς ὥσθ' ἅμα τήν τε χρόαν μεταβάλλειν καὶ
τὴν πυκνότητα· μέλας τε γὰρ καὶ λεῖός ἐστι καὶ πυ-
κνὸς ἄκαυστος ὤν. γίνεται δὲ οὗτος ἐν τῇ κισσήρει
διειλημμένος ἄλλοθι καὶ ἄλλοθι καθάπερ ἐν κυττάρῳ
καὶ οὐ συνεχής, ὥσπερ καὶ ἐν Μήλῳ φασὶ τὴν κίσση-
ριν ἐν ἄλλῳ τινὶ λίθῳ γίνεσθαι. καὶ ἐκεῖνος μὲν τούτῳ
ὥσπερ ἀντιπεπονθώς· πλὴν ὁ λίθος οὗτος οὐχ ὅμοιος
τῷ λιπαραίῳ. ἐκφοροῦται δὲ καὶ ὁ ἐν Τετράδι τῆς Σι- 15
κελίας γινόμενος· τοῦτο δὲ τὸ χωρίον ἐστὶ κατὰ Λι-
πάραν, ὁ δὲ λίθος ἐν τῇ ἄκρᾳ τῇ Ἐρινεάδι καλουμένῃ
πολὺς ὁμοίως τῷ ἐν Βίναις καιόμενος ὀσμὴν ἀφίησιν
ἀσφάλτου, τὸ δ' ἐκ τῆς κατακαύσεως ὅμοιον γίνεται
γῇ κεκαυμένῃ. οὓς δὲ καλοῦσιν εὐθὺς ἄνθρακας τῶν 16
ὀρυττομένων διὰ τὴν χρείαν εἰσὶ γεώδεις, ἐκκαίονται
δὲ καὶ πυροῦνται καθάπερ οἱ ἄνθρακες. εἰσὶ δὲ περί
τε τὴν Λιγυστικὴν ὅπου καὶ τὸ ἤλεκτρον, καὶ ἐν τῇ

Digitized by Google

Ἠλεία βαδιζόντων Ὀλυμπίαζε τὴν δι' ὄρους, οἷς καὶ
17 οἱ χαλκεῖς χρῶνται. εὑρέθη δέ ποτε ἐν τοῖς Σκαπτη-
σύλης μετάλλοις λίθος ὃς τῇ μὲν ὄψει παρόμοιος ὢν
ξύλῳ σαπρῷ, ὅτε δ' ἐπιχέοιτό τις ἔλαιον καίεται, καὶ
ὅτ' ἐκκαυθείη τότε παύεται καὶ αὐτὸς ὥσπερ ἀπαθὴς
ὤν. τῶν μὲν οὖν καιομένων σχεδὸν αὗται διαφοραί.
18 Cap. III. Ἄλλο δέ τι γένος ἐστὶ λίθων ὥσπερ ἐξ
ἐναντίων πεφυκὸς, ἄκαυστον ὅλως, ἄνθραξ καλούμε-
νος, ἐξ οὗ καὶ τὰ σφραγίδια γλύφουσιν, ἐρυθρὸν μὲν
τῷ χρώματι, πρὸς δὲ τὸν ἥλιον τιθέμενον ἄνθρακος
καιομένου ποιεῖ χρόαν. τιμιώτατον δ' ὡς εἰπεῖν· μι-
κρὸν γὰρ σφόδρα τετταράκοντα χρυσῶν. ἄγεται δὲ
19 οὗτος ἐκ Καρχηδόνος καὶ Μασσαλίας. οὐ καίεται δὲ
ὁ περὶ Μίλητον γωνιοειδὴς ὢν ἐν ᾧπερ καὶ τὰ ἑξά-
γωνα. καλοῦσι δ' ἄνθρακα καὶ τοῦτον, ὃ καὶ θαυμα-
στόν ἐστιν· ὅμοιον γὰρ τρόπον τινὰ καὶ τὸ τοῦ ἀδά-
μαντος· οὐ γὰρ οὐδ' ὥσπερ ἡ κίσσηρις καὶ τέφρα δό-
ξειεν ἂν διὰ τὸ μηδὲν ἔχειν ὑγρόν· ταῦτα γὰρ ἄκαυστα
καὶ ἀπύρωτα διὰ τὸ ἐξῃρῆσθαι τὸ ὑγρόν· ἐπεὶ καὶ τὸ
ὅλον ἡ κίσσηρις ἐκ κατακαύσεως δοκεῖ τισι γίνεσθαι,
πλὴν τῆς ἐκ τοῦ ἀφροῦ τῆς θαλάσσης συνισταμένης.
20 λαμβάνουσι δὲ τὴν πίστιν διὰ τῆς αἰσθήσεως ἔκ τε
τῶν περὶ τοὺς κρατῆρας γινομένων καὶ ἐκ τῆς διαβά-
ρου λίθου τῆς φλογουμένης * οὐ κισσηροῦται. μαρτυ-
ρεῖν δὲ καὶ οἱ τόποι δοκοῦσιν ἐν οἷς ἡ γένεσις· καὶ γὰρ
21 ἐν τοῖς * μάλιστα καὶ ἡ κίσσηρις. τάχα δὲ ἡ μὲν οὕ-
τως αἱ δ' ἄλλως καὶ πλείους τρόποι τῆς γενέσεως. ἡ
γὰρ ἐν Νισύρῳ καθάπερ ἐξ ἄμμου τινὸς ἔοικε συγκεῖ-
σθαι. σημεῖον δὲ λαμβάνουσιν ὅτι τῶν εὑρισκομένων
ἔνιαι διαθρύπτονται ἐν ταῖς χερσὶν ὥσπερ εἰς ἄμμον διὰ
τὸ μήπω συνεστάναι μηδὲ συμπεπηγέναι. εὑρίσκουσι δ'
ἀθρόας κατὰ μικρὰ χειροπληθεῖς ὅσον πολλὰς ἢ μικρῷ

Digitized by Google

μείζους ὅταν ἀπαμήσωνται τἄνω· ἐλαφρὰ δὲ σφόδρα
ἡ ἄμμος. ἡ δ' αὖ καὶ ἐν Μήλῳ πᾶσα μὲν * ἔνια δ'
αὖ ἐν λίθῳ τινὶ ἑτέρῳ γίνεται καθάπερ ἐλέχθη πρό-
τερον. διαφορὰς δ' ἔχουσι πρὸς ἀλλήλας καὶ χρώ- 22
ματι καὶ πυκνότητι καὶ βάρει· χρώματι μὲν ὅτι μέ-
λαινα ἐκ τοῦ ῥύακος τοῦ ἐν Σικελίᾳ· πυκνότητι δὲ καὶ
βάρει αὕτη τε καὶ μαλώδης. γίνεται γάρ τις καὶ τοι-
αύτη κίσσηρις καὶ βάρος ἔχει καὶ πυκνότητα καὶ ἐν τῇ
χρήσει πολυτιμότερον τῆς ἑτέρας. τμητικὴ δὲ καὶ ἡ ἐκ
τοῦ ῥύακος μᾶλλον τῆς κούφης καὶ λευκῆς, τμητικωτάτη
δ' ἐκ τῆς θαλάσσης αὐτῆς. καὶ περὶ μὲν κισσηρίδος
ἐπὶ τοσοῦτον εἰρήσθω. περὶ δὲ τῶν πυρουμένων καὶ
τῶν ἀπυρώτων λίθων ἀφ' ὧν καὶ εἰς τοῦτο ἐξέβημεν
ἐν ἄλλοις θεωρητέον τὰς αἰτίας.

Cap. IV. Τῶν δὲ λίθων καὶ ἄλλαι (διάφοροι) τυγ- 23
χάνουσιν ἐξ ὧν καὶ τὰ σφραγίδια γλύφουσιν. αἳ μὲν
τῇ ὄψει μόνον οἷον τὸ σάρδιον καὶ ἡ ἴασπις καὶ ἡ σάπ-
φειρος· αὕτη δ' ἐστὶν ὥσπερ χρυσόπαστος. ἡ δὲ σμά-
ραγδος καὶ δυνάμεις τινὰς ἔχει· τοῦ τε γὰρ ὕδατος
ὥσπερ εἴπομεν ἐξομοιοῦται τὴν χρόαν ἑαυτῇ, μετρία
μὲν οὖσα ἐλάττονος, ἡ δὲ μεγίστη παντός, ἡ δὲ χει-
ρίστη τοῦ καθ' αὑτὴν μόνον. καὶ πρὸς τὰ ὄμματα 24
ἀγαθή, διὸ καὶ τὰ σφραγίδια φοροῦσιν ἐξ αὐτῆς ὥστε
βλέπειν· ἔστι δὲ σπανία καὶ τὸ μέγεθος οὐ μεγάλη,
πλὴν εἰ πιστεύειν ταῖς ἀναγραφαῖς δεῖ ὑπὲρ τῶν βα-
σιλέων τῶν αἰγυπτίων· ἐκείνοις γάρ φασι κομισθῆναί
ποτ' ἐν δώροις παρὰ τοῦ Βαβυλωνίων βασιλέως μῆ-
κος μὲν τετράπηχυν πλάτος δὲ τρίπηχυν. ἀνακεῖσθαι
δὲ καὶ ἐν τῷ τοῦ Διὸς ὀβελίσκῳ σμαράγδους τέτταρας,
μῆκος μὲν τετταράκοντα πηχῶν, εὖρος δὲ τῇ μὲν τέτ-
ταρας τῇ δὲ δύο. ταῦτα μὲν οὖν ὅτι κατὰ τὴν ἐκεί-
νων γραφήν. τῶν δὲ βακτριανῶν καλουμένων ὑπὸ 25

Digitized by Google

*πολλῶν ἡ ἐν Τύρῳ μεγίστη. στήλη γάρ ἐστιν εὐμεγέ-
θης ἐν τῷ τοῦ Ἡρακλέους ἱερῷ· εἰ μὴ ἄρα ψευδὴς
σμάραγδος, καὶ γὰρ τοιαύτη γίνεταί τις φύσις. γίνε-
ται δὲ ἐν τοῖς ἐν ἐφικτῷ καὶ γνωρίμοις τόποις διττα-
χοῦ μάλιστα περί τε Κύπρον ἐν τοῖς χαλκορυχείοις καὶ
ἐν τῇ νήσῳ τῇ ἐπικειμένῃ Χαλκηδόνι. καὶ ἰδιωτέρους
εὑρίσκουσιν ἐν ταύτῃ· μεταλλεύεται γὰρ ὥσπερ τἆλλα
καὶ ἡ φύσις κατὰ ῥάβδους ἐποίησεν ἐν Κύπρῳ αὐτὴν
26 καθ' αὑτὴν πολλάς. εὑρίσκονται δὲ σπάνιαι μέγεθος
ἔχουσαι σφραγίδος ἀλλ' ἐλάττους αἱ πολλαί, διὸ καὶ
πρὸς τὴν κόλλησιν αὐτῇ χρῶνται τοῦ χρυσίου· κολλᾷ
γὰρ ὥσπερ ἡ χρυσοκόλλα. καὶ ἔνιοί γε δὴ καὶ ὑπολαμ-
βάνουσι τὴν αὐτὴν φύσιν εἶναι· καὶ γὰρ τὴν χρόαν
παρόμοιαι τυγχάνουσιν. ἀλλ' ἡ μὲν χρυσοκόλλα δα-
ψιλὴς καὶ ἐν τοῖς χρυσείοις καὶ ἔτι μᾶλλον ἐν τοῖς χαλκ-
27 ορυχείοις ὥσπερ ἐν τοῖς περὶ τοὺς * τόπους. ἡ δὲ
σμάραγδος σπανία καθάπερ εἴρηται· δοκεῖ γὰρ ἐκ τῆς
ἰάσπιδος γίνεσθαι. φασὶ γὰρ εὑρεθῆναί ποτε ἐν Κύ-
πρῳ λίθον ἧς τὸ μὲν ἥμισυ σμάραγδος ἦν τὸ ἥμισυ δὲ
ἴασπις ὡς οὔπω μεταβεβλημένης ἀπὸ τοῦ ὕδατος. ἔστι
δέ τις αὐτῆς ἐργασία πρὸς τὸ λαμπρόν· ἀργὴ γὰρ οὖσα
οὐ λαμπρά.*

28 Cap. V. *Αὕτη τε δὴ περιττὴ τῇ δυνάμει καὶ τὸ
λυγγούριον· καὶ γὰρ ἐκ τούτου γλύφεται τὰ σφραγί-
δια καὶ ἔστι στερεωτάτη καθάπερ λίθος· ἕλκει γὰρ
ὥσπερ τὸ ἤλεκτρον, οἱ δέ φασιν οὐ μόνον κάρφη καὶ
ξύλον (φύλλα?) ἀλλὰ καὶ χαλκὸν καὶ σίδηρον ἐὰν ᾖ
λεπτός, ὥσπερ καὶ Διοκλῆς ἔλεγεν. ἔστι δὲ διαφανές
τε σφόδρα καὶ ψυχρόν. βέλτιον δὲ τὸ τῶν ἀγρίων ἢ
τὸ τῶν ἡμέρων καὶ τὸ τῶν ἀρρένων ἢ τὸ τῶν θηλειῶν
ὡς καὶ τῆς τροφῆς διαφερούσης, καὶ τοῦ πονεῖν ἢ μὴ
πονεῖν, καὶ τῆς τοῦ σώματος ὅλως φύσεως, ᾗ τὸ μὲν*

Digitized by Google

ξηρότερον τὸ δ' ὑγρότερον. εὑρίσκουσι δ' ἀνορύττον-
τες οἱ ἔμπειροι· κατακρύπτεται γὰρ καὶ ἐπαμᾶται γῆν
ὅταν οὐρήσῃ. γίνεται δὲ καὶ κατεργασία τις αὐτοῦ
πλείων. ἐπεὶ δὲ καὶ τὸ ἤλεκτρον λίθος, τὸ γὰρ ὀρυ- 29
κτὸν ὃ περὶ Λιγυστικὴν, καὶ τούτῳ ἂν ἡ τοῦ ἕλκειν
δύναμις ἀκολουθοίη. μάλιστα δ' ἐπίδηλος καὶ φανε-
ρωτάτη ἡ τὸν σίδηρον ἄγουσα. γίνεται δὲ καὶ αὕτη
σπανία καὶ ὀλιγαχοῦ. καὶ αὕτη μὲν δὴ συναριθμείσθω
τὴν δύναμιν ὁμοίαν ἔχειν. ἐξ ὧν δὲ τὰ σφραγίδια ποι- 30
εῖται καὶ ἄλλαι πλείους εἰσὶν, οἷον ἥ θ' ὑαλοειδὴς ἣ
καὶ ἔμφασιν ποιεῖ καὶ διάφασιν, καὶ τὸ ἀνθράκιον,
καὶ ἡ ὄμφαξ· ἔτι δὲ καὶ ἡ κρύσταλλος καὶ τὸ ἀμέθυ-
σον, ἄμφω δὲ διαφανῆ εὑρίσκονται δὲ καὶ αὗται καὶ
τὸ σάρδιόν διακοπτομένων τινῶν πετρῶν. καὶ ἄλλαι
δὲ ὡς προείρηται πρότερον διαφορὰς ἔχουσαι καὶ συνώ-
νυμοι πρὸς ἀλλήλας. τοῦ γὰρ σαρδίου τὸ μὲν διαφα-
νὲς ἐρυθρότερον δὲ καλεῖται θῆλυ, τὸ δὲ διαφανὲς
μὲν μελάντερον δὲ [καὶ] ἄρσεν. καὶ τὰ λυγγούρια δὲ 31
ὡσαύτως ὧν τὸ θῆλυ διαφανέστερον καὶ ξανθότερον.
καλεῖται δὲ καὶ κύανος ὁ μὲν ἄρρην ὁ δὲ θῆλυς· με-
λάντερος δὲ ὁ ἄρρην. τὸ δ' ὀνύχιον μικτὸν λευκῷ καὶ
φαιῷ παρ' ἄλληλα. τὸ δ' ἀμέθυσον οἰνωπὸν τῇ χρόᾳ.
καλὸς δὲ λίθος καὶ ὁ ἀχάτης ὁ ἀπὸ τοῦ Ἀχάτου ποτα-
μοῦ τοῦ ἐν Σικελίᾳ καὶ πωλεῖται τίμιος. ἐν Λαμψάκῳ 32
δέ ποτ' ἐν τοῖς χρυσίοις εὑρέθη θαυμαστὴ λίθος ἐξ
ἧς ἀνενεχθείσης πρὸς * στιρὰν (Ἄστυρα Schn.) σφρα-
γίδιον γλυφθὲν ἀνεπέμφθη (Ἀλεξάνδρῳ Plin.) βασιλεῖ
διὰ τὸ περιττόν.

Cap. VI. Καὶ αὗται μὲν ἅμα τῷ καλῷ καὶ τὸ σπά- 33
νιον ἔχουσιν. αἱ δὲ δὴ ἐκ τῆς Ἑλλάδος εὐτελέστεραι,
οἷον τὸ ἀνθράκιον τὸ ἐξ Ὀρχομενοῦ τῆς Ἀρκαδίας.
ἔστι δὲ οὗτος μελάντερος τοῦ Χίου· κάτοπτρα δὲ ἐξ

Digitized by Google

αὐτοῦ ποιοῦσι· καὶ ὁ τροιζήνιος· οὗτος δὲ ποικίλος τὰ μὲν φοινικοῖς τὰ δὲ λευκοῖς χρώμασι. ποικίλος δὲ καὶ ὁ κορίνθιος τοῖς αὐτοῖς χρώμασι πλὴν ὅτι χλωροειδέ-
34 στερος. τὸ δὲ ὅλον πολλοὶ τυγχάνουσιν οἱ τοιοῦτοι ἀλλ' οἱ περιττοὶ σπάνιοι καὶ ἐξ ὀλίγων τόπων οἷον ἔκ τε Καρχηδόνος καὶ ἐκ τῶν περὶ Μασσαλίαν καὶ ἐξ Αἰγύπτου κατὰ τοὺς Καταδούπους καὶ Συήνης πρὸς Ἐλεφαντίνῃ πόλει καὶ ἐκ τῆς Ψεφὼ καλουμένης χώρας.
35 καὶ ἐν Κύπρῳ ἥ τε σμάραγδος καὶ ἡ ἴασπις. οἷς δὲ εἰς τὰ λιθοκόλλητα χρῶνται ἐκ τῆς Βακτριανῆς εἰσὶ πρὸς τῇ ἐρήμῳ. συλλέγουσι δ' αὐτοὺς ὑπὸ ἐτησίας ἱππεῖς ἐξιόντες· τότε γὰρ ἐμφανεῖς γίνονται κινουμένης τῆς ἄμμου διὰ τὸ μέγεθος τῶν πνευμάτων. εἰσὶ δὲ μικροὶ
36 καὶ οὐ μεγάλοι. τῶν σπουδαζομένων δὲ λίθων ἐστὶ καὶ ὁ μαργαρίτης καλούμενος, διαφανὴς μὲν τῇ φύσει, ποιοῦσι δ' ἐξ αὐτοῦ τοὺς πολυτελεῖς ὅρμους. γίνεται δὲ ἐν ὀστρείῳ τινὶ παραπλησίῳ ταῖς πίνναις, (πλὴν ἐλάττονι· μέγεθος δὲ ἡλίκος ἰχθύος ὀφθαλμὸς εὐμεγέθης· Athen.) φέρει δὲ ἥ τε Ἰνδικὴ χῶρα καὶ νῆσοί τινες τῶν ἐν τῇ ἐρυθρᾷ. τὸ μὲν οὖν περιττὸν σχε-
37 δὸν ἐν ταύταις. εἰσὶ δὲ καὶ ἄλλαι τινὲς, οἷον ὁ ἐλέφας ὁ ὀρυκτὸς ποικίλος μέλανι καὶ λευκῷ. καὶ ἣν καλοῦσι σάπφειρον· αὕτη γὰρ μέλαινα οὐκ ἄγαν πόρρω τοῦ κυάνου τοῦ ἄρρενος καὶ πρασῖτις· αὕτη δὲ ἰώδης τῇ χρόᾳ. πυκνὴ δὲ καὶ αἱματῖτις· αὕτη δ' αὐχμώδης καὶ κατὰ τοὔνομα ὡς αἵματος ξηροῦ πεπηγότος. ἄλλη δὲ ἡ καλουμένη ξανθὴ, οὐ ξανθὴ μὲν τὴν χρόαν ἔκλευκος δὲ μᾶλλον, ὃ καλοῦσι χρῶμα οἱ Δωριεῖς ξανθόν.
38 τὸ γὰρ κουράλιον, καὶ γὰρ τοῦθ' ὥσπερ λίθος, τῇ χρόᾳ μὲν ἐρυθρὸν, περιφερὲς δ' ὡς ῥίζα· φύεται δ' ἐν τῇ θαλάττῃ. τρόπον δέ τινα οὐ πόρρω τούτου τῇ

Digitized by Google

*φύσει καὶ ὁ ἰνδικὸς κάλαμος ἀπολελιθωμένος. ταῦτα
μὲν οὖν ἄλλης σκέψεως.*

Cap. VII. *Τῶν δὲ λίθων πολλαί τινες αἱ φύσεις* 39
*καὶ τῶν μεταλλευομένων. ἔνιαι γὰρ ἅμα χρυσὸν ἔχουσι
καὶ ἄργυρον, προφανῆ δὲ μόνον ἄργυρον· βαρύτεραι
δὲ αὗται πολὺ καὶ τῇ ῥοπῇ καὶ τῇ ὀσμῇ. καὶ κύανος
αὐτοφυὴς ἔχων ἐν ἑαυτῷ χρυσοκόλλαν. ἄλλη δὲ λίθος
ὁμοία τὴν χρόαν τοῖς ἄνθραξι· βάρος δὲ ἔχουσι. τὸ δὲ* 40
*ὅλον ἐν τοῖς μετάλλοις πλεῖσται καὶ ἰδιώταται φύσεις
εὑρίσκονται τῶν τοιούτων, ὧν τὰ μέν εἰσι γῆς καθά-
περ ὤχρα καὶ μίλτος, τὰ δὲ οἷον ἄμμου καθάπερ χρυ-
σοκόλλα καὶ κύανος, τὰ δὲ κονίας οἷον σανδαράκη καὶ
ἀρρενικὸν καὶ ὅσα ὅμοια τούτοις. καὶ τῶν μὲν τοιού-
των πλείους ἄν τις λάβοι τὰς ἰδιότητας. ἔνιαι δὲ λί-* 41
*θοι καὶ τὰς τοιαύτας ἔχουσι δυνάμεις εἰς τὸ μὴ πά-
σχειν, ὥσπερ εἴπομεν, οἷον τὸ μὴ γλύφεσθαι σιδηρίοις
ἀλλὰ λίθοις ἑτέροις. ὅλως μὲν ἡ κατὰ τὰς ἐργασίας
καὶ τῶν μειζόνων λίθων πολλὴ διαφορά. πριστοὶ γάρ,
οἱ δὲ γλυπτοί, καθάπερ ἐλέχθη, καὶ τορνευτοὶ τυγχά-
νουσι, καθάπερ καὶ ἡ μαγνῆτις αὕτη λίθος ἡ καὶ ὄψει
περιττὸν ἔχουσα, καὶ ἧς γε δή τινες θαυμάζουσι τὴν
ὁμοίωσιν τῷ ἀργύρῳ μηδαμῶς οὔσης συγγενοῦς. πλεί-* 42
*ους δ' εἰσὶν οἱ δεχόμενοι πάσας τὰς ἐργασίας. ἐπεὶ
καὶ ἐν Σίφνῳ τοιοῦτός τίς ἐστιν ὀρυκτὸς ὡς τρία στά-
δια ἀπὸ θαλάττης, στρογγύλος καὶ βωλώδης, καὶ τορ-
νεύεται καὶ γλύφεται διὰ τὸ μαλακόν· ὅταν δὲ πυ-
ρωθῇ καὶ ἀποβαφῇ [τῷ] ἐλαίῳ, μέλας τε σφόδρα γί-
νεται καὶ σκληρός. ποιοῦσι δ' ἐξ αὐτοῦ σκεύη τὰ ἐπι-
τράπεζα. οἱ μὲν (οὖν) τοιοῦτοι πάντες προσδέχονται* 43
*τὴν τοῦ σιδήρου δύναμιν· ἔνιοι δὲ λίθοις ἄλλοις γλύ-
φονται, σιδήροις δ' οὐ δύνανται καθάπερ εἴπομεν.
οἱ δὲ σιδήροις μὲν ἀμβλυτέροις δέ· καὶ εἰσὶν ... πα-*

Digitized by Google

ραπλησίως δὲ κάτω (ἄτοπον?) τὰ .. μὴ τέμνεσθαι . . .
σιδήρῳ καίτοι καὶ στερεὸν ἔτε .. ἰσχυρότερα τέμνει,
44 καὶ σίδηρος λίθου σκληρότερος ὤν. ἄτοπον δὲ κἀ-
κεῖνο φαίνεται διότι ἡ μὲν ἀκόνη κατεσθίει τὸν σίδη-
ρον, ὁ δὲ σίδηρος ταύτην μὲν δύναται διαιρεῖν καὶ
ῥυθμίζειν, ἐξ ἧς δὲ αἱ σφραγίδες οὔ. καὶ πάλιν ὁ λί-
θος ᾧ γλύφουσι τὰς σφραγίδας ἐκ τούτου ἐστὶν ἐξ οὗ-
περ αἱ ἀκόναι, ἢ ἐξ ὁμοίου τούτῳ· ἄγεται δὲ ἡ (ἀρίστη)
45 ἐξ Ἀρμενίας. θαυμαστὴ δὲ φύσις καὶ τῆς βασανιζού-
σης τὸν χρυσόν· δοκεῖ γὰρ δὴ τὴν αὐτὴν ἔχειν τῷ
πυρὶ δύναμιν· καὶ γὰρ ἐκεῖνο δοκιμάζει. διὸ καὶ ἀπο-
ροῦσί τινες οὐκ ἄγαν οἰκείως ἀποροῦντες. οὐ γὰρ τὸν
αὐτὸν τρόπον δοκιμάζει, ἀλλὰ τὸ μὲν πῦρ τῷ τὰ χρώ-
ματα μεταβάλλειν καὶ ἀλλοιοῦν ὁ δὲ λίθος τῇ παρα-
τρίψει· δύναται γὰρ ὡς ἔοικεν ἐκλαμβάνειν τὴν ἑκά-
46 στου φύσιν. εὑρῆσθαι δέ φασι νῦν ἀμείνω πολὺ τῆς
πρότερον ὥστε μὴ μόνον τὸν ἐκ τῆς καθάρσεως ἀλλὰ
καὶ τὸν κατάχαλκον χρυσὸν καὶ ἄργυρον γνωρίζειν καὶ
πόσον εἰς τὸν στατῆρα μέμικται. σημεῖα δ' ἐστὶν αὐ-
τοῖς ἀπὸ τοῦ ἐλαχίστου· ἐλάχιστον δὲ γίνεται κριθή,
εἶτα κόλλυβος, εἶτα τεταρτημόριον ἢ ἡμιώβολος, ἐξ ὧν
47 γνωρίζουσι τὸ καθῆκον. εὑρίσκονται δὲ τοιαῦται πᾶ-
σαι ἐν τῷ ποταμῷ Τμώλῳ. λεία δ' ἡ φύσις αὐτῶν
καὶ ψηφοειδής, πλατεῖα, οὐ στρογγύλη. μέγεθος δὲ
ὅσον διπλασία τῆς μεγίστης ψήφου. διαφέρει δ' αὐ-
τῆς πρὸς τὴν δοκιμασίαν τὰ ἄνω πρὸς τὸν ἥλιον ἢ τὰ
κάτω καὶ βέλτιον δοκιμάζει τὰ ἄνω· τοῦτο δὲ διότι ξη-
ρότερα τὰ ἄνω· κωλύει γὰρ ἡ ὑγρότης εἰς τὸ ἐκλαμ-
βάνειν· ἐπειδὴ καὶ ἐν τοῖς καύμασι δοκιμάζει χεῖρον·
ἀνίησι γάρ τινα νοτίδα ἐξ αὐτῆς δι' ἣν ἀπολισθαίνει.
συμβαίνει δὲ τοῦτο καὶ ἄλλοις τῶν λίθων, καὶ ἐξ ὧν

Digitized by Google

τὰ ἀγάλματα ποιοῦσιν, ὃ καὶ σημεῖον ὑπολαμβάνουσιν ἴδιόν τι τοῦ ἔδους.

Cap. VIII. *Αἱ μὲν οὖν τῶν λίθων διαφοραὶ καὶ* 48
δυνάμεις εἰσὶν ἐν τούτοις. αἱ δὲ τῆς γῆς ἐλάττονες μὲν ἰδιώτεραι δέ. τὸ μὲν γὰρ τήκεσθαι καὶ μαλάττεσθαι καὶ πάλιν ἀποσκληρύνεσθαι καὶ ταύτῃ συμβαίνει. τήκεται μὲν γὰρ * τοῖς χυτοῖς καὶ ὀρυκτοῖς ὥσπερ καὶ ὁ λίθος· μαλάττεται δὲ, λίθους τε ποιοῦσιν, ὧν τάς τε ποικίλας καὶ τὰς ἄλλας συντιθεμένας .. ἁπάσας γὰρ πυροῦντες καὶ μαλάττοντες ποιοῦσιν. εἰ δὲ καὶ ὁ ὕε- 49
λος ἐκ τῆς ὑελίτιδος ὥς τινές φασι, καὶ αὕτη πυκνώσει γίνεται. ἰδιωτάτη δὲ ἡ τῷ χαλκῷ μιγνυμένη· πρὸς γὰρ τῷ τήκεσθαι καὶ μίγνυσθαι καὶ δύναμιν ἔχει περιττὴν ὥστε τῷ κάλλει τῆς χρόας ποιεῖν διαφοράν. περὶ δὲ Κιλικίαν ἐστί τις ἣ ἕψεται γῆ καὶ γίνεται γλισχρά· ταύτῃ δ' ἀλείφουσι τὰς ἀμπέλους ἀντὶ ἰξοῦ πρὸς τοὺς ἶπας. εἴη δ' ἂν λαμβάνειν καὶ ταύτας τὰς δια- 50
φορὰς, ὅσαι πρὸς τὴν ἀπολίθωσιν εὐφυεῖς· ἐπεὶ αἵ γε τῶν τόπων ποιοῦσαι χυμοὺς διαφόρους ἀλλήλων (ἰδίαν) τιν' ἔχουσι φύσιν, ὥσπερ καὶ αἱ τὸὺς τῶν φυτῶν. ἀλλὰ μᾶλλον ἄν τις (αὐ)τὰς τοῖς χρώμασι διαριθμήσειεν οἷσπερ καὶ οἱ γραφεῖς χρῶνται. καὶ γὰρ ἡ γένεσις τούτων, ὥσπερ ἐξ ἀρχῆς εἴπομεν, ἤτοι συρροῆς τινὸς ἢ διηθήσεως γινομένης. καὶ ἔνιά γε δὴ φαίνεται πεπυρωμένα καὶ οἷον κατακεκαυμένα οἷον καὶ ἡ σανδαράκη καὶ τὸ ἀρρενικὸν καὶ τὰ ἄλλα τὰ τοιαῦτα. πάντα δ' ὡς ἁπλῶς εἰπεῖν ἀπὸ τῆς ἀναθυμιάσεως ταῦτα τῆς ξηρᾶς καὶ καπνώδους. εὑρίσκεται δὴ πάντα 51
ἐν τοῖς μετάλλοις τοῖς ἀργυρείοις τε καὶ χρυσείοις, ἔνια δὲ καὶ ἐν τοῖς χαλκορυχείοις, οἷον ἀρρενικὸν, σανδαράκη, χρυσοκόλλα, μίλτος, ὤχρα, κύανος· ἐλάχιστος δὲ οὗτος καὶ κατ' ἐλάχιστα. τῶν δ' ἄλλων τῶν

Digitized by Google

μέν εἰσι ῥάβδοι, τὴν δ' ὤχραν ἀθρόαν πώς φασιν εἶ-
ναι· μίλτον δὲ παντοδαπὴν ὥστε εἰς τὰ ἀνδρείκελα
χρῆσθαι τοὺς γραφεῖς· καὶ ὤχραν ἀντ' ἀρρενικοῦ διὰ
52 τὸ μηδὲν τῇ χρόᾳ διαφέρειν, δοκεῖν δέ. ἀλλὰ μίλτου
τε καὶ ὤχρας ἐστὶν ἐνιαχοῦ μέταλλα καὶ κατὰ ταὐτὰ
καθάπερ ἐν Καππαδοκίᾳ, καὶ ὀρύττεται πολλή. χαλε-
πὸν δὲ τοῖς μεταλλεῦσι φασὶν εἶναι τὸ πνίγεσθαι·
ταχὺ γὰρ καὶ ἐν ὀλίγῳ τοῦτο ποιεῖν. βελτίστη δὲ δο-
κεῖ μίλτος ἡ κεία εἶναι· γίνονται γὰρ πλείους. ἡ μὲν
οὖν ἐκ τῶν μετάλλων, ἐπειδὴ καὶ τὰ σιδηρεῖα ἔχει
μίλτον. ἀλλὰ καὶ ἡ λημνία καὶ ἣν καλοῦσι σινωπικήν.
αὕτη δ' ἐστὶν ἡ καππαδοκικὴ κατάγεται δ' εἰς Σινώ-
53 πην. ἐν δὲ τῷ μικρῷ μεταλλεύεται καθ' αὑτήν. ἔστι
δὲ αὐτῆς γένη τρία, ἡ μὲν ἐρυθρὰ σφόδρα, ἡ δὲ ἔκλευ-
κος, ἡ δὲ μέση. ταύτην αὐτάρκη καλοῦμεν διὰ τὸ μὴ
μίγνυσθαι, τὰς δ' ἑτέρας μιγνύουσι. γίνεται δὲ καὶ
ἐκ τῆς ὤχρας κατακαιομένης ἀλλὰ χείρων, τὸ δ' εὕ-
ρημα Κυδίου. συνεῖδε γὰρ ἐκεῖνος, ὥς φασι, κατα-
καυθέντος τινὸς πανδοχείου τὴν ὤχραν ἰδὼν ἡμίκαυ-
54 στον καὶ πεφοινιγμένην. τιθέασι δ' εἰς τὰς καμίνους
χύτρας καινὰς περιπλάσαντες πηλῷ· ὀπτῶσι γὰρ διά-
πυροι γενόμεναι· ὅσῳ δ' ἂν μᾶλλον πυρωθῶσι, τοσ-
ούτῳ μᾶλλον μελαντέραν καὶ ἀνθρακωδεστέραν ποι-
οῦσι. μαρτυρεῖ δ' ἡ γένεσις αὐτή· δόξειε γὰρ ἂν ὑπὸ
πυρὸς ἅπαντα ταῦτα μεταβαλεῖν, εἴπερ ὁμοίαν ἢ πα-
55 ραπλησίαν δεῖ τὴν ἐνταῦθα τῇ φυσικῇ νομίζειν. ἔστι
δὲ, ὥσπερ καὶ μίλτος ἡ μὲν αὐτόματος ἡ δὲ τεχνικὴ,
καὶ κύανος ὁ μὲν αὐτοφυὴς ὁ δὲ σκευαστὸς ὥσπερ ἐν
Αἰγύπτῳ. γένη δὲ κυάνου τρία, ὁ αἰγύπτιος καὶ σκύ-
θης καὶ τρίτος ὁ κύπριος. βέλτιστος δ' ὁ αἰγύπτιος
εἰς τὰ ἄκρατα λειώματα ὁ δὲ σκύθης εἰς τὰ ὑδαρέ-
στερα. σκευαστὸς δ' ὁ αἰγύπτιος. καὶ οἱ γράφοντες

Digitized by Google

τὰ περὶ τοὺς βασιλεῖς καὶ τοῦτο γράφουσι, τίς πρῶτος βασιλεὺς ἐποίησε χυτὸν κύανον μιμησάμενος τὸν αὐτοφυῆ, δῶρά τε πέμπεσθαι παρ' ἄλλων τε καὶ ἐκ Φοινίκης φόρον κυάνου, τοῦ μὲν ἀπύρου τοῦ δὲ πεπυρωμένου. φασὶ δὲ οἱ τὰ φάρμακα τρίβοντες τὸν μὲν κύανον ἐξ ἑαυτοῦ ποιεῖν χρώματα τέτταρα, τὸ μὲν πρῶτον ἐκ τῶν λεπτοτάτων λεπτότατον, τὸ δὲ δεύτερον ἐκ παχυτάτων μελάντατον. ταῦτά τε δὴ τέχνῃ γίνεται καὶ ἔτι τὸ ψιμύθιον. τίθεται γὰρ μόλυβδος ὑπὲρ 56
ὄξους ἐν πίθοις ἡλίκον πλίνθος. ὅταν δὲ λάβῃ πάχος, λαμβάνει δὲ μάλιστα ἐν ἡμέραις δέκα, τότ' ἀνοίγουσιν, εἶτ' ἀποξύουσιν ὥσπερ εὐρῶτά τινα ἀπ' αὐτοῦ, καὶ πάλιν, ἕως ἂν καταναλώσωσι. τὸ δ' ἀποξυόμενον ἐν τριπτῆρι τρίβουσι καὶ ἀφηθοῦσιν ἀεὶ, τὸ δ' ἔσχατον ὑφιστάμενόν ἐστι τὸ ψιμύθιον. παραπλησίως δὲ καὶ 57
ὁ ἰὸς γίνεται· χαλκὸς γὰρ ἐρυθρὸς ὑπὲρ τρυγὸς τίθεται καὶ ἀποξύεται τὸ ἐπιγινόμενον αὐτῷ· ἐπιφαίνεται 58
γὰρ ὁ ἰός. γίνεται δὲ καὶ κιννάβαρι τὸ μὲν αὐτοφυὲς τὸ δὲ κατ' ἐργασίαν. αὐτοφυὲς μὲν τὸ περὶ Ἰβηρίαν σκληρὸν σφόδρα καὶ λιθῶδες, καὶ τὸ ἐν Κόλχοις. τοῦτο δέ φασιν εἶναι (ἐπὶ) κρημνῶν ὃ καταβάλλουσι τοξεύοντες. τὸ δὲ κατ' ἐργασίαν ὑπὲρ Ἐφέσου μικρὸν ἐξ ἑνὸς τόπου μόνον. ἔστι δ' ἄμμος ἣν συλλέγουσι λαμπυρίζουσαν καθάπερ ὁ κόκκος· ταύτην δὲ τρίψαντες ὅλως ἐν ἀγγείοις λιθίνοις λειοτάτην πλύνουσιν ἐν χαλκοῖς [μικρὸν ἐν καλοῖς] τὸ δ' ὑφιστάμενον πάλιν λαβόντες πλύνουσι καὶ τρίβουσιν, ἐν ᾧπέρ ἐστι τὸ τῆς τέχνης· οἱ μὲν γὰρ ἐκ τοῦ ἴσου πολὺ περιποιοῦσιν, οἱ δ' ὀλίγον ἢ οὐθέν· ἀλλὰ πλύσματι (τῷ) ἐπάνω χρῶνται ἓν πρὸς ἓν ἀλείφοντες. γίνεται δὲ τὸ μὲν ὑφιστάμενον κάτω κιννάβαρι, τὸ δ' ἐπάνω καὶ πλεῖον πλύσμα.
καταδεῖξαι δέ φασι καὶ εὑρεῖν τὴν ἐργασίαν Καλλίαν 59

Digitized by Google

τινὰ Ἀθηναῖον ἐκ τῶν ἀργυρείων, ὃς οἰόμενος ἔχειν τὴν ἄμμον χρυσίον διὰ τὸ λαμπυρίζειν ἐπραγματεύετο καὶ συνέλεγεν. ἐπεὶ δ' ᾔσθετο ὅτι οὐκ ἔχει τὸ δὲ τῆς ἄμμου κάλλος ἐθαύμαζε διὰ τὴν χρόαν οὕτως ἐπὶ τὴν ἐργασίαν ἦλθε ταύτην. οὐ παλαιὸν δ' ἐστὶν ἀλλὰ περὶ ἔτη μάλιστ' ἐνενήκοντα εἰς ἄρχοντα Πραξίβουλον Ἀθή-
60 νησι. φανερὸν δ' ἐκ τούτων ὅτι μιμεῖται τὴν φύσιν ἡ τέχνη, τὰ δ' ἴδια ποιεῖ, καὶ τούτων τὰ μὲν χρήσεως χάριν τὰ δὲ μόνον φαντασίας ὥσπερ τὰς * ἄλπεις. ἔνια δὲ ἴσως ἀμφοῖν ὥσπερ χυτὸν ἄργυρον. ἔστι γάρ τις χρεία καὶ τούτου. ποιεῖται δὲ ὅταν τὸ (κιννάβαρι) τριφθῇ μετ' ὄξους ἐν ἀγγείῳ χαλκῷ καὶ δοίδυκι χαλκῷ. τὰ μὲν οὖν τοιαῦτα τάχ' ἄν τις λάβοι πλείω.

61 Cap. IX. Τῶν δὲ μεταλλευτῶν τὰ ἐν τοῖς γεωφανέσι ἔτι λοιπὰ, [περὶ] ὧν ἡ γένεσις ὥσπερ ἐλέχθη κατ' ἀρχὰς ἐκ συρροῆς τινὸς καὶ ἐκκρίσεως γίνεται καθαρωτέρας καὶ ὁμαλωτέρας τῶν ἄλλων. χρώματα δὲ παντοῖα λαμβάνουσι καὶ διὰ τὴν τῶν ὑποκειμένων .. διὰ τὴν τῶν .. ουντων διαφορὰν, ἐξ ὧν τὰς μὲν μαλάττοντες τὰς δὲ τήκοντες καὶ τρίβοντες συντιθέασι τὰς λί-
62 θους τὰς ἐκ τῆς Ἀσίας ταύτας ἀγομένας. αἱ δ' αὐτοφυεῖς καὶ ἅμα τῷ περιττῷ τὸ χρήσιμον ἔχουσαι σχεδὸν τρεῖς εἰσὶν ἢ τέτταρες, ἥ τε μηλιὰς καὶ ἡ κιμωλία καὶ ἡ σαμία καὶ ἡ τυμφαϊκὴ τετάρτη παρὰ ταύτας ἡ γύψος. χρῶνται δὲ οἱ γραφεῖς τῇ μηλιάδι μόνον, τῇ σαμίᾳ δ' οὔ καίπερ οὔσῃ καλῇ, διὰ τὸ λίπος ἔχειν καὶ πυκνότητα καὶ λειότητα. τὸ γὰρ ἤρεμον καὶ .. δες καὶ ἀλιπὲς ἐπὶ τῆς γραφῆς ἁρμόττει μᾶλλον ὅπερ ἡ
63 μηλιὰς ἔχει τῷ φαρίδι. εἰσὶ δὲ ἐν τῇ Μήλῳ καὶ ἐν τῇ Σάμῳ διαφοραὶ τῆς γῆς πλείους. ὀρύττοντα μὲν οὖν οὐκ ἔστιν ὀρθὸν στῆναι ἐν τοῖς ἐν Σάμῳ ἀλλ' ἀναγκαῖον ἢ ὕπτιον ἢ πλάγιον. ἡ δὲ φλὲψ ἐπὶ πολὺ

Digitized by Google

διατείνει, τὸ μὲν ὕψος ἡλίκη δίπους, τὸ δὲ βάθος πολλῷ μείζων· ἐφ' ἑκάτερα δ' αὐτὴν λίθοι περιέχουσιν ἐξ ὧν ἐξαιρεῖται. διαφυὴν ἔχει διὰ μέσου καὶ ἡ διαφυὴ βελτίων ἐστὶ τῶν ἔξω καὶ πάλιν ἑτέραν αὐτῆς καὶ ἑτέραν ἄχρι τεττάρων .·. ἐστὶν ἡ ἐσχάτη, καλεῖται ἀστήρ· χρῶνται δὲ τῇ γῇ πρὸς τὰ ἱμάτια μάλιστα ἢ 64
μόνον. χρῶνται δὲ καὶ τῇ τυμφαϊκῇ πρὸς τὰ ἱμάτια καὶ καλοῦσι γύψον οἱ περὶ τὸν Ἄθων καὶ τοὺς τόπους ἐκείνους. ἡ δὲ γύψος γίνεται πλείστη μὲν ἐν Κύπρῳ καὶ περιφανεστάτη. μικρὸν γὰρ ἀφαιροῦσι τῆς γῆς ὀρύττοντες. ἐν Φοινίκῃ δὲ καὶ ἐν Συρίᾳ καίοντες τοὺς λίθους ποιοῦσιν. ἔπειτα δ' ἐν Θουρίοις· καὶ γὰρ ἐκεῖ γίνεται πολλή. τρίτη δὲ ἡ περὶ Τυμφαίαν καὶ περὶ Περραιβίαν καὶ κατ' ἄλλους τόπους. ἡ δὲ φύσις αὐ- 65
τῆς ἰδία· λιθωδεστέρα γὰρ μᾶλλόν ἐστιν ἢ γεώδης· ὁ δὲ λίθος ἐμφερὴς τῷ ἀλαβαστρίτῃ· μέγας δ' οὐ τέμνεται ἀλλὰ χαλικώδης. ἡ δὲ γλισχρότης καὶ θερμότης ὅταν βρεχθῇ θαυμαστή. χρῶνται γὰρ πρός τε τὰ οἰκοδομήματα τὸν λίθον περιχέοντες κἂν τι ἄλλο βούλωνται τοιοῦτον κολλῆσαι. κόψαντες δὲ καὶ ὕδωρ ἐπι- 66
χέοντες ταράττουσι ξύλοις, τῇ χειρὶ γὰρ οὐ δύνανται διὰ τὴν θερμότητα. βρέχουσι δὲ παραχρῆμα πρὸς τὴν χρείαν· ἐὰν (δὲ) μικρὸν πρότερον ταχὺ πήγνυται καὶ οὐκ ἔστι διελεῖν. θαυμαστὴ δὲ καὶ (ἡ) ἰσχύς· ὅτε γὰρ οἱ λίθοι ῥήγνυνται ἢ διαφέρονται ἡ γύψος οὐκ ἀνίησι, πολλάκις δὲ καὶ τὰ μὲν πέπτωκε καὶ ὑφῄρηται, τὰ δ' ἄνω κρεμάμενα μένει συνεχόμενα τῇ κολλήσει. δύνα- 67
ται δὲ καὶ ὑφαιρουμένη πάλιν καὶ πάλιν ὀπτᾶσθαι καὶ γίνεσθαι χρησίμη. περὶ μὲν οὖν Κύπρον καὶ Φοινίκην εἰς ταῦτα μάλιστα, περὶ δὲ Ἰταλίαν καὶ εἰς τὸν οἶνον· καὶ οἱ γραφεῖς (πρὸς) ἔνια τῶν κατὰ τὴν τέχνην ἔτι δὲ οἱ γναφεῖς ἐμπάττοντες εἰς τὰ ἱμάτια. δια-

Digitized by Google

φέρειν δὲ δοκεῖ καὶ πρὸς ἀπομάγματα πολὺ τῶν ἄλλων, εἰς ὃ καὶ χρῶνται μᾶλλον καὶ μάλισθ᾽ οἱ περὶ
68 τὴν Ἑλλάδα, γλισχρότητι καὶ λειότητι. ἡ μὲν δύναμις ἐν τούτοις καὶ τοιούτοις. ἡ δὲ φύσις ἔοικεν ἀμφότερά πως ἔχειν καὶ τὰ τῆς κονίας καὶ τὰ τῆς γῆς, θερμότητα καὶ γλισχρότητα, μᾶλλον δὲ ἑκατέραν ὑπερέχουσαν. ὅτι δ᾽ ἔμπυρος κἀκεῖθεν φανερόν. ἤδη γάρ τις ναῦς ἱματηγὸς βρεχθέντων ἱματίων ὡς ἐπυρώθησαν
69 συγκατεκαύθη καὶ αὐτή. καίουσι δὲ καὶ ἐν Φοινίκῃ καὶ ἐν Συρίᾳ καμινεύοντες αὐτήν [καὶ καίοντες]· καίουσι δὲ μάλιστα τοὺς μαρμάρους καὶ ἁπλουστέρους, στερεωτάτους μὲν παρατιθέντες (βόλιτον, ἕνεκα) τοῦ θᾶττον καίεσθαι καὶ μᾶλλον. δοκεῖ γὰρ θερμότατον εἶναι πυρωθὲν καὶ πλεῖστον χρόνον διαμένει. ὀπτήσαντες δὲ κόπτουσι ὥσπερ τὴν κονίαν. ἐκ τούτου δ᾽ ἂν δόξειεν εἶναι φανερὸν ὅτι πυρώδης τις ἡ γένεσις αὐτῆς τὸ ὅλον ἐστίν.

Fr. III. *ΠΕΡΙ ΠΥΡΟΣ.*

1 Cap. I. Ἡ τοῦ πυρὸς φύσις ἰδιαιτάτας ἔχει δυνάμεις τῶν ἁπλῶν. ἀὴρ μὲν γὰρ καὶ ὕδωρ καὶ γῆ τὰς εἰς ἄλληλα μόνον ποιοῦνται μεταβολὰς φυσικὰς, αὐτὸ δὲ αὐτοῦ γεννητικὸν οὐδὲν. τὸ δὲ πῦρ γεννᾷν καὶ φθείρειν πέφυκεν αὐτὸ, γεννᾷν μὲν τὸ ἔλαττον τὸ πλέον, φθείρειν δὲ τὸ πλέον τὸ ἔλαττον. ἔτι δὲ αἱ γενέσεις αὐτοῦ αἱ πλεῖσται [καὶ] οἷον μετὰ βίας· καὶ γὰρ ἢ πληγῇ τῶν στερεῶν ὥσπερ λίθων, ἢ θλίψει καὶ πιλήσει καθάπερ τῶν πυρείων, καὶ ὅσα ἔχει φορὰς ὥσπερ τῶν πυρουμένων καὶ τηκομένων, ἐκ δ᾽ αὐτοῦ

Digitized by Google

τοῦ ἀέρος ἐν τοῖς νέφεσι συστροφῇ καὶ θλίψει· βίαιοι γὰρ δὴ αἱ φοραὶ δι' ὧν δὴ οἱ πρηστῆρες καὶ κεραυνοὶ γίνονται. καὶ ὅσους δὴ τρόπους ἄλλους τεθεωρήκαμεν εἴθ' ὑπὲρ γῆς γινομένων εἴτ' ἐπὶ γῆς εἴθ' ὑπὸ γῆς. αἱ γὰρ πολλαὶ δόξαιεν ἂν αὐτῶν μετὰ βίας. εἰ 2
δ' ἄρα μὴ τοῦτ' ἀλλ' ἐκεῖνό γε φανερὸν ὅτι πλείστας ἔχει γενέσεις, ὧν οὐδεμία τοῖς ἄλλοις ὑπάρχει οὐδ' ὅλως ὁ τρόπος οἰκεῖος, ἀλλὰ πάντων ὥσπερ ἐλέχθη φυσική τις μεταβολὴ καὶ γένεσις. διὸ κἀκείνων μὲν οὐθὲν ἐφ' ἡμῖν ποιεῖν. οὐδὲ γὰρ ὅταν τὸ ὕδωρ ὀρύττωμεν αὐτὸ ποιοῦμεν, ἀλλ' εἰς ἐμφάνειαν ἄγομεν τὸ καταμεμερισμένον ἀθροιζόμενοι. τοῦτο δὲ φαίνεται 3
οὐ καθ' ἕνα μόνον τρόπον ἀλλὰ κατὰ πλείστους. μεγίστη δὲ αὕτη διαφορὰ δόξειεν ἂν εἶναι. τὰ μὲν γὰρ καθ' αὑτὰ καὶ οὐδὲν ἐν ὑποκειμένῳ, πῦρ δὲ, τό γε τῇ περὶ ἡμᾶς αἰσθήσει φανερὸν, εἴτ' ἀριθμητέον εἰς τὸ αὐτὸ τὸ φῶς εἴτε μὴ ἀριθμητέον· εἰ μὲν γὰρ καὶ τὸ φῶς φανερὸν ὡς ἐν ἀέρι γε τοῦτο καὶ ὕδατι, εἰ δὲ μὴ τό γε πῦρ τῆς φλογὸς καὶ τοῦ ἄνθρακος ἐν ὑποκειμένῳ· ἡ μὲν γὰρ καπνὸς καόμενος, ὁ δὲ γεῶδές τι καὶ στερεόν. ὁμοίως δὲ καὶ τὰ ἐν τοῖς μεταρσίοις ἐκπυρούμενα καὶ τὰ ἐν τῇ γῇ· πάντα γὰρ ἢ ἀέρος τοιοῦδε πύρωσις, ἢ ἀέρος ἅμα καὶ ὑγροῦ καὶ γεώδους, ἢ πάντων ἢ τοῖν δυοῖν. ἁπλῶς δ' ἀεὶ καὶ πᾶν καιόμενόν ἐστιν ὥσπερ ἐν γενέσει καὶ τὸ πῦρ ἐν κινήσεως εἴδει καὶ γινόμενον φθείρεταί πως καὶ ἅμα τῷ ὑπολιπεῖν τὸ καυστὸν καὶ αὐτὸ συναπόλλυται. τοῦτο γὰρ 4
ἦν καὶ τὸ παρὰ τῶν παλαιῶν λεγόμενον ὅτι τροφὴν ἀεὶ ζητεῖ τὸ πῦρ ὡς οὐκ ἐνδεχόμενον αὐτὸ παραμένειν ἄνευ τῆς ὕλης. καὶ ἄτοπον φαίνεται πρῶτον αὐτὸ λέγειν καὶ οἷον ἀρχὴν εἰ μὴ οἷόν τ' εἶναι χωρὶς ὕλης· οὔτε γὰρ ἁπλοῦν οὕτω γε, οὔτε πρότερον τοῦ ὑποκει-

Digitized by Google

μένου καὶ τῆς ὕλης, εἰ μή τις ἐν αὐτῇ τῇ πρώτῃ
σφαίρᾳ τοιαύτη φύσις ὥστε ἄμικτον εἶναι θερμότητα
καὶ καθαράν. οὕτω δὲ οὐκ ἂν ἔτι καίοι· πυρὸς δὲ
αὕτη φύσις. πλὴν εἰ ἄρα γε πλείους καὶ διάφοροι, καὶ
ἡ μὲν πρώτη καθαρὰ καὶ ἄμικτος, ἡ δὲ περὶ τὴν τῆς
γῆς σφαῖραν μεμιγμένη καὶ ἀεὶ κατὰ γένεσιν. ἡ δ'
ἀρχὴ πότερον ἀπ' ἐκείνης αὐτῷ τῆς γενέσεως ἢ ἀπὸ
τῶν ὑποκειμένων ὅταν ἐν κινήσει τοιᾷδε καὶ διαθέσει
πρὸς ἄλληλα γένηται, καθάπερ ἀρτίως ἐλέγομεν, (ἢ)
5 ἀπ' ἀμφοῖν; καὶ γὰρ ἡ κίνησις ἡ τοιάδε καὶ ἀλλοίωσις
εἰς τὴν τοῦ θερμοῦ πως ἀνάγεται φύσιν· ὁ γὰρ ἥλιος
ὁ ταῦτα πάντα δημιουργῶν. πάλιν δ' ἡ τοῦ ἡλίου φύ-
σις εἰ μὲν τοῦ πυρός τις ἰδέα πλείστην ἂν αὕτη καὶ
μεγίστην ἔχοι διαφορὰν ἀρχή τις οὖσα καὶ ἐφ' ἅπαντα
ἥκουσα· καὶ γὰρ τὸ φῶς ἀπὸ τούτου καὶ ἡ γόνιμος ἐν
τοῖς ζώοις καὶ φυτοῖς θερμότης. ἔτι δὲ ἡ τοῦ γεώδους
τούτου καὶ καιομένου πυρὸς δυνατὴ διὰ τούτου γίνε-
σθαι· πολλοὶ γοῦν καὶ ἐξάπτοντες ὑπολαμβάνουσι τὴν
6 αὐγὴν εἶναι ἀπὸ τοῦ ἡλίου. εἰ δὲ μή ἐστι πῦρ μηδὲ
πυρὸς φῶς αὐτὸ μὲν τοῦτο θαυμαστὸν καὶ λόγου δεῖ-
ται· εἰ δὲ μήθ' ὑπὸ τούτου καὶ διὰ τοῦτον ἡ θερμό-
της ἐκεῖνό γε φανερὸν ὡς ἐν ὑποκειμένῳ τινὶ καὶ τὸ
πῦρ καὶ ὁ ἥλιος τὸ θερμόν. ἄτοπον δὲ καὶ τοῦτο πά-
λιν εἰ ἡ ἀρχὴ καὶ τὸ πρῶτον ἐν ὑποκειμένῳ· τὸ γὰρ
θερμὸν καὶ ἡ τούτου δύναμις ἀρχή. κοινότερον γὰρ
τοῦτο καὶ ἐπὶ πλείω διήκει καὶ κυριώτερον ἀλλοιώ-
σεως καὶ φυσικῆς γενέσεως. τὸ δὲ πῦρ ὡς εἴρηται
γεννητικὸν μὲν αὐτοῦ φθαρτικὸν δὲ ὡς ἐπίπαν τῶν
ἄλλων, ὅθεν καὶ δῆλον ὡς ἑτέρα τις ἡ φύσις πυρὸς
7 καὶ θερμοῦ. πῦρ δὲ λέγομεν ὅταν ἐν τῷ γεώδει καὶ
ἀερώδει τῆς ξηρᾶς ἀναθυμιάσεως καυστικὴ γένηται θερ-
μότης ἥνπερ οὐχ οἷόν τε ἐν τοῖς ὑγροῖς ὑπάρχειν πλὴν

Digitized by Google

*ὥσπερ σάρκα λέγομεν καίειν. ἀλλὰ γὰρ ταῦτα ἔοικεν
ἐς μείζω τινὰ σκέψιν ἐκφέρειν ἡμᾶς τῶν ὑποκειμένων
ἢ ζητεῖ τὰς πρώτας αἰτίας. φαίνεται γὰρ οὕτω λαμ- 8
βάνουσι τὸ θερμὸν καὶ τὸ ψυχρὸν ὥσπερ πάθη τινῶν
εἶναι οὐκ ἀρχαὶ καὶ δυνάμεις. ἅμα δὲ καὶ ἡ τῶν ἁπλῶν
λεγομένων φύσις μικτή τις καὶ ἐνυπάρχουσα ἀλλήλοις.
ὥσπερ γὰρ οὐδὲ τὸ πῦρ ἄνευ ἀέρος ἢ ὑγροῦ τινος καὶ
γεώδους εἶναι δυνατὸν οὕτως οὐδὲ τὸ ὑγρὸν ἄνευ πυ-
ρὸς οὐδὲ τὴν γῆν ἄνευ ὑγροῦ. σημεῖον δέ· τὸ μὲν γὰρ
πήγνυται διὰ τὴν ἔκθλιψιν, ἡ δ' οὐκ ἂν συμμείνειεν
ἀπολιπόντος πάντῃ καὶ πάντως τοῦ ὑγροῦ. διὸ ταῦτα
μὲν φαίνεται κοινὰ καὶ δεόμενα διορισμοῦ πῶς ποτὲ
χρὴ τὰ ἁπλᾶ λέγειν. τὰ δὲ τούτων πρότερα μιχθέντα 9
μείζους ἔχει ζητήσεις ὥσπερ εἴπομεν. ἐκεῖνο δ' ἐξ
ἁπάντων φανερὸν ὡς ἡ τοῦ πυρὸς φύσις ἰδιαιτάτας
ἔχει καὶ πλείστας δυνάμεις, καθάπερ ἐν ἀρχῇ τῶν λό-
γων ἐλέχθη. καὶ γὰρ αὐτὸ τὸ πολυειδὲς αὐτοῦ καὶ
διειλημμένον ἐν ἅπασι τοῖς τόποις ἰδιότητα μηνύει τῆς
φύσεως. οὐδὲν γὰρ δὴ τῶν ἄλλων οὔθ' οὕτω πολυει-
δὲς οὔτ' ἀνώμαλον ταῖς δυνάμεσιν οὔτ' αὐτῇ τῇ φύ-
σει διάφορον οὔτε διῆκον εἰς πάντας καὶ καταμεμερι-
σμένον τοὺς τόπους. ἀφέντας γοῦν τὰ μείζω καὶ τὰ
πρότερα πειρατέον ὑπὲρ τῶν ἐλαττόνων λέγειν ἀρξα-
μένους ἀπὸ τῆς γενέσεως ὑφ' αὐτοῦ καὶ φθορᾶς· [ἣν
ὑφ' αὐτοῦ ποιεῖται]*

Cap. II. *Ληπτέον δὲ εἰς ταῦτα τὸ μικρῷ πρότε-* 10
*ρον εἰρημένον, ὃ καὶ τῇ αἰσθήσει φανερὸν, ὡς ἐν ὑπο-
κειμένῳ πως ἡ φύσις αὐτοῦ καὶ τὸ ὅλον ἀλλοιουμένῳ
καὶ πάσχοντι. τούτου γὰρ τεθέντος εὐοδοίη ἂν καὶ ἡ
γένεσις καὶ ἡ φθορά. γεννᾷ μὲν γὰρ τῷ ἐπὶ πλεῖον
ἀεὶ προϊέναι καῖον καὶ ἐξομοιούμενον. συμβαίνει δὲ
καὶ ἀπόλειψίν τινα αὐτοῦ γίνεσθαι καταναλισκομένης*

Digitized by Google

τῆς ὑγρότητος τῶν πρότερον πυρουμένων. φθείρει δὲ ὅταν πλησίον τεθῇ τὸ πλεῖον τὸ ἔλαττον, εἴτε τὴν τροφὴν ἀφαιρούμενον εἴτ᾽ οὖν ἐξαεροῦν τὴν ἀρχὴν καὶ καταμαραῖνον τῷ ὑπερισχύειν· οὔτε γὰρ ἄνευ ὑγρότητος οὐδὲν καυστὸν οὔτε ταύτης ἐνυπαρχούσης ἐὰν μὴ
11 *ἔχῃ δύναμιν τὴν ἐργασομένην. ὁμοίως δὲ καὶ ὑπὸ τῆς πνίξεως σβέσις. καὶ γὰρ ἐνταῦθα συναθροισθὲν τῷ μὴ ἀπορρεῖν τὸ θερμὸν ἐκμαραίνει καὶ ξηραίνει τὴν ἀρχὴν ὥσπεραν θλίψιν τινὰ ποιοῦσα καὶ ἀποπίεσιν· διὸ καὶ οὐκ ἀμαθῶς τοὔνομα τὸ καταπνίγεσθαι τὸ πῦρ· καὶ γὰρ ὅλως ὁ ἀὴρ πυκνωθεὶς δύναιτ᾽ ἂν τοῦτο δρᾶν καὶ πυρωθεὶς ἔτι μᾶλλον καὶ θᾶττον. διὰ τὰς αὐτὰς δὲ καὶ παραπλησίας αἰτίας καὶ ἐν τῷ ἡλίῳ τὸ πῦρ ἧττον καίεται ἢ ἐν τῇ σκιᾷ καὶ οἱ λύχνοι φαίνουσιν ἧττον καιομένου πυρός καὶ ἀποσβέννυνται ὅλως ἐὰν ὑπὲρ τῆς φλογὸς τεθῶσι· καὶ γὰρ ἐνταῦθα κατα-*
12 *μαραίνει τε καὶ κωλύει τὴν ἀρχὴν τὸ πλέον. ἀντικειμένως δὲ τούτῳ διὰ τὴν αὐτὴν καὶ παρομοίαν αἰτίαν τὰ καιόμενα θᾶττον κατακαίεται χειμῶνος ἢ θέρους· ἀσθενέστερον γὰρ ποιεῖ τὸ πῦρ τὸ θέρος ὥσπερ καὶ ὁ ἥλιος καὶ αὐτὸ τὸ πῦρ τὸ φῶς, ὁ δὲ χειμὼν καὶ τὸ τοῦ πέριξ ἀέρος ψυχρὸν ἀθροίζει, συνηθροισμένον δὲ πᾶν ἰσχυρόν· διὸ καὶ (τὸ) ἐν τοῖς λαμπτῆρσι φῶς ἐπὶ πλεῖον φαίνεται. ὅλως δὲ συνεστηκυῖα καὶ ἀθρόος ἡ δύναμις ἅπαντος ἰσχυροτέρα καθάπερ τοῦ βάρους· ὥσπερ γὰρ*
13 *μεῖζον γίνεται. πολλὰ δὲ τοιαῦτα ἐπὶ τοῦ θερμοῦ λαβεῖν ἔστιν οἷον καὶ τὰ ἀλειπτήρια καὶ τὰ βαλανεῖα θερμότερα χειμῶνος ἢ θέρους καὶ βορείοις ἢ νοτίοις· συνέσταλται γὰρ ἐν τῷ χειμῶνι καὶ συγκατακλείεται τὸ θερμὸν ὑπὸ τοῦ πέριξ ἀέρος. καὶ τὰ σώματα πέττει τὰς τροφὰς μᾶλλον καὶ ὅλως ἰσχυρότερα τοῖς χειμῶσίν ἐστιν· ὅτι συνήθροισται καὶ ἀντιπεριέστηκε τὸ*

Digitized by Google

θερμόν. ἐκ ταύτης δὲ τῆς αἰτίας καὶ τὸ ψυχρὸν ἐνια- 14
χοῦ δοκεῖ τὸ αὐτὸ ποιεῖν τῷ θερμῷ καὶ ἁπλῶς καὶ ταῖς
ὑπερβολαῖς· πέττειν τε γὰρ τοὺς καρπούς φασι τὰ
ψύχη, καὶ ἀποκαίειν καὶ τὸ καῦμα καὶ τὸ ψύχος, οὐκ
ἀληθῆ λέγοντες. ἀποκαίει γὰρ οὕτω καὶ πέττει τὸ ψύ-
χος οὐ προηγουμένως ἀλλὰ κατὰ συμβεβηκὸς ὅτι συ-
στέλλει καὶ συνάγει τὸ θερμὸν [ἐπὶ] τὸ ἐργαζόμενον
ἐκεῖνο· πλέον δὲ ὂν καὶ ἰσχυρὸν μᾶλλον. ἡ αὐτὴ δὲ 15
αἰτία καὶ ὅτι τοῖς λειποψυχήσασι ψυχρὸν ὕδωρ προσ-
χέουσι ψυχροῦ τοῦ πάθους ὄντος· συνάγει γὰρ καὶ ἐξιέ-
ναι κωλύει τὸ θερμὸν ἔμφραττον τοὺς πόρους καὶ κα-
ταψύχον τὸ πέριξ· ἀθροῖσαι γὰρ τοῦτο δεῖ καὶ ἀνακα-
λέσασθαι. διὸ καὶ κατέχειν τινὲς κελεύουσι τὸ πνεῦμα
τοὺς ἐκλυομένους· ἅμα γὰρ διαθερμαίνεταί τε [καὶ]
τὸ ἐντὸς καὶ ὁ ἱδρὼς ἐμπίπτων λύει τὴν λειποθυμίαν.
ψύχεται δὲ τὰ θερμὰ ἧττον ἐν τῇ σκιᾷ ἢ τῷ ἡλίῳ διὰ
τὸ ψυχρότερον εἶναι τὸ περιεστηκός· ἐκθλίβεται γὰρ
μᾶλλον τὸ θερμόν. καὶ τὰ ἐκ τῆς γῆς ὕδατα θερμό- 16
τερα τοῦ χειμῶνος ἢ τοῦ θέρους διὰ τὴν αὐτὴν αἰτίαν·
ἔνια γὰρ καὶ ἀναζεῖ μᾶλλον. τὸ δὲ θερμαινόμενον
ὕδωρ οὐχ ὁμοίως ὑπερζεῖ καὶ τοῦ θέρους, μᾶλλον θερ-
μαινόμενον ὡς εἰπεῖν, ὅτι τὸ ὑπερζεῖν ἐστὶν ἀναβολὴ
τῶν πομφολύγων· αὗται δ' οὐχ ὁμοίως αἴρεσθαι δύ-
νανται διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος ἀέρος· θλί-
βει γὰρ οὗτος καὶ ὥσπερ ἐπικόπτει, διὸ καὶ ταχὺ συμ-
πίπτουσι καὶ ἅμα τῷ τε πλήθει καὶ τοῖς ὄγκοις ἐλάτ-
τους γίνονται· τοῦ θέρους δ' ἀνάπαλιν. ὅτι δὲ ἰσχυ- 17
ρὸν εἰς τὸ συναγαγεῖν καὶ συναθροῖσαι τὸ θερμὸν ση-
μεῖον καὶ τὰ τηκόμενα καὶ τὰ ῥηγνύμενα τῶν ἐλατῶν
καὶ χυτῶν· καττίτερον καὶ μόλιβδον ἤδη τακῆναι ἐν
τῷ Πόντῳ πάγου καὶ χειμῶνος ὄντος νεανικοῦ, χαλ-
κὸν δὲ ῥαγῆναι. τοῦτο δὲ δῆλον ὡς διὰ τὸ ἐμπνευμα-

Digitized by Google

τωθῆναι τὴν ὑγρότητα συστελλομένου καὶ συνιόντος τοῦ θερμοῦ. τὸ γὰρ πνεῦμα διεκπῖπτον ποιεῖ τὴν ῥῆ-
18 ξιν. καὶ ὑπὸ χιόνος τῆς γῆς ἀναζύμωσις, καὶ γένεσις ἐν αὐτῇ τῇ χιόνι ζώων ἐνίων, ἁπλῶς δὲ καὶ ἡ μεταβολὴ τῶν ἐν τῇ γῇ πάντων ἀπ' αὐτῶν ἀρξαμένοις τῶν ὑδάτων. ἐπειδὴ ἡ ἀναθυμίασις καὶ ὁ ἀτμὸς πλείων οὐ μόνον διὰ τὴν φαντασίαν ἀλλὰ καὶ διὰ τὸν ἀθροισμὸν τοῦ θερμοῦ καὶ διὰ τὴν ἀντιπερίστασιν ἅμα καθυγραινομένης (τῆς γῆς). τοῦτο μὲν οὖν φανερὸν ἐκ πολλῶν, ὅτι καὶ ἰσχύει μᾶλλον ἠθροισμένον καὶ ἀσθε-
19 νέστερον γίνεται διακεχυμένον. ἓν δέ τι τῶν ὑπὸ τοῦτο καὶ τὸ διαμένειν ἐστὶ τὸ πῦρ ἐγκρυφθέν· περιστέγει γὰρ ἡ τέφρα καὶ κωλύει τὸν ἀέρα τὸν ἔξωθεν προσπίπτοντα σβεννύναι, σβεννύει γὰρ τὸ ψυχρὸν, καὶ τὴν ἀπορροὴν μὴ γίγνεσθαι τὴν τοῦ πυρός· καὶ γὰρ οὕτως ἐκμαραίνεται καταναλισκομένου τοῦ ὑγροῦ· μηδ' αὐγὴν, εἴ τις ἄρ' ἐστὶ, συναθροίζεσθαι καθάπερ πρὸς τοῦ πνιγέος, ἀλλ' ἔχειν δίοδον ἱκανήν. τὸ δὲ δοκοῦν ὑπεναντίον εἶναι τούτῳ διότι μὴ ἐγκρυφθὲν θᾶττον φθείρεται ἢ ἀφαιρούντων τὴν τέφραν ἢ ὑφαιρούντων οὐκ ἔστιν ὑπεναντίον· διὰ γὰρ τὴν ὀλιγότητα τὴν αὐτῆς οὔτε κωλύειν δύναται τὸν ἀέρα προσπίπτειν οὔτε πάλιν εἰς τὴν ἀπορροὴν ἰέναι τοσαύτην ὥστε ἀμύνεσθαι καὶ κρατεῖν τοῦ προσπίπτοντος, ὅπερ εἰ γυμνὸν ἦν ἐποίει ἂν μᾶλλον· ὥστ' εὐλόγως ἀναλίσκεται θᾶττον.

20 Cap. III. Φθοραὶ γὰρ πυρὸς πλείους· ἡ μὲν ὥσπερ φυσική τις ἐξαναλισκωμένου τοῦ ὑγροῦ καὶ ἁπλῶς τοῦ καυστοῦ· τότε γὰρ ὥσπερ φθίνει καὶ μαραίνεται. αἱ δ' ἔξωθεν. ὧν ἓν μέν τι γένος αἱ ὑπὸ τῶν ὁμογενῶν ἃς ὀλίγῳ πρότερον εἴπομεν. ἄλλαι δὲ ὑπὸ ψυχροῦ καὶ ὑγροῦ, μᾶλλον οἰκεῖαι δόξασαι τῶν

Digitized by Google

ὑπὸ τοῦ ὁμογενοῦς· τὰ γὰρ ἐναντία φθαρτικὰ φύσει τῶν ἐναντίων. διὸ δὴ καὶ ἡ προσπίπτουσα ψυχρότης εἰς τὸ τετεφρωμένον πῦρ σβέννυσιν. ἡ δ' ὑγρότης καὶ 21
θερμὴ καὶ ψυχρὰ οὖσα διαδύεται καὶ καταφθείρει τὴν ἀρχήν· ἐπεὶ καὶ ἡ φύσει καυστὴ καθάπερ ἡ λιπαρὰ πλείων ἐπιρρέουσα τῆς ἱκανῆς. ἔτι τοῦ τε φλογώδους* καὶ ὑπὸ πνεύματος μεγέθους· καὶ γὰρ οὗτος σβέννυται φθειρόμενος καὶ οὐχ ὥσπερ κατισχυομένης τῇ μείζονι κινήσει ἀλλὰ τρόπον τινὰ καταφθειρομένης καὶ ἐνταῦθα τῆς ἀρχῆς. διὸ καὶ ὅταν ἐπιτεθῇ τι τοῖς λύχ- 22
νοις ἧττον σβέννυνται· καὶ οὕς γε δὴ νῦν ποιοῦσι τοὺς χαλκοῦς, οἷς ἐπὶ τῶν λύχνων χρῶνται, τὸ ὅλον οὐδὲ σβέννυνται πλὴν ἐὰν ἔκτοπον ἐπιγένηται πνεῦμα· οὐ γὰρ ἔχον οὐδαμῇ παρείσδυσιν οὐχ ἅπτεται τῆς ἀρχῆς· ἕως δ' ἂν αὕτη μένῃ καθάπερ ὕδατος πηγὴ μένει καὶ ἡ φλόξ. σβέννυται δὲ καὶ ἐάν τις ἀποστεγάσῃ 23
πανταχῇ καὶ ἐὰν μηδεμίαν ἀναπνοὴν διδῷ· διὸ καὶ ἐν τῇ τέφρᾳ ἐγκρύπτουσι τοῦτ' εὐλαβούμενοι· κωλυόμενον γὰρ ἀπορρεῖν αὐτὸ ἐν ἑαυτῷ θλίβεται. καὶ ἐάν τις καταθλίβῃ τοὺς δαλοὺς ἢ τοὺς ἄνθρακας ὥσπερ καὶ τοὺς λύχνους, ἀποσβέννυσιν· ἐπεὶ καὶ τὸ ἐν τοῖς μεγάλοις λύχνοις διὰ τοιαύτην τινὰ αἰτίαν σβέννυται· παχὺς γὰρ ὢν ὁ ἀὴρ καὶ ἀκίνητος οἷον καταπιέζει καὶ θλίβει καθαπερεί τι στερεὸν (ὃ) οὐ δύναται διαβιάσασθαι τὸ πῦρ· κενὸν γὰρ δὴ ζητεῖ πρὸς ὃ καὶ ἐν ᾧ ἡ φορά. διὰ τοῦτο δὲ καὶ τὸν πνιγμὸν ποιεῖ τοῖς ἐργα- 24
ζομένοις ὁ ἀὴρ ὅτι παχύς τε καὶ ἠρεμῶν· οὐ γὰρ διαδίδωσι τῇ ἐκπνοῇ. διὸ καὶ τὰ ψυχαγωγεῖα ποιοῦσιν ὅπως λεπτύνηται τῇ κινήσει καὶ ἅμα μεταβάλλων διδῷ χώραν. ὅτι δὲ ὁ παχὺς δύσπνους φανερὸν μὲν καὶ ἁπλῶς λεχθὲν, οὐ μὴν ἀλλὰ καὶ ὁμιχλώδη καὶ θολερώδη διαμαρτυροῦσι· καὶ τούτων μὲν τοιαύτας ἄν τις ὑπολάβοι τὰς

Digitized by Google

25 αἰτίας. ὅτι δὲ ἡ ἀρχὴ φθειρομένη κυριωτάτη πρὸς τὴν
σβέσιν κἀκεῖθεν φανερόν. τὴν γὰρ πίτταν καιομένην
τὸ μὲν ὕδωρ οὐ σβέννυσι τὸ δ' ἔλαιον σβέννυσιν ὅτι
διαδύεται λεπτότερον ὂν πρὸς τὴν ἀρχήν· καίτοι μά-
λιστα εὔκαυστον. ἀλλ' ὅτε ἂν ἀπολάβῃ καὶ θλίβῃ ταύ-
την ἔσβεσεν, ὥσπερ καὶ τοὺς λύχνους πλεῖον ἐπιρρέον.
πάλιν δὲ τὸ ὄξος σβεστικώτερον τοῦ ὕδατος διὰ τὴν
αὐτὴν αἰτίαν θερμότατον ὂν τῶν λοιπῶν· εἰσδύεται γὰρ
μάλιστα καὶ πλεῖστον ὥστε θιγγάνειν τῆς ἀρχῆς. οὐ
γὰρ ᾗ ψυχρὸν σβέννυσι πάντως τὸ ψυχρὸν — τοῦτο δὲ
δῆλον ὅτι καὶ τὸ ζέον ὕδωρ —, ἀλλ' ᾗ τὴν ἀρχὴν ἐπι-
26 κλείει καὶ καταλαμβάνει. συντεθέντα μὲν οὖν ἄμφω,
τό θ' ὑγρὸν καὶ τὸ ψυχρόν, μᾶλλον φθείρει· γίγνεται
γὰρ τοῖς ἐναντίοις ὑπὸ τῶν ἐναντίων ἡ φθορά. τὸ γὰρ
πῦρ θερμὸν καὶ ξηρόν. οὐ μὴν ἀλλὰ καὶ χωριζόμενον
ἑκάτερον φθαρτικόν. ὁ μὲν γὰρ ἀὴρ ᾗ ψυχρὸς σβέν-
νυσι, τὸ δὲ ὕδωρ ᾗ ὑγρόν. καὶ αὗται μὲν ἐοίκασιν
ὥσπερ φυσικαῖς τισὶ τοῖς ἐναντίοις ὑπὸ τῶν ἐναντίων
γιγνόμεναι, ἡ δ' ὑφ' ἑαυτοῦ καθαπερεὶ παρὰ φύσιν.
οὐκ ἔστι δὲ παρὰ φύσιν τὸ τὴν ἐλάττω κρατεῖσθαι δύ-
27 ναμιν ὑπὸ τῆς μείζονος. φθείρει δὲ καὶ τὰ οἰκείως
φθαρτικὰ ταῖς ὑπερβολαῖς· ἐπεὶ μέχρι γέ του συναύ-
ξει λαμβάνοντα συμμετρίαν, οἷον τὸ μὲν ὑγρὸν αὐτὸ
καιόμενον τὸ δὲ ψυχρὸν συνθλίβον καὶ ἰσχυρότερον
ποιεῖ. τὸ δὲ πνεῦμα τῇ κινήσει συνεκκάει καὶ ζωπυ-
ρεῖ. διὸ καὶ οἱ λύχνοι πλέον ἔλαιον ἀναλίσκουσιν ἐν
τοῖς πνεύμασι· καὶ τὰ ξύλα θᾶττον κατακαίεται σφο-
δροτέρας καὶ πλείονος τῆς κινήσεως γινομένης, ἡ δὲ
28 μείζων καὶ ἀσύμμετρος ἀπέσβεσε. καὶ διὰ τοῦθ' ὁ
μὲν λύχνος ἀποσβέννυται φυσώμενος τὰ δὲ ξύλα καὶ
οἱ ἄνθρακες ἐκκαίονται· τῷ μὲν γὰρ οὐκ ἔστι σύμμε-
τρον πνεῦμα λαβεῖν, ἅμα δὲ καὶ εὔκαυστον ἔχων τὸ

Digitized by Google

*πυρούμενον οὐ δεῖται τῆς ἔξωθεν πνοῆς. τό τε γὰρ
ἐλλύχνιον ἅτε μανὸν καὶ ξηρὸν ἐφέλκεται τὴν ὑγρό-
τητα καὶ τὸ ἔλαιον αὐτὸ καιόμενον. ὁ δ' ἄνθραξ καὶ
τὸ ξύλον οὐ δύναται καίεσθαι μὴ φυσώμενα διὰ τὸ
γεῶδες καὶ στερεόν· οἱ γὰρ πόροι πυκνοὶ τῶν τοιού-
των πάντων, οὓς διοίγει καὶ ὁδοποιεῖ τῷ πυρὶ τὸ
πνεῦμα, καὶ ὅσῳ ἂν εἰς πλείω καὶ ἐλάττω μεμερισμένα
προσπίπτῃ μᾶλλον. διὰ τοῦτο καταγνύντες τοὺς ἄν-* 29
*θρακας ἐνίοτε καὶ προσάγοντες ἀλλήλοις φυσῶσιν. ἐκ
μικρῶν γὰρ συνιόντων ὥσπερ ναματίων καὶ ἡ φλὸξ
γίνεται. διὸ καὶ τὰ πυρεῖα τῇ τρίψει τὸ αὐτὸ τοῦτο
ποιεῖ. καὶ τοῖς ξύλοις ὑπεκκαύματα λεπτὰ λαμβάνον-
τες φυσῶσι [τοὺς ἄνθρακας]. καὶ αὐτὸς δὲ ὁ ἄνθραξ
φυσώμενος μᾶλλον καὶ θᾶττον ἐκκάεται καθάπερ ἐν
τοῖς χαλκείοις.*

Cap. IV. *Τοῦτο μὲν οὖν οὐκ ἂν ἀλόγως δόξειε* 30
*συνεργεῖν πνεύματι πνεῦμα, καὶ γὰρ τὸ πῦρ οἷον
πνεύματός τις φύσις. ἐπεὶ δὲ πλείω καὶ ἀεὶ διαφέ-
ροντα τὰ καυστὰ καὶ πυρωτὰ διὰ τοῦτο καὶ αἱ δυνά-
μεις αὐτῶν διάφοροι καὶ οὐχ ἅπερ θάτερον δύναται
καὶ θάτερον ποιεῖν, οἷον ὁ ἄνθραξ φωτίζειν ὥσπερ ἡ
φλὸξ, οὐδ' αὕτη καὶ ὁ λύχνος ὁμοίως οὐδ' ὡσαύτως
ἡ τῶν χλωρῶν καὶ αὔων· ἀλλ' ὅσῳ δὴ καθαρωτέρα
τοσούτῳ μᾶλλον, οὐκ ἔχουσα γεῶδες οὐδὲ ὑδατῶδες
οὐδὲν αὐτῇ τὸ ἀντιφράττον, ἐξ ὧν ὁ καπνὸς καὶ ἡ
ἀναθυμίασις. διὰ τοῦτο γὰρ καὶ ἡ τῶν χλωρῶν ἐρυ-* 31
*θροτέρα φλὸξ ἢ τῶν ξηρῶν, ὅτι πλεῖον ἔχει τὸ τοιοῦ-
τον δι' οὗ διαφορουμένη λαμβάνει τὴν χρόαν, ὥσπερ
καὶ ὁ ἥλιος ὅταν ᾖ παχὺς ὁ ἀήρ. ὁ δ' ἄνθραξ οὐδὲ
ποιεῖ φλόγα πλὴν ὀλίγην διὰ τὸ μὴ ἔχειν τὴν ἐξαε-
ρουμένην πολλὴν ὑγρότητα· πυρουμένη γὰρ αὕτη φλόξ.
οὔσης δὲ τῆς εἰρημένης ἀνωμαλίας εὔλογον ἤδη καὶ* 32

Digitized by Google

τὸ θερμαίνειν ἔνια μᾶλλον καὶ θᾶττον τὰ ἧττον θερμά, καθάπερ ἡ τοῦ καλάμου φλὸξ καὶ τὸ ὕδωρ καὶ τοὺς ἀνθρώπους τῆς ἀπὸ τῶν ξύλων· καίτοι θερμότατόν γε πῦρ ὅλως τὸ ἀπὸ τῶν στερεωτάτων, ὁ δ' ἄνθραξ ἥκιστα θερμαίνει στερεώτατος ὤν. καὶ τὴν μὲν τοῦ ἡλίου θερμότητα μελαίνειν τὰ σώματα τὴν δὲ τοῦ πυρὸς μή.
33 πάντων δὲ τούτων καὶ τῶν τοιούτων αἰτιάσαιτ' ἄν τις τὴν λεπτότητα καὶ παχύτητα· θερμαίνει τε γὰρ τὴν σάρκα καὶ τὸ ὕδωρ ἡ τῶν καλάμων τάχιστα διὰ τὴν λεπτότητα καὶ πυκνότητα. λεπτὴ μὲν γὰρ ὅτι κοῦφος, πυκνὴ δὲ ὅτι συνεχής. τὸ δὲ λεπτὸν διαδυτικὸν καὶ τὸ θερμαίνεσθαι διὰ τὴν συναφὴν καὶ κατάμιξιν· ἥ τε φλὸξ ὅλως τῶν ἀνθράκων μᾶλλον διαδυτικὴ καὶ
34 ἅμα πλείων ἡ ἀπορροὴ καὶ ἀθροωτέρα. τὸ δὲ ὅλον οὐ διὰ τῶν αὐτῶν ἴσως ἑκάτερον θερμαντικὸν, εἰ δὲ μή, οὐχ ὡσαύτως γε ἔχον οὐδ' ὁμοίως ἑκάτερον, ἀλλ' ἄνθραξ μὲν ὁ στερεώτατος, φλὸξ δὲ ἡ λεπτοτάτη καὶ πυκνοτάτη. θερμαίνει μὲν οὖν ἡ φλὸξ διὰ ταῦτά μᾶλλον ἔνια, κατακαίει δὲ πάλιν οὐχ ὁμοίως ὅτι λεπτοτέρα καὶ ἀσθενεστέρα· τὸ γὰρ ἐν τῷ γεώδει καὶ στερεῷ πῦρ θερμότατον, οὐκ ἀπορρέον ὁμοίως ἀλλ' ἀποστεγόμενον, ἀπό τε θερμότητος ἔχον τὸ καυστικόν.
35 σώματα δὲ στερεὰ καυστικώτερα διὰ σκληρότητα πυρωθέντα, καθάπερ σίδηρος, χαλκὸς, λίθος, ὄστρακον ἃ τῇ φύσει σχεδὸν ψυχρότατα, στέγει γὰρ ἐν αὐτοῖς μάλιστα καὶ τηρεῖ τὸ θερμὸν, ὥστ' εὐλόγως καυστικώτατα τῆς σαρκός. ἅμα δὲ καὶ ἡ τῆς φλογὸς φορὰ ποιεῖ τινὰ παραλλαγὴν, διὸ καὶ οἱ κινοῦντες ἐν τῇ φλογὶ τὰς χεῖρας ὀξέως οὐ καίονται· θάττων γὰρ ἡ κίνησις τῆς χειρὸς οὖσα καὶ ἅμα μεταλλάττουσα τὰ μέρη κωλύει τὴν κατάκαυσιν· οὐ γὰρ καίει εἰ μὴ ἐπι-
36 μένει τῷ αὐτῷ χρόνον. διὰ τοῦτο καὶ οἱ ἐν τῷ ἡλίῳ

Digitized by Google

βαδίζοντες ἧττον καίονται τῶν καθημένων καὶ οἱ τρέχοντες ἔτι τούτων. ἅμα δὲ ἴσως τούτοις γε καὶ ἡ ἀπὸ τῆς κινήσεως τοῦ ἀέρος γινομένη (ῥίπισις) ποιεῖ τινὰ κατάψυξιν. ἔχει δὲ καὶ πρὸς τὰς τήξεις καὶ πρὸς τὰς ἑψήσεις καὶ τὰ ἄλλα τοιαῦτα μεγάλας ἕκαστα (πρὸς) τὰ ὑποκείμενα διαφοράς, οἷον ὅσῳ μαλακωτέρας θερμότητος ἢ μὴ σκληρᾶς, ἢ πάλιν ὅσῳ καὶ σφοδροτέρας καὶ ἀθροωτέρας· ἀπὸ μὲν γὰρ τῶν μαλακῶν καὶ μανῶν μαλακώτερον τὸ θερμὸν ἀπὸ δὲ τῶν σκληρῶν καὶ πυκνῶν σφοδρότερον. διὸ καὶ οἱ ἰατροὶ τοὺς ἥλους 37
καίουσι τῷ ἀχύρῳ· μαλακωτάτη γὰρ ἡ ἀπὸ τούτου θερμότης. ὁμοίως δὲ καὶ ἐν ταῖς πυριάσεσι καὶ τοῖς ἀλείμμασιν· ἀπὸ τοιούτων γὰρ ζητοῦσι τὰς θερμότητας. σχεδὸν δὲ καὶ αἱ ἄλλαι τέχναι κατὰ λόγον. αἷς μὲν οὖν ὥσπερ μάλαξις ἢ τῆξις ἢ καὶ διάλυσίς τις κατὰ μικρὸν, τὴν λεπτὴν διώκουσι καὶ μαλακήν. αἷς δ' ὥσπερ βιαιοτέρα τις χρῆσις ὥσπερ τῇ χαλκευτικῇ τὴν σφοδροτάτην. διὸ καὶ τοὺς ἄνθρακας τοὺς γεωδεστάτους καὶ πυκνοτάτους λαμβάνουσι, καὶ ἐνίους γε στιπτοὺς ποιοῦσιν ἕνεκα τῆς ἰσχύος, καὶ ἔτι ταῖς φύσαις χρῶνται· σφοδροτέρα γὰρ οὕτως ἡ θερμότης καὶ ἀθροωτέρα συνεκκαίοντος τοῦ πνεύματος. ἐν τούτῳ δ' οὖν τῷ 38
γένει καὶ ἐκεῖνο τὸ ἀπορούμενον ὅτι ὁ μὲν ἥλιος μελαίνει τὴν σάρκα, τὸ δὲ πῦρ οὔ. συμβαίνει γὰρ τὴν μὲν τοῦ ἡλίου θερμότητα λεπτὴν οὖσαν καὶ μαλακὴν εἰσάγεσθαι κατὰ μικρὸν εἰς τοὺς πόρους καὶ ὥσπερ ἀναθυμιᾶν καὶ ἐπικαίειν τὰ ἐπιπολῆς, διὸ καὶ ἄλυπος ὥστε ὑπομένειν· τὴν δὲ τοῦ πυρὸς παχυτέραν καὶ σφοδροτέραν οὖσαν διαθερμαίνουσαν μᾶλλον παραχρῆμα μὲν ἀνιόντος τοῦ αἵματος ποιεῖν εὔχροιαν, ὕστερον δ' οὐ διαμένειν· οὐ μὴν ἀλλ' ἐάν τις τούτῳ σφοδρότερον χρήσηται καὶ κατακαύσῃ μελαίνει· μέλανα γὰρ τὰ

Digitized by Google

39 πυρίκαυστα καὶ ὅλως τὰ κατακαιόμενα. διὸ καὶ αἱ
φλυκτίδες ἔχουσιν ἐνιαχοῦ τοιαύτην τινὰ χρόαν ὥσπερ
ἀποσβεννυμένου τοῦ πυρὸς καθάπερ ἐν τοῖς ἄνθρα-
ξιν· οὐδὲν γὰρ μέλαν ἄνευ ὑγρότητος, ἀλλ' ὅταν ἐκ-
καυθῇ πάντα λευκὰ καὶ τεφρώδη καθάπερ καὶ τὰ ὀστᾶ.
τὸ δ' ἐπὶ τοῦ κεράμου λεγόμενον, ὅτι μελαίνει τὸ πῦρ
τὴν σάρκα μὴ μελαῖνον, ἢ οὐκ ἀληθὲς ἢ οὐχ ὅμοιον.
μίξει γάρ τινι μελαίνει τὴν ἄσβολον καὶ τὸν καπνὸν
ἀναφέρον τὸν κέραμον ὥσπερ καὶ τὰ ξύλα καὶ τοὺς
τοίχους· ἐπεὶ καὶ τοὺς ἄνθρακας τρόπον τινὰ παρα-
πλησίως. ἐγκαταδύεται γὰρ ὁ καπνὸς ἀναφέρων πολὺ
γεῶδες· ἅμα δὲ καὶ ἡ ὑγρότης οὐ πᾶσα ἐκκαίεται διὰ
τὸ μὴ ἰοῦσθαι. καὶ διὰ τοῦτο βαρύτεροι τῶν ἄλλων εἰ-
σίν· ἀναφερομένης γὰρ τῆς τοιαύτης ἀναθυμιάσεως
ἕλκεται τῇ πνοῇ καὶ εἰσδύεται πόρρω. διὸ καὶ βαρύ-
νει τὰς κεφαλὰς καὶ ὅλα τὰ σώματα. τούτων μὲν οὖν
ταύτας τὰς αἰτίας ὑποληπτέον.

40 Cap. V. Ἐὰν δὲ ὅλως ἐν ἑτερογενέσι τεθῇ τὸ θερ-
μὸν οἷον ὑγρῷ καὶ ξηρῷ πλείων ἔτι γίνεται διαφορά·
πολλὰ γὰρ οὐ δύναται ποιεῖν ἑκάτερον ὧν θάτερον οὐκ
ἀσθενέστερον ἔχειν δοκοῦν τὸ θερμόν· οἷον τὸ ὕδωρ
ζέον θερμότερον ὂν κατὰ τὴν ἁφὴν οὐχ ἧττον τῆς φλο-
γὸς οὐ τήκει ταχύ· καὶ πάλιν τὸ πῦρ οὐ δύναται κατὰ
μικρὸν ἐξάγειν τὸ ὑγρὸν οὐδὲ συνιέναι καὶ παχύνειν
ἀλλὰ διὰ τὴν ξηρότητα πυκνοὺς τοὺς πόρους δεικνύ-
41 σιν ὥσπερ τὰ ᾠά. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐάν τι ἄλλο
δέῃ μαλακῇ θερμότητι πέττειν ἢ παχύνειν, ἡ δ' ὑγρό-
της μαλάττει μιγνυμένη. διὰ τοῦτο καὶ ὅταν περίξη-
ρος ὁ ἀὴρ ᾖ, ἐκκαίει τὰ ὀπωριαῖα· καὶ ὅπου φύσει
τοιοῦτος ἀεὶ τοῦτο συμβαίνει πλέον, ἐὰν μὴ τὸ ἔδα-
φος βοηθῇ διαρρέον καὶ τὴν ἰκμάδα παρέχον ἢ δρόσοι
πίπτωσιν· οὕτως ἅμα τροφήν τε λαμβάνουσι καὶ πέψιν.

Digitized by Google

εἰς μὲν οὖν τὰ τοιαῦτα χρήσιμον [πλὴν] ἐν ὑγρότητι 42
καὶ μεθ' ὑγρότητος τὸ θερμὸν, εἰς δὲ τὰς τήξεις τὸ
ὑγρὸν ἀχρεῖον. αἴτιον δὲ ὅτι τὸ τηκτὸν ὕδατος ὂν φύ-
σει ξηρᾶς δεῖται θερμότητος εἰς τὴν διάλυσιν· τὸ γὰρ
ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές. ἅμα δὲ καὶ ἡ ἀσυμμε-
τρία τῶν πόρων ἐναντιοῦται πρὸς τὸ μὴ δέξασθαι·
μεγαλομερὲς γάρ. οὐχ οἷόν τε δὲ ἄνευ τοῦ ὑγροῦ χω-
ρισθὲν εἰσιέναι τὸ θερμόν· ἔτι δὲ ἀσθενέστερον ὥστε
διοῖξαι τοὺς πόρους πυκνῶν καὶ συνεχῶν ὄντων τῶν
ἔξωθεν. διὰ δὴ τοῦθ' ἡ ξηρὰ θερμότης ἁρμόττει πρὸς
τὰς τήξεις καὶ αὐτὴ λαμβάνουσά τινα συμμετρίαν· εἰ
γὰρ πλείων ἐκκαίει· τὰ δὲ καὶ ὅλως κατακαίει πρὶν
εἰς διάλυσιν ἀγαγεῖν. ἔνια δὲ τοιαύτης δεῖ θερμότη- 43
τος ἢ ἐν λεπτοτέρῳ γίνεται τοῦ ὕδατος ὥσπερ τὰ λίνα
καὶ οἱ στήμονες οἱ ἑψόμενοι· τῷ γὰρ ἀτμῷ ταῦτα δια-
θερμαινόμενα λαμβάνει τὴν ἕψησιν ἐγκαταμιγνυμένης
ἅμα τῆς ἰκμάδος, ὃ καὶ χρήσιμον πρὸς τὴν ἰσχύν. ἔνια
δὲ καὶ τῶν βρωτῶν οὕτως ἕψεται διαφεύγειν βουλο-
μένων τὸ ὑγρὸν, ὅθεν οὐ κακῶς κεῖται τοὔνομα τὸ
πνίγειν. ἐγκατακλείουσι γὰρ περιπωματίζοντες καὶ
περιπλάττοντες τὸν ἀτμόν, ὥστε τρίτη τις ἀπόστασις
ἀπὸ τοῦ πρώτου αὕτη καὶ γένεσις τὸ μὲν γὰρ ὑγρὸν
ἀπὸ τοῦ ξηροῦ γίνεται θερμὸν, τοῦτο δὲ ἀπὸ τοῦ
ὑγροῦ· πλὴν ἐκεῖνο μὲν μιγνυμένου πως τοῦ πυρὸς
τοῦτο δὲ ἰδίᾳ ἐκκρινομένου καὶ ἀπιόντος.

Cap. VI. Ἡ δὲ τοῖς ἐμψύχοις σώμασιν ἐνυπάρ- 44
χουσα θερμότης πλείοσι μιγνυμένη καὶ τρόπον ἰδιώ-
τερον οἱονεὶ ζῶσα καὶ γόνιμος ἤδη γίνεται τῶν ὁμοίων.
ἔτι δὲ προτέρα ταύτης ἡ ἀπὸ τοῦ ἡλίου. καὶ γὰρ αὕτη
γόνιμος καὶ ζώων καὶ φυτῶν, οὐκ ἄμικτος μὲν οὖσα
τῷ ἀέρι μᾶλλον δ' ἐν αὐτῷ τούτῳ γινομένη, συμμε-
τρίαν δέ τιν' ἔχουσα τῇ μαλακότητι καὶ λεπτότητι πρὸς

Digitized by Google

τὸ γεννᾷν οὐχ ὥσπερ ἡ τοῦ πυρὸς σκληρὰ καὶ περικαής. διὸ καὶ τὰ σπέρματα πυρωθέντα μὲν ἀβλαστεῖ, θερμαινόμενα δ᾽ ὑπὸ τοῦ ἡλίου καθ᾽ ὑπερβολὴν — ἐνίοτε γάρ φασι περὶ Βαβυλῶνα καὶ ἔτι τοὺς θερμοτέρους τόπους καὶ πηδᾷν ἐπὶ τῆς ἅλω καθάπερ τὰ φρυγόμενα — γεννᾷ καὶ βλαστάνει. τὸ μὲν οὖν πῦρ ἢ τὸ θερμὸν τηλικαύτας καὶ τοιαύτας ἔχει διαφορὰς καὶ
45 καθ᾽ αὑτὸ καὶ μετ᾽ ἄλλων καὶ ἐν ἄλλοις μιγνύμενον. ἐκ ταύτης δέ πως τῆς αἰτίας καὶ ἐκεῖνο λύεται τὸ ἀπόρημα διὰ τί ποτε ἡ μὲν κοιλία τήκει τὰ νομίσματα τὸ δὲ ὕδωρ ζέον θερμότερον ὂν οὐ τήκει· καὶ γὰρ ὅλως τὸ ὑγρὸν ὥσπερ ἐλέχθη κωλυτικὸν τήξεως, καὶ ἅμα διὰ τὴν μαλακότητα καὶ μεγαλομέρειαν οὐ δύναται τέμνειν οὐδὲ διοίγειν τοὺς πόρους. ἡ δ᾽ ἐν τῇ κοιλίᾳ θερμότης ξηροτέρα καὶ γεωδεστέρα διακρινομένου καὶ ὑπο-
46 νοστοῦντος ἀεὶ τοῦ ὑγροῦ πρὸς τὴν κύστιν. καὶ πάλιν διὰ τί τῶν μὲν ἐν τῷ πυρὶ κατακαιομένων ξηρὸν γίνεται τὸ λείψανον, ὁ δ᾽ ἐν * κύκλῳ λίθος ἐξ οὗ τὰς σοροὺς ποιοῦσι καὶ ὅπου ἄλλοθι τοιοῦτος, ἀφανίζει πάντα καὶ ἐν ἑαυτῷ τέφραν ποιεῖ. διαφέρει γὰρ καὶ ἐνταῦθ᾽ ἡ θερμότης· ὅτι μὲν γὰρ ὁ λίθος ἐργάζεται τῇ θερμότητι καὶ τῇ φύσει θερμὸς ὢν σημεῖον τὸ γίνεσθαι κονίαν ἐξ αὐτοῦ. τοῦ δὲ θερμοτέρου ἐστὶ τὸ διαιρεῖν τε ταχὺ καὶ εἰς λεπτά· ταχὺ μὲν γὰρ τὸ θερμότερον καὶ κινητικώτερον οἷον ἡ φλόξ, εἰς δὲ μικρὰ τὸ λεπτομερέστερον διὰ τὸ πάντη διαδύεσθαι. τοιοῦ-
47 τον δὲ τὸ ἐν τῷ λίθῳ θερμόν. ἐπεὶ ποιεῖ γε τοῦτο καὶ ὁ ἀὴρ ὁ ἐγκατακλειόμενος ἐν ταῖς θήκαις καὶ διαλύει πάντ᾽ εἰς τέφραν ἀλλὰ χρονιώτερος θερμανθείς. ἡ δ᾽ ἐν τῷ λίθῳ θερμότης τῆς μὲν τοῦ πυρὸς ἀσθενεστέρα λεπτοτέρα δὲ, τῆς δὲ τοῦ ἀέρος τοῦ συγκατακλειομένου θερμοτέρα λεπτὴ δὲ ἧττον· ὥστε τοῦ μὲν

Digitized by Google

θᾶττον τοῦ δὲ εἰς λεπτότερα διαιρεῖν χρονιώτερον.
ἐπεὶ δὲ τὸ σωματωδέστερον καὶ πυκνότερον πυρωθὲν 48
θερμότερον, διὰ τοῦθ' ὅπου παχὺς καὶ θολερώτατος ὁ
ἀὴρ, πάγοι καὶ καύματα μᾶλλον, ὥστ' ἔνιοι (τόποι)
ψυχρότατοι καὶ καυματωδέστατοι· πυρωθεὶς γὰρ ὁ
ἀὴρ κατέχων ἐν ἑαυτῷ διὰ τὴν παχύτητα τὸ θερμὸν
ἐκπυροῖ τὸν τόπον. ὡς ἐπὶ πολὺ δ' οἱ τοιοῦτοι ἄπνοι·
ἐὰν δὲ καὶ ἐπιπίπτῃ πνεῦμα θερμότατον ἀέρα προσ-
φέρον καίονται. διὰ τὴν αὐτὴν δ' αἰτίαν καὶ τῶν 49
ἑψομένων τὰ παχύτερα θερμότερα καθάπερ τὸ γάλα
καὶ ὅλως τὰ ῥοφήματα τοῦ ὕδατος· καὶ ἐὰν ἐπιβάλῃς
τι ἐπὶ τὸ ὕδωρ θερμαίνεται θᾶττον ἢ ψιλόν· οἷον γὰρ
ἀντιφράττει καὶ κωλύει διατμίζειν ἔξω τὸ θερμὸν ὥσ-
περ τὰ ἐπιπωματιζόμενα, καὶ ἅμα δὴ θερμανθὲν ἀν-
τιθερμαίνει. πᾶν γὰρ ἔχον πυκνότητα δύναται ποιεῖν
τοῦτο διὰ τὸ κατέχειν. ὅλως γὰρ, ὃ πολλάκις λέγεται,
τὸ μὲν λεπτὸν καὶ ῥέον αὐτὸ καὶ μὴ μένον ἔτι δὲ μι-
κρομερὲς οὐχ ὁμοίως καίει· τὸ δ' ἐναντίως ἔχον τούτῳ
διὰ τὸν ἀθροισμὸν καίει μᾶλλον καὶ ἰσχυρότερον γί-
νεται καὶ χρονιώτερον.

Cap. VII. Τῆς δὲ φλογὸς λευκότατον ἀεὶ καὶ κα- 50
θαρώτατον τὸ μέσον, τὸ δὲ κάτω καὶ τὸ ἔσχατον ἐρυ-
θρὰ καὶ μελανοῦντα μᾶλλον. ἐμφαίνεται δὲ τοῦτο μά-
λιστα ἐπὶ τῶν λύχνων ὅτι ἀμιγέστατον τοῦτο τῇ ἀνα-
θυμιάσει· τὸ μὲν γὰρ πρὸς αὐτῇ τῇ μύξῃ καὶ τοῖς λύχ-
νοις ἅτε ἐπὶ τοῦτο φερομένης τῆς ἀναθυμιάσεως εὐ-
λόγως μελαίνει μᾶλλον· εἰς δὲ τὸ ἄκρον οἷον συρροὴ
γίνεται καταλήγοντος ἤδη καὶ ἅμα προσεπιλαμβάνον-
τος τοῦ ἀέρος· ἄνω γὰρ ἡ ἰσχὺς πᾶσα καὶ ἡ φορὰ τῆς
φλογός, διὸ καὶ ὁ καπνὸς ταύτῃ μάλιστα φέρεται. τάχα 51
δὲ κἀκεῖνο οὐ κακῶς εἰ μὴ ἄρα ἀληθέστερον ὡς οὔτε
ᾗ γίνεται οὔπω ἐστὶν, οὔτε ᾗ φθείρεται ὅμοιον ἔτι·

Digitized by Google

κάτωθεν μὲν γὰρ γίνεται ἄνωθεν δὲ φθείρεται ὑπὸ τοῦ ἀέρος, τὸ δὲ μέσον οἷον καθαρὸν καὶ εἰλικρινές. διὸ καὶ ταύτῃ μὲν διορᾶται τὰ δ' ἄνω κωλύει διά τε
52 τὸ εἰς ὀξὺ συννεύειν καὶ διὰ τὴν κίνησιν. ἀπορεῖται δὲ τοῦτο διὰ τί τὸ τῆς φλογὸς σχῆμα πυραμοειδές ἐστι. καί φησι Δημόκριτος μὲν περιψυχομένων μὲν αὐτοῦ τῶν ἄκρων εἰς μικρὸν συνάγεσθαι καὶ τέλος ἀποξύνεσθαι. ἕτεροι δέ τινες τῶν παλαιῶν ὑπὸ τῆς τοῦ προσπίπτοντος [ἀέρος καὶ] πνεύματος κινήσεως περισχίζεσθαι — τό τε γὰρ ἐπάνω τῆς φλογὸς ἀσθενέστερον εἶναι καὶ ἐν πλείστῃ κινήσει — ἀλλ' οὐ περιψύξει [καὶ διὰ τὴν τοῦ προσπίπτοντος πνεύματος κίνησιν.]· εἰ γὰρ τῷ περιψύχειν, τοῖς κάτω δεῖν ὡσαύτως γίνεσθαι· οἱ δ' οὐδ' ἕτερον τούτων, εἰ δὲ, μᾶλλον ὑπὸ
53 τῆς κινήσεως ἢ περιψύξεως ἀποξύνεσθαι. γελοία δὲ ὅλως καὶ τούτοις ἡ τοῦ προσπίπτοντος ἀέρος κίνησις· ὑφ' αὐτοῦ γὰρ κινεῖται τὸ πῦρ καὶ μᾶλλον κινεῖ τὸν ἀέρα ἢ ὑπ' ἐκείνου κινεῖται τῷ ὠθεῖν· ἐπεὶ καὶ εὐδίας οὔσης οὐδὲν ἧττον ἡ ὀξύτης τῆς φλογός. ἔτι δὲ ἄτοπος ὁ περισυρμὸς ὥσπερ κούφων τινῶν καὶ ἐπιπολαίων ἐπόντων. χρὴ γὰρ τοῦτο πανταχόθεν ὁμοίως συμβαίνειν καὶ πνεύματος ὄντος μείζονος μᾶλλον. νῦν δ' ἐν ταῖς ἀπνοίαις ἀποκορυφοῦται μάλιστα ἡ φλὸξ ἅτε καὶ οὐ κωλυομένη τῷ πνεύματι ὅπερ διακωλύει τὴν ἐπ'
54 ὀρθὸν φορὰν ἀλλὰ περικλᾷ καὶ μεταρρίπτει. τοῦτο μὲν οὖν πρὸς τῷ μὴ ἀληθὲς οὐδ' ἄγαν συνετόν. εἰ δ' ἐν φορᾷ τινὶ καὶ ῥύσει τὸ πῦρ, ἀεὶ δὲ τῶν ῥεόντων εἰς ἔλαττον ἡ ἀποτελεύτησις μὴ γινομένης ἄλλοθεν ἐπιρροῆς, ἀναγκαῖον εἰς τὸν πλείω τόπον διατεινόμενον καὶ τὸ συνεχὲς διατηροῦν ἀποστενοῦσθαι μᾶλλον. ὥστε τοῦτο ἂν εἴη καὶ τῆς φλογὸς αἴτιον εἰς τὸν σχηματισμόν· ἡ γὰρ ἀρχὴ κάτωθεν ἰσχυροτάτη καὶ πλείστη,

Digitized by Google

μετὰ δὲ ταῦτα ἐλάττων ἀεὶ καὶ ἀπολήγουσα ἀσθενε-
στέρα διασώζουσα δὲ τὸ συνεχές. ὃ δῆλον ἐπὶ τῶν 55
ὑδάτων γίνεται ἃ φθίνοι ἂν εἰ μὴ παρεμπίπτοιεν ἔξω-
θεν ἕτερα ῥεῖθρα. πολλῆς γὰρ οὔσης καὶ ἀθρόας τῆς
πηγῆς τὸ ἐγγύτατον πλεῖστον, εἶτα ἔλαττον ἀεὶ καὶ
ἔλαττον, τελευτῶν·δ' ὑπεκλείπει· ἐὰν δέ που τόπος
ἔγκοιλος ὢν ἢ καὶ ἄλλως ἀνωμαλὴς ἀθροισμὸν ἢ διά-
χυσιν εἰς πλείω ποιήσει. τοῦτο δ' ἐπὶ τοῦ ἀέρος καὶ
τῆς φλογὸς οὐκ ἔστιν· ὁ μὲν γὰρ ὅμαλος, ἡ δὲ φλὸξ
καθ' αὑτὴν φέρεται ἀλλ' οὐ διὰ τὴν τῶν τόπων ἔγκλι-
σιν. ὅμοιον δὲ καὶ οὐχ ἧττον ἴσως οἰκεῖον τὸ ἐπὶ τῶν 56
φυτῶν· καὶ γὰρ τούτων ἡ αὔξησις εἰς λεπτὸν ἀνήκει
καὶ εἰς ὀξὺ τῇ τοῦ θερμοῦ φορᾷ γινομένη μέχρις ὅταν
ἀρχὰς ἑτέρας ἐν αὐτοῖς λαβόντα ποιήσηται τὴν τῶν
ὄζων καὶ κλάδων ἔκφυσιν. εἰ δ' ἄρα καὶ τὸ περιέχον
κωλύει τι καὶ ἀφαιρεῖται καθάπερ εἰκὸς, οὐχ ᾗ κινού-
μενον ἀλλ' ᾗ ψυχρὸν τοῦτο δρᾷ. πλεῖον δ' ἀφαιρεῖ-
ται καὶ μᾶλλον ἐνισχύει δηλονότι τοῦ ἀσθενεστέρου
καὶ πορρωτέρω διατεινομένου. καὶ περὶ μὲν τοῦ σχή-
ματος ἱκανῶς εἴρηται.

CAP. VIII. Φθοραὶ δὲ γίνονται πλείους τοῦ πυ- 57
ρός: πειρατέον δ' εἰς ἑκάστην τούτων ἀνάγειν κατὰ
μέρος οἷον καὶ τὰ τοιάδε. διὰ τί (τὰ) τὴν σάρκα καί-
οντα τὴν κοιλίαν οὐ καίει οὐδὲ τὰ στόματα ὁμοίως;
διὰ τί δὲ τοὺς λύχνους τινὲς εἰς τὰ στόματα λαμβά-
νοντες ἀποσβεννύοντες οὐ καίονται; διὰ τί δὲ τοὺς
διαπύρους ὀβελίσκους σφοδροτέρως πιέσαντες ἧττον
[οὐ] καίονται; διὸ καὶ οἱ διὰ τοῦ πυρὸς βαδίζοντες
πρὸς τοῖς ἄλλοις οἷς παρασκευάζονται καὶ τοῦτό φασι
δρᾷν· καὶ διὰ τί τὰ κατακαύματα τῷ θερμῷ καθίστα-
ται καὶ κωλύει φλυκταίνας αἴρεσθαι; πάντα γὰρ ταῦτα 58
καὶ εἴ τι τούτοις ὅμοιον εἰς ἐκείνας πίπτει τὰς αἰτίας,

Digitized by Google

εἴς τε τὴν τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος φθείρεσθαι
καὶ μαραίνεσθαι κὰὶ εἰς τὸ συνθλίβειν τε καὶ καταμα-
ραίνειν τὴν ἀρχήν. τοῦτο γὰρ ποιεῖ καὶ τὰ στόματα
καὶ ἡ κοιλία καὶ ἡ πίεσις· οὐκ ἐᾷ γὰρ ἀπορρεῖν, μὴ
ἀπορρέον δὲ ἧττον καίει· τούτῳ γὰρ ἡ δύναμις· ἐπεὶ
καὶ θλίβοντες οὗτοι καὶ μεταβάλλοντες τοὺς ἄνθρακας
59 τῇ ἀποπιέσει σβεννύουσιν. αἱ δὲ τῶν ὑγρῶν δυνά-
μεις αἱ σβεστικώτεραι τῷ παρεισδύεσθαι μάλιστα εἰς
τὴν ἀρχὴν ὥσπερ ἐλέχθη περὶ τοῦ ὄξους. ἐὰν δὲ ἅμα
καὶ γλίσχρον τι μιχθῇ μᾶλλον ἔτι· τὸ μὲν γὰρ .διαδὺν
δύναιτ' ἂν διοδοποιεῖν, τὸ δὲ .ὥσπερ ἐπαλείφει καὶ
ἐπιπωματίζει. διά τοι τοῦτο σβεστικώτατον εἶναί φα-
σιν ἐάν τις μίξῃ τὸ ὄξος ᾠοῦ τῷ λευκῷ· τὸ μὲν γὰρ
γλίσχρον τὸ δὲ διαδυτικόν· καὶ πρὸς τὰς ἐμπρήσεις
60 τῶν μηχανωμάτων τοῦτο μάλιστα βοηθεῖν. ἐὰν δὲ ἅμα
τῇ ὑγρότητι τῇ τοιαύτῃ καὶ τὸ ψυχρὸν προσῇ φύσει
καὶ τοῦτο συνεργεῖν εἰς τὴν σβέσιν ὅπερ καὶ περὶ τὴν
σαλαμάνδραν εἶναι· ψυχρὸν γὰρ τῇ φύσει τὸ ζῷον καὶ
ἡ ἀπορρέουσα ὑγρότης γλίσχρα. καὶ ἅμα χυλόν τινα
ἔχουσα τοιοῦτον, ὥστε διικνεῖσθαι πορρωτέρω. ση-
μεῖον δὲ καὶ τὰ ὕδατα ὀλέθρια γίνεσθαι (καὶ) τοὺς
61 καρποὺς ἐὰν καταμιχθῇ, καὶ μᾶλλον τεθνεώσης. ἔτι
δὲ καὶ τὸ νωθὲς τῆς πορείας συνεργεῖ· πλείω γὰρ χρό-
νον ἐπιμένον μᾶλλον σβέννυσιν· ἡ δὲ σβέσις οὐκ ἐὰν
ὁποσονοῦν ᾖ πῦρ, ἀλλ' ἐὰν σύμμετρον πρὸς τὴν φύ-
σιν καὶ τὴν δύναμιν, καὶ εἰς ὃ ἂν μὴ ἐπιχρονίσῃ πά-
λιν ἀναζωπυρεῖται. σύμφωνον δὲ τούτῳ καὶ τὸ τὰ
ἰξούμενα μὴ καίεσθαι, διὸ καὶ ἔνια πρὸς τὸ μὴ πά-
σχειν ἀλείφουσι· ψυχρὸν γὰρ δὴ καὶ γλίσχρον ὁ ἰξός,
ὥστε διὰ τὴν πυκνότητα μὴ δέχεσθαι καὶ διὰ τὸ ψυ-
62 χρὸν σβεννύναι. τούτων μὲν οὖν αὗται αἱ αἰτίαι. τοῦ
δὲ μὴ ἐπαίρεσθαι τὰ κατακαύματα καὶ εἴ τι τοιοῦτον

Digitized by Google

ἕτερον ἡ πλείων θερμότης κρατοῦσα τῆς ἐλάττονος
καὶ ἀναξηραίνουσα τὴν γινομένην σύντηξιν ἀφ' ἧς αἱ
φλύκταιναι ὥσπερ ἐλέχθη καὶ καταμαραίνουσα καὶ συμ-
φρύγουσα τὴν ἀρχήν. καὶ τὰς μὲν καθ' ἕκαστα σβέ-
σεις ἐκ τούτων θεωρητέον.

Cap. IX. Διὰ τί δ' ἐκ μὲν ξύλων γίνεται πυρεῖα 63
καίπερ οὐκ ἐκπηδῶντος πυρὸς, ἐκ δὲ λίθων ἐκπηδῶν-
τος ἧττον γίνεται; τοῦτο δὲ οὐκ ἔστιν ἀληθὲς, ἐκ πολ-
λῶν γὰρ γίνεται μᾶλλον καὶ θᾶττον. οὐ μὴν ἀλλ' εἴ-
περ, ἐκείνην ὑποληπτέον τὴν αἰτίαν ὅτι τὸ μὲν ξύλον
εὐθὺς ὑπεκκαῖον ἔχει συγγενῶν ἐνόντων τῷ πυρί· κἂν
μὴ παρῇ τοιοῦτον, θᾶττον πυροῦται δι' ἀσθένειαν· ὁ
δὲ λίθος (οὐκ) ἔχει κατάξηρος ὤν. διὸ καὶ τῷ ἐκπη-
δῶντι εὐθὺς πεπυρωμένον προσάγουσιν. ἅπτεται δὲ 64
βέλτιον ἐν βορείοις ἢ νοτίοις τὰ πυρεῖα διότι ξηρότερα
ὄντα θᾶττον καὶ δι' ἐλάττονος τρίψεως ἐκθερμαίνεται.
διὰ τοῦτο γὰρ οὐδ' ἐκ τῶν τυχόντων ξύλων ἀλλ' ἐξ
ὡρισμένων τινῶν γίνεται· δεῖ γὰρ ἔχειν τινὰ συμμε-
τρίαν. ἄριστα δὲ οἱ μὲν ἐκ κιττοῦ φασίν, οἱ δ' ἐκ τῆς
καλουμένης ἀθραγένης τὴν ἐσχάραν τὸ δὲ τρύπανον
δάφνης· οὐ γὰρ ἐκ τοῦ αὐτοῦ ποιοῦν καὶ πάσχον ἀλλ'
ἕτερον εὐθὺς κατὰ φύσιν. ἀγαθὰ δὲ καὶ ἐκ ῥάμνου
καὶ μᾶλλον εἰς τὴν ἐσχάραν· πρὸς δὲ τῷ ξηρὰν καὶ
ἄχυμον εἶναι καὶ μανότητά τινα ἔχει, δεῖ δὲ τοῦθ'
ὑπάρχειν ἵν' ἡ τρίψις ἰσχύῃ· τὸ δὲ τρύπανον ἀπαθέστε-
ρον εἶναι, διὸ τῆς δάφνης ἄριστον· ἅμα γὰρ ἀπαθὲς ὂν
ἐργάζεται τῇ δριμύτητι.

Cap. X. Ἐπεὶ δὲ ἄνευ ὑγρότητος ἢ ἀναθυμιά- 65
σεώς τινος οὐκ ἔστι θερμότης διὰ τοῦθ' ἡ κονία καίει
μᾶλλον ἢ καὶ ἁπλῶς ὕδατος ἐπιχεομένου· ἔστι γὰρ ὕλη
τῷ ἐγκαταλελειμμένῳ πυρὶ ὥσπερ ἐλλύχνιον· καὶ οὐθ'
ἡ παλαιὰ σφόδρα οὔθ' ἡ λεία ἀλλ' ἡ ἀρτίκαυστος καὶ

Digitized by Google

βωλοειδής· τῆς μὲν γὰρ ὁ χρόνος ἐξήρηται διὰ τὴν ἀναπνοήν, ἡ δὲ μικρομερὴς ἄγαν ὀλίγον ἔχει· μικρὸν
66 δὲ ὂν τὸ πῦρ ἀσθενές. ἔοικε δὲ καὶ τὸ περὶ τὴν γύψον τὴν φοινικικὴν τοιοῦτον εἶναι· φασὶ γὰρ κεκαυμένην κἀναφυρωμένην καίειν. οὐδὲν γὰρ διαφέρει σύμφυτον καὶ ἐπακτὸν ἔξωθεν ἔχειν τὸ θερμόν. ἐμφαίνει δέ πως καὶ τὸ νίτρον τὸ κεκαυμένον ἐν τῷ ὀρύττεσθαι τὴν τοιαύτην δύναμιν· ὅταν γὰρ ὕδωρ μικρὸν ἐπιχυθῇ διαθερμαίνει καὶ αἴσθησιν ἐμποιεῖ κατὰ τὴν ἁφήν. ἀεὶ δὲ δεῖ συμμετρίας τινὸς εἰς
67 ἅπαντα τὰ τοιαῦτα πρὸς τὸ κρατεῖσθαι. διὰ τοῦτο γὰρ καὶ ὁ οἶνος ὁ χεόμενος ἐπὶ τὴν φλόγα καθάπερ τοῖς σπένδουσιν ἐκλάμπει, καὶ ἡ θάλαττα ὅταν ἀποσβεννύωσιν, ἐὰν δ' ἔλαττον ᾖ καὶ τὸ ὕδωρ· συστελλόμενον γὰρ καὶ ἀθροισθὲν ἰσχυρότερον. ἐν δὲ τῇ πίττῃ τῇ καιομένῃ μᾶλλον ὅτι σφοδροτέρα καὶ πλείων ἡ φλὸξ ὥστε καὶ ἐκπηδᾷν καὶ κατακαίειν τὰς οἰκίας· διακρίνεται γὰρ τὸ ἔμπιπτον κρατηθὲν καὶ ἐκφλογοῦται.

68 Cap. XI. Ψόφος δὲ γίνεται πυρουμένου διὰ τὸ μάχεσθαι τὸ θερμὸν καὶ τὸ ὑγρόν, ὅπερ συμβαίνει κατὰ τὴν σβέσιν· ἀὴρ γάρ τις ὁ ψοφῶν κατὰ τὴν ἐναπόληψιν καὶ ἐνταῦθα καὶ ἐκεῖ. ταῦτα δὲ καὶ ἐπὶ τῶν λύχνων ἐστὶν ὁρᾷν ὅταν ὕδωρ ἔχῃ τὸ ἔλαιον· τὸ γὰρ ὕδωρ σβέννυσι. καὶ τὰ φύλλα δὲ τὰ τῆς δάφνης καὶ τοῦ κιττοῦ καὶ τὰ ἄλλα τὰ τοιαῦτα πηδᾷ διὰ πυκνότητα καὶ διὰ τὸ ἔχειν πολὺ τὸ ὑγρόν· ἐξαεροῦται γὰρ πολὺ καὶ οὐ δίεισι τῇ πυκνότητι, διὸ καὶ ὁ ψόφος.
69 ὡσαύτως δὲ καὶ τὰ ξύλα κάόμενα τὰ μὲν ῥήγνυται καὶ πηδᾷ τὰ δὲ συνεχῆ ποιεῖ τινὰ ψόφον. καλοῦσι δὲ οἱ μὲν γελᾷν τὸν Ἥφαιστον οἱ δ' ἀπειλεῖν· ἀεὶ γὰρ καὶ ἐνταῦθα διαιρουμένου τοῦ ὑγροῦ καὶ ἀθρόου φερομένου μετὰ βίας ὁτὲ μὲν ῥῆξις γίνεται καὶ πήδησις, ὁτὲ

Digitized by Google

δὲ συνεχὴς ψόφος καὶ φλόγωσις. ὃ καὶ αὐτὸ ποιεῖ τρόπον τινὰ τὸ πῦρ [ὥσπερ] ἐν φρέατι πνεύματος ὄντος ἅτε πυρουμένου.

Cap. XII. Ὁ δὲ καπνὸς ἧττον λυπεῖ ὅταν ἐν τῷ 70
αὐτῷ πῦρ ᾖ. διὸ καὶ οἱ ἐν τοῖς σπηλαίοις πολιορκούμενοι τῷ καπνῷ πῦρ ἐὰν ἔχωσιν οὐδὲν πάσχουσι· σβέννυσι γὰρ τὸ ἐν τῷ καπνῷ θερμὸν τὸ πῦρ. ἐπεὶ πέφυκε τὸ πλεῖον τὸ ἔλαττον μαραίνειν, σβεννυμένου δὲ φθείρεται καὶ ὁ καπνός. διὸ καὶ ὁ ἥλιος ὥσπερ τὸ πῦρ βοηθεῖ πρὸς τὸ μὴ καπνίζεσθαι. τὸν δ' ἐν ἐφικτῷ καὶ προσπίπτοντα ἔκπυροι. διὰ τοῦτο καὶ οἱ ἐγγὺς τοῦ πυρὸς ἧττον ἐνοχλοῦνται· καὶ γὰρ τοῦτο ποιεῖ καὶ ἀναφέρει καὶ ἀνωθεῖ πορρωτέρω. διὰ τὸ αὐτὸ δὲ καὶ τὸ πολὺ 71
πῦρ ἄκαπνον ὅτι φλογοῦται καὶ ἐξισχύεται πολλοῦ πυρὸς ὄντος· ὅταν γὰρ ᾖ πλέον τὸ καιόμενον, ἔλαττον τὸ καπνιζόμενον, ἐξαφθέντος ἢ θυμιωμένου. καὶ ἐπὶ τῶν ξηρῶν ξύλων πυκνῶν συντιθεμένων ἄνωθεν οἱ ἄνθρακες ἐπιβαλλόμενοι ποιοῦσιν ἀκαπνότερον, ὅτι ἐκφλογοῦται πᾶς ὁ καπνὸς ἐμπίπτων εὐθὺς εἰς τὸ πῦρ καὶ τῇ πυκνότητι κατακλειόμενος. δύσκαπνα δὲ τῶν 72
ξύλων τά τε χλωρὰ καὶ τὰ σκολιὰ καὶ τὰ ταινιώδη καθάπερ ὁ φοῖνιξ· εὔϊνον γὰρ δεῖ καὶ εὐδιαίρετον εἶναι τῇ φλογί. διὸ καὶ τὰ ἐσχισμένα τῶν ἀσχίστων εὐκαυστότερα· κωλύει γὰρ ὁ φλοιός. καὶ ἐάν τις κινῇ καὶ μετατιθῇ καιόμενα καπνωδέστερα, ὅτι συμβαίνει τὰ μὲν μεταστραφέντα σβεννύεσθαι τὰ δὲ μὴ καίεσθαι προσπίπτοντος ἄρτι τοῦ πυρὸς ἀλλ' ὅλα καπνίζειν· ἔνια δὲ καὶ τῶν εὐκαύστων περιφλοϊσθέντα πολὺ καυστότερα γίνεται καθάπερ τὰ ἐλάϊνα. διὸ καὶ οὐ πολὺν χρόνον φασὶ δεῖν φυσᾶν ἐὰν μὴ πλῆθος ᾖ ξύλων. ἡ δὲ δριμύτης τοῦ καπνοῦ κατὰ τὴν ὑγρότητα τὴν κάστου, διὸ καὶ ἀπὸ τῶν συκίνων δριμύς· ὁπωδέ-

Digitized by Google

στατον γάρ. ὁ δὲ τῆς δᾳδὸς καὶ πεύκης οὐ δηκτικὸς ὅτι πίων καὶ ἐλαιώδης ὥσπερ ὁ καπνὸς (συκινὸς?) οὐκ ἔχων οὐδὲν τραχὺ καὶ γεῶδες.

73 Cap. XIII. Ὅτι δ᾽ ἀπὸ μὲν τοῦ ἡλίου φῶς ἅπτουσι τῇ ἀνακλάσει ἀπὸ τῶν λείων [τί τὸ ἄπορον] — συμμιγνύουσι δὲ τὸ ὑπέκκαυμα — ἀπὸ δὲ τοῦ πυρὸς οὐχ ἅπτουσι αἴτιον ἥ τε λεπτομέρεια καὶ ὅτι συνεχὲς γίγνεται μᾶλλον ἀνακλώμενον, τὸ δ᾽ ἀδυνατεῖ διὰ τὴν ἀνομοιότητα. ὥστε τὸ μὲν τῷ ἀθροισμῷ καὶ τῇ λεπτότητι διαδυόμενον εἰς τὸ ἔκκαυμα δύναται καίειν τὸ δ᾽ οὐδέτερον ἔχον οὐ δύναται. ἐξάπτεται δὲ ἀπό τε τῆς ὑέλου καὶ ἀπὸ τοῦ χαλκοῦ καὶ τοῦ ἀργύρου τρόπον τινὰ ἐργασθέντων, οὐχ, ὥσπερ Γοργίας φησὶ καὶ ἄλλοι δέ τινες οἴονται, διὰ τὸ ἀπιέναι τὸ πῦρ διὰ τῶν πόρων.

74 οἱ δ᾽ ἐρριγότες κατὰ μικρὸν διαθερμαίνονται καὶ οἱ λουόμενοι χλιαρῷ καταχέονται πρῶτον ὅπως εἰσδυόμενον διαχέῃ. τὸ γὰρ ἄγαν θερμὸν ἀθρόως συνέκλεισε τοὺς πόρους, καὶ τὸ μὲν ἀντιπεριστὰν καὶ συνθλίψαν φρίκην ἐποίησε τὸ δ᾽ ἐκώλυσεν ἐξελθεῖν· ὥστε μὴ πεπαῦσθαι τὸ ῥιγοῦν ἀλλὰ τὸ μὲν περικεκαῦσθαι τὸ δὲ κατέψυχθαι καθάπερ καὶ ἐπὶ τῶν κακῶς ὀπτωμένων· καὶ γὰρ ἐνταῦθα τὸ μὲν ἔξω καίεται τὰ δ᾽ ἐντὸς ὠμὰ πυκνουμένων καὶ οὐ διιέντων τῶν πόρων. διὸ καὶ μαλακότητα καὶ συμμετρίαν τινὰ ζητοῦσι πρὸς τὴν ὄπτησιν καὶ ἐργωδέστερόν φασι τὸ καλῶς ὀπτῆσαι καὶ μᾶλ-
75 λον τέχνης ἢ τὸ ἑψῆσαι. οἱ δ᾽ ἄνθρακες γίνονται μὲν μέλανες ὅτι ἐγκατακέκλεισται ὁ καπνὸς ἐν αὐτοῖς, (ὃς) μέλας ὢν φύσει καθάπερ βάπτει. διὸ μελάντατοι οἱ σκευαστοί· καίουσι γὰρ οὕτως ὥστε ἀποσβέννυσθαι θυμιῶντες καὶ κατὰ μικρὸν διδόντες ἀναπνοήν· ἐὰν γὰρ ἐκφλογωθῇ κατακαίει καὶ διαλλάττει εἰς τέφραν. ὁ δὲ καπνὸς μέλας ὅτι σύγκειται ἐξ ὑγροῦ διαλυομένου

Digitized by Google

εἰς πνεῦμα καὶ γῆν καὶ τοῦ πνεύματος ὄντος μέλανος· ὁ γὰρ ἀὴρ φύσει μέλας. ἕως μὲν οὖν ἂν ἔχωσι πῦρ ἐρυθροὶ φαίνονται· διὰ γὰρ τοῦ μέλανος τὸ λευκὸν φαίνεται φοινικοῦν ὥσπερ ὁ ἥλιος διὰ καπνοῦ καὶ ἀχλύος· διὸ καὶ ὁ ἄνθραξ τῆς φλογὸς ἐρυθρότερος· λεπτότερος γὰρ ὁ ἀποκρινόμενος καπνὸς ἐνυπάρχοντος ἔτι τοῦ γεώδους τῷ ξύλῳ. διὸ καὶ ἧττον οὗτος εὐδιό- 76
πτος, ἐπεὶ καὶ αὐτῆς τῆς φλογὸς ἡ μᾶλλον καπνώδης καὶ τῶν χλωρῶν ἐρυθρὰ ξύλων. ὅταν δ' ἀποσβεσθῶσι πνίξει συγκατακλειομένου καὶ ἐναποσβεννυμένου τοῦ καπνοῦ, μέλανες γίνονται διὰ τὴν λεχθεῖσαν αἰτίαν. τὰ δ' ἐκκρίματα μάλιστα διαδύνει ὅτι ἐναπολαμβάνεται τὸ πνεῦμα τοῦ πυρός· πνευματῶδες γὰρ μάλιστα τὸ πῦρ. ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς εἴρηται μέχρι γε τοῦ νῦν. ἀκριβέστερον δὲ πάλιν ἐν ἄλλοις ἐροῦμεν περὶ αὐτῶν.

Fr. IV. ΠΕΡΙ ΟΣΜΩΝ.

Cap. I. Αἱ ὀσμαὶ τὸ μὲν ὅλον ἐκ μίξεώς εἰσι κα- 1
θάπερ οἱ χυμοί· τὸ γὰρ ἄμικτον ἅπαν ἄοδμον ὥσπερ ἄχυμον, διὸ καὶ τὰ ἁπλᾶ ἄοδμα, οἷον ὕδωρ ἀὴρ πῦρ. ἡ δὲ γῆ μάλιστ' ἢ μόνη ὀδμὴν ἔχει διὸ μάλιστα μικτή. τῶν δ' ὀδμῶν αἱ μὲν ὥσπερ ἀειδεῖς καὶ ὑδαρεῖς καθάπερ ἐπὶ τῶν χυμῶν, αἱ δ' ἔχουσαί τινας ἰδέας. αἱ δ' ἰδέαι δοκοῦσι μὲν ἀκολουθεῖν ταῖς τῶν χυμῶν οὐ μὴν ἔχουσί γε πᾶσαι τὰς αὐτὰς προσηγορίας, ὥσπερ ἐν τοῖς πρότερον εἴπομεν, οὐδ' ὅλως οὕτω διωρισμέναι τοῖς εἴδεσιν ὥσπερ οἱ χυμοὶ· ἀλλ' ὡς ἂν τοῖς γέ-

Digitized by Google

2 νεσιν, ὅτι τὰ μὲν εὔοσμα τὰ δὲ κάκοσμα. τῆς δ' εὐω-
δίας καὶ κακωδίας οὐκέτι τὰ εἴδη κατωνόμασται καί-
περ ἔχοντα διαφορὰς μεγάλας ἐπί γ' αὐτῶν τῶν
γλυκέων καὶ πικρῶν [μᾶλλον], ἀλλὰ δριμεῖα λέγε-
ται καὶ ἰσχυρὰ καὶ μαλακὴ καὶ γλυκεῖα καὶ βαρεῖα
ὀδμή· κοιναὶ δ' ἔνιαι τούτων καὶ τῶν κακωδῶν. ἡ δὲ
καθόλου καὶ ὥσπερ ἐπὶ πᾶσι τοῖς διαφθειρομένοις
σαπρότης. ἅπαν γὰρ τὸ σηπόμενον κακῶδες, εἰ μή
τις τὴν ὀξύτητα λέγει τοῦ οἴνου σαπρότητα τῇ ὁμοι-
3 ότητι τῆς φθορᾶς. ἐν ἅπασι δ' ἐστὶν ἡ τοῦ σαπροῦ
κακωδία καὶ ἐν φυτοῖς καὶ ἐν ζώοις καὶ ἐν τοῖς ἀψύ-
χοις· ἐν ἅπασι δὲ διαφθειρομένοις ὧν μὴ ἡ σύστα-
σις εὐθὺς ἐκ τοιαύτης ὕλης, ἔχει γὰρ ἔνια καὶ τὴν τῆς
ὕλης ὀσμήν, οὐ μὴν ἐπὶ πάντων γε τοῦτ' ἀκολουθεῖ.
πολλὰ γὰρ οὐ κακώδη τὰ ἐκ τῶν σαπρῶν, ὡς οὐδ' οἱ
μύκητες οἱ ἐκ τῆς κόπρου φυόμενοι· τὰ δ' ἐκ σήψεως
φυόμενα καὶ συνιστάμενα κακώδη. εὔοσμα μὲν οὖν
ὡς ἁπλῶς εἰπεῖν τὰ πεπεμμένα καὶ λεπτὰ καὶ ἥκιστα
γεώδη· τὸ γὰρ τῆς ὀσμῆς ἐν ἀναπνοῇ· κακώδη δὲ δη-
λονότι τἀναντία. πολλὰ δὲ ὥσπερ τῶν γλυκέων ἐμ-
φαίνει τινὰ πικρότητα, καὶ τῶν εὐωδῶν βαρύτητα ταῖς
ὀσμαῖς.

4 Cap. II. Ἔχει δὲ ἕκαστον ὀσμὴν ἰδίαν καὶ ζώων
καὶ φυτῶν καὶ τῶν ἀψύχων ὅσα ὀσμώδη· πολλὰ δ'
ἡμῖν οὐ φαίνεται διὰ τὸ χειρίστην ἔχειν τὴν αἴσθησιν
ταύτην ὡς εἰπεῖν. ἐπεὶ τοῖς γε ἄλλοις καὶ τὰ παντε-
λῶς ἄοδμα φαινόμενα δίδωσί τινα ὀσμήν, ὥσπερ αἱ
κριθαὶ τοῖς ὑποζυγίοις αἱ ἐκ τῆς Κεδροπόλιος, ἃς οὐκ
ἐσθίουσιν διὰ τὴν κακωδίαν. ἡμᾶς δὲ καὶ αἱ τῶν
ζώων λανθάνουσιν τῶν ὀσμωδῶν δοκούντων. εὐωδίᾳ
μὲν οὖν οὐθὲν φαίνεται καθ' αὑτὸ χαίρειν ὡς εἰπεῖν,
ἀλλ' ὅσα πρὸς τὴν τροφὴν καὶ τὴν ἀπόλαυσιν. πονεῖν

Digitized by Google

δ' ἔνια φαίνεται ταῖς ὀσμαῖς καὶ ταῖς εὐωδίαις, εἴπερ
ἀληθὲς τὸ ἐπὶ τῶν γυπῶν και τῶν κανθάρων. τοῦτο
δὲ δῆλον ὡς δι' ἐναντίωσιν της ἐν αὐτοῖς φύσεως.
ὡς δὲ καθ' ἕκαστον ἅμα δεῖ τήν γε κρᾶσιν τὴν ἑκά-
στου καὶ τὴν τῆς ὀσμῆς λαμβάνειν δύναμιν. εἰσὶ μὲν 5
οὖν ἔνιαι τῶν εὐόσμων καὶ ἐν ταῖς τροφαῖς οἷον αἱ
τῶν ἀκροδρύων καὶ ἀπίων καὶ μήλων· αὗται γὰρ ἄνευ
τῆς προσφορᾶς ἡδεῖαι, καὶ μᾶλλον ὡς εἰπεῖν. οὐ μὴν
ἀλλ' ὥς γ' ἁπλῶς διελεῖν αἱ μέν εἰσι καθ' αὑτὰς αἱ
δὲ κατὰ συμβεβηκός· αἱ μὲν τῶν χυλῶν καὶ τῆς τρο-
φῆς κατὰ συμβεβηκὸς, αἱ δ' ὥσπερ τῶν ἀνθῶν καθ'
αὑτάς. ὡς δ' ἐπίπαν τὰ εὔοσμα καθάπερ καὶ πρότε-
ρον ἐλέχθη δύσχυμα καὶ στρυφνὰ καὶ ὑπόπικρα. ἔνια
δὲ τῶν εὐχύμων καὶ κακώδη, καθάπερ καὶ τὸ αἰγύ-
πτιον καλούμενον σῦκον, γλυκὺ ὂν, καὶ εἰ μὴ παντα-
χοῦ ἀλλ' ἐνιαχοῦ. καὶ ἡ ἄρκευθος ἐμφαίνει τινὰ τῇ
μασήσει κακωδίαν γλυκεῖα οὖσα· τὸ δ' οὖρον ποιεῖ
εὐῶδες. ἐπεὶ δὲ τῶν ὀσμῶν αἱ μὲν ἐν φυτοῖς καὶ τοῖς 6
τούτων μορίοις, οἷον κλωσὶ φύλλοις φλοιοῖς καρποῖς
δακρύοις, αἱ δὲ ὥσπερ διείλομεν ἐν ζώοις [καὶ φυτοῖς]
καὶ τοῖς ἀψύχοις, αὗται μὲν φανερὸν ὅτι πέψιν ἕκα-
σται λαμβάνουσιν ἐν τοῖς οἰκείοις [αἷς]· καὶ τὸ εὐῶ-
δες καὶ κακῶδες ἀκολουθεῖ κατὰ τὰς οἰκείας φύσεις,
ἡ δὲ πέψις τῷ οἰκείῳ θερμῷ. ἐν δὲ τοῖς ἀψύχοις ταῖς
τῶν ἁπλῶν δυνάμεσι καὶ γίνονται καὶ μεθίστανται καθ-
άπερ οἱ χυμοί.

Cap. III. Ὅσαι δὲ δὴ κατὰ τέχνην καὶ ἐπίνοιαν γί- 7
νονται περὶ τούτων πειρατέον εἰπεῖν ὥσπερ καὶ περὶ
τῶν χυλῶν. ἐν ἀμφοῖν δὲ δῆλον ὡς ἀεὶ πρὸς τὸ βέλτιον
[ἦν] ἡμῖν ἡ ἀναφορά· πᾶσα γὰρ τέχνη στοχάζεται τού-
του. εἰσὶ μὲν οὖν καὶ τοῖς ἀμίκτοις ὀσμαί τινες πρὸς
ἃς συνεργεῖν πειρῶνται καὶ ταῖς παρα(σκευαῖς, ὡς καὶ)

Digitized by Google

ταῖς τῶν χυμῶν εὐστο(μίαις). οὐ μὴν ἀλλ' ὥς γ'
ἁπλῶς εἰπεῖν ἐν μίξει τὸ πλέον, καὶ οὕτως αἱ ... δυοῖν
μὲν ὡς τῷ γένει λαβεῖν, ὑγροῦ καὶ ξηροῦ· τριχῶς δὲ
γί(νονται), ὅταν ἢ ὁμογενὲς ὁμογενεῖ, ἢ παράλλαττον
τῷ παραλλάττοντι, ἢ ὑγρῷ ὑγρὸν ἢ ξηρῷ ξηρὸν, (ἢ
8 ὑγρῷ ξηρόν). ἐκ δυοῖν γὰρ τούτων καὶ ἡ τῶν χυλῶν
καὶ τῶν ὀσμῶν γένεσις· ὡς μὲν οἱ τὰ ἀρώματα καὶ τὰ
διαπάσματα συντιθέντες ξηροῖς πρὸς ξηρά· ὡς δ' οἱ
τὰ μύρα κεραννύντες ἢ τῷ οἴνῳ ἐπιχέοντες ὑγροῖς
πρὸς ὑγρά. τὸ δὲ τρίτον, ὃ καὶ πλεῖστόν ἐστιν, ὡς οἱ
μυρεψοὶ ξηροῖς πρὸς ὑγρά· παντὸς γὰρ μύρου καὶ χρί-
σματος ἡ σύνθεσις αὕτη. δεῖ δ' εἰδέναι ποῖαι ποίοις
εὔμικτοι καὶ ποῖαι ποίοις συνεργοῦσιν εἰς τὸ ποιεῖν
μίαν ὥσπερ ἐπὶ τῶν χυμῶν. καὶ γὰρ ἐκεῖ ταὐτὸ τοῦτο
ζητοῦσιν οἱ μιγνύντες καὶ οἷον ἀρτύοντες. ταῦτα μὲν
9 οὖν ἐν οἷς καὶ δι' ὧν αἱ τέχναι ποιοῦνται τὰ τέλη. μί-
γνυνται δὲ τὰ μὲν αὐτῆς τῆς ὀσμῆς ἕνεκα καὶ πρὸς ταύ-
την τὴν αἴσθησιν, τὰ δ' ὥσπερ ἡδύνειν βουλόμενα τὴν
γεῦσιν οἷον ὡς οἱ τὰ μύρα τοῖς οἴνοις ἐπιχέοντες ἢ τὰ
ἀρώματα ἐμβάλλοντες. αἱ γὰρ αἰσθήσεις σύνεγγυς οὖ-
σαι ποιοῦσί τινα ἀπόλαυσιν ἀλλήλων, ὅθεν καὶ αὐτοῖς
10 τοῖς γευστοῖς ζητοῦσι τὰς εὐοσμίας. ἀπορήσειε δ' ἂν
τις ἴσως διὰ τί ποτε μύρον καὶ τἆλλα εὔοσμα τοὺς μὲν
οἴνους ἡδύνει τῶν δὲ βρωμάτων οὐδὲν ἀλλὰ πάντα λυ-
μαίνεται καὶ ἀπύρωτα καὶ πεπυρωμένα. τὸ δ' αἴτιον
ὑποληπτέον ὅτι συμβαίνει τῶν μὲν ξηρῶν ἀφαιρεῖσθαί
τε τὸν οἰκεῖον χυλὸν διὰ τὴν ἰσχὺν καὶ ἅμα συνεπι-
φαίνειν τὸν αὐτοῦ ὄντα στρυφνὸν καὶ ὑπόπικρον· ἅπαν
γὰρ τὸ εὔοσμον τοιοῦτον, διαμασωμένοις δὲ μᾶλλον
ἐμφανὲς διά τε τὴν θλίψιν καὶ τομὴν καὶ ἔτι τῷ χρο-
11 νίζεσθαι. τὸν δ' οἴνου οὐδέτερον ποιεῖ· καὶ γὰρ ὁ χυ-
λὸς ἰσχυρότατος καὶ πλείων εἰς τὸ μὴ κρατεῖσθαι καὶ

Digitized by Google

οὐδένα τῇ γεύσει χρόνον ἐπιδιατρίβων ἀλλ' ὅσον ἐπιθιγγάνων, ὥστε τὸ μὲν ἡδὺ ἐνδιδόναι τῇ αἰσθήσει τὸ δὲ πικρὸν καὶ δύσχυμον τῇ γεύσει μὴ ἐμφαίνειν ἀλλὰ συμβαίνειν τῷ ὄντι καθάπερ ἥδυσμα γίνεσθαι τῷ πόματι τὴν ὀσμήν· τῷ μὲν γλυκεῖ καὶ μάλιστα δεομένῳ διὰ τὸ μηδὲν ἔχειν, τοῖς δ' ἄλλοις ὥσπερ μιᾶς ἐξ ἀμφοῖν γενομένης διὰ τὴν μῖξιν. ὁ γὰρ οἶνος ὥσπερ καὶ πρότερον ἐλέχθη δεινὸς δέξασθαι τὰς ὀσμάς. ἔχει 12
δ' ἀπόρησιν καὶ τόδε, διὰ τί τὰ μὲν ἄνθη καὶ τὰ στεφανώματα ἀσθενέστερα ὄντα ταῖς ὀσμαῖς καὶ πόρρωθεν ὄζει, ἡ δ' ἶρις καὶ τὸ νάρδον καὶ τἆλλα τὰ εὔοσμα τῶν ξηρῶν ἰσχυρότερα ἐγγύθεν· καὶ ἔνιά γε προσενεγκαμένοις, ἔνια δὲ καὶ τρίψεως προσδεῖται καὶ διαιρέσεως, τὰ δὲ καὶ πυρώσεως ὥσπερ ἡ σμύρνα καὶ ὁ λιβανωτὸς καὶ πᾶν τὸ θυμιατόν. αἴτιον δ' ὅτι τῶν 13
μὲν ἀνθῶν ἐπιπολῆς τὸ ποιοῦν τὴν ὀσμὴν ἅτε μανῶν ὄντων καὶ οὐκ ἐχόντων βάθος, τῶν δὲ ῥιζῶν καὶ πάντων τῶν στερεῶν ἐν βάθει, τὰ δ' ἔξωθεν ἀπεξηραμμένα καὶ πεπυκνωμένα· διὸ καὶ ἀφιᾶσι πόρρω τὰς ἀποπνοίας, τὰ δ' οἷον ἀνοίξεως δέονται τῶν πόρων, ὅθεν διαιρούμενα καὶ κοπτόμενα πάντ' εὐωδέστερα, τὰ δ' ἄνθη κακωδέστερα τριβόμενα· τὰ μὲν γὰρ ἐκφαίνει τὸ οἰκεῖον τὰ δὲ προσλαμβάνει τὸ ἀλλότριον. ὁ δὲ λιβανωτὸς καὶ ἡ σμύρνα πυκνοτέραν ἔτι τὴν φύσιν ἔχοντα προσδέονται πυρώσεως μαλακῆς ἢ κατὰ μικρὸν ἐκθερμαίνουσα ποιήσει τὴν ἀναθυμίασιν. ἐὰν γὰρ κόπτῃ τις ἢ τρίβῃ ταῦτα προσοίσονται μὲν ὀσμὴν οὐχ ὁμοίως δὲ ἡδεῖαν οὐδ' εὐταμίευτον. τούτων μὲν οὖν τοιαῦταί τινες αἱ αἰτίαι.

Cap. IV. Τῶν δὲ μύρων ἡ σύνθεσις καὶ ἡ κατα- 14
σκευὴ τὸ ὅλον οἷον εἰς θησαυρισμόν ἐστι τῶν ὀσμῶν· διόπερ εἰς τοὔλαιον τίθενται· τοῦτο γὰρ χρονιώτατον

Digitized by Google

καὶ ἅμα πρὸς τὴν χρείαν μάλισθ' ἁρμόττον. ἐπεὶ φύ-
σει ἥκιστα δεκτικὸν ὀσμῆς διὰ τὴν πυκνότητα καὶ τὸ
λίπος, αὐτῶν δὲ τούτων τὸ λιπαρώτατον οἷον τὸ ἀμυγ-
δάλινον· τὸ δὲ σησάμινον καὶ τὸ ἐκ τῶν ἐλαιῶν μά-
15 λιστα. χρῶνται δὲ μάλιστα τῷ ἐκ τῆς βαλάνου τῆς
αἰγυπτίας καὶ συρίας, ἥκιστα γὰρ λιπαρόν· ἐπεὶ καὶ
τῷ ἐκ τῶν ἐλαιῶν μάλιστα χρῶνται τῷ ὠμοτριβεῖ τῆς
φαυλίας· δοκεῖ γὰρ ἀλιπέστατον ἔχειν καὶ λεπτότατον·
καὶ τούτῳ νέῳ καὶ μὴ παλαιῷ· τὸ γὰρ ὑπὲρ ἐνιαυτὸν
ἀχρεῖον παχύτερον καὶ λιπαρώτερον γενόμενον. ἔλαιον
μὲν οὖν τὸ τοιοῦτον οἰκειότατον, ἀλιπέστατον γάρ.
φασὶ δέ τινες καὶ (ἐν) τῷ χρίσματι τὸ ἐκ τῶν πικρῶν
ἀμυγδάλων· πολλὰ δὲ γίνεται περὶ Κιλικίαν καὶ ποι-
16 οῦσιν ἐξ αὐτῶν χρίσμα. φασὶ δὲ καὶ εἰς τὰ σπουδαῖα
τῶν μύρων ἁρμόττειν ὥσπερ καὶ τὸ ἐκ τῆς βαλάνου
καὶ τοῦτο. ποιεῖ δὲ (τὰ) κελύφη αὐτῶν εὔοσμον εἰς τὸ
ἔλαιον ἐμβαλλόμενα· ἐπεὶ καὶ τὰ τῶν πικρῶν.* ἤδη
δὲ πῶς οὐκ ἐναντίον ἅμα μὲν τὸ ἀοσμότατον ζητεῖν
ὥσπερ καὶ τὸ ὠμοτριβὲς ἐκ τῶν φαυλιῶν, ἅμα δ' ἐν
τούτοις ποιεῖν; δριμύτητα γὰρ ἔχει τὸ τῶν ἀμυγδάλων·
εἰ μὴ ἄρ' ὅτι τὸ ἔλαιον ἑψόμενον κακῶδες. ταῦτα μὲν
17 οὖν ἐπισκεπτέον. χρῶνται δὲ πρὸς πάντα τοῖς ἀρώ-
μασι, τοῖς μὲν ἐπιστύφοντες τὸ ἔλαιον τοῖς δὲ καὶ τὴν
ὀσμὴν ἐκ τούτων ἐμποιοῦντες. ὑποστύφουσι γὰρ πᾶν
εἰς τὸ δέξασθαι μᾶλλον τὴν ὀσμὴν ὥσπερ τὰ ἔρια εἰς
τὴν βαφήν. ὑποστύφεται δὲ τοῖς ἀσθενεστέροις τῶν
ἀρωμάτων, εἶθ' ὕστερον ἐμβάλλουσιν ἀφ' οὗ ἂν βού-
λωνται τὴν ὀσμὴν λαβεῖν· ἐπικρατεῖ γὰρ ἀεὶ τὸ ἔσχα-
τον ἐμβαλλόμενον καὶ ἂν ἔλαττον ᾖ· οἷον ἐὰν εἰς κο-
τύλην σμύρνης ἐμβληθῇ μνᾶ καὶ ὕστερον ἐμβληθῶσι
κιναμώμου δραχμαὶ δύο, κρατοῦσιν αἱ τοῦ κιναμώμου
18 δύο δραχμαί. θαυμάσειε δ' ἄν τις ἴσως τοῦτό τε καὶ

Digitized by Google

διὰ τί ποτε τὰ ἀρώματα προεμβαλλόμενα δεκτικώτε-
ρον ποιεῖ τοὔλαιον ὀσμὴν ἔχοντα· δεῖ γὰρ ἀῶδες εἶναι
τὸ δεξόμενον, τὸ δὲ κατειλημμένον ὑφ' ἑτέρου οὐκ ἀῶ-
δες, ὥσθ' ἧττον ἐχρῆν εἶναι δεκτικόν. αἴτιον δ' ἀμ-
φοτέρων ἢ πάντων τὸ αὐτό. ξηρὰ γὰρ ὄντα τὸ λίπος
ἕλκει πρὸς ἑαυτὰ καὶ ἀναδέχεται, διὸ καὶ τὴν συνέ-
χειαν ἐξαιρεῖ· μανὸν δὲ γενόμενον καὶ τοῦ λίπους
ἀφαιρεθέντος ἐν ᾧ καὶ ἡ οἰκεία μάλιστα ὀσμὴ, δεκτι-
κώτερον ἐγένετο τοῦ ἐπιβαλλομένου διὰ τὸ μὴ ἀντιστα-
τεῖν. ἡ δὲ ἀπὸ τῶν ἀρωμάτων ὀδμὴ καὶ ἀσθενὴς ἅτε 19
εἰς τὸ λιπαρὸν ἀνηλωμένη, καὶ ἔτι κατέχεται τούτῳ
διὰ τὸ πληρῶσαι τοὺς πόρους. ὥστε κατὰ λόγον κἂν
ἔλαττον ᾖ τὸ ἐπιβαλλόμενον ἐπικρατεῖν τὴν τούτου
ὀσμήν· εἰς ἀσθενέστατον γὰρ ἐμπίπτει καὶ δεκτικώτε-
ρον. ἀνὰ λόγον δ' ἔχει καὶ ἡ πολυχρονιότης ἡ ἐν ἑκά-
στῳ καὶ ἡ πρὸς τὴν πύρωσιν εὐσθένεια καὶ τἆλλα τὰ
τοιαῦτα. τὸ γὰρ δεκτικώτατον οἷον τῆς βαλάνου καὶ
χρονιώτατον, καὶ διὰ τὴν αὐτὴν αἰτίαν· μάλιστα γὰρ
ὥσπερ ἓν γίνεται καὶ συμφυὲς τὸ μάλιστα δεχόμενον·
ἀεὶ γὰρ τὸ τοιοῦτον διαμονώτατον, διὸ καὶ πυρούμε-
νον μάλιστα ἀπαθές. ὡσαύτως δὲ καὶ τῶν ἄλλων τὸ 20
σησάμινον διὰ τὴν λιπαρότητα· πυρούμενον δὲ ἐξόζει
σησάμου καθάπερ ἀναλυόμενον. αἱ μὲν οὖν τῶν ἐλαίων
φύσεις καὶ δυνάμεις τοιαῦται.

Cap. V. Τὰ δ' ἀρώματα πάντα σχεδὸν καὶ εὔ- 21
οσμα πλὴν τῶν ἀνθῶν ξηρὰ καὶ θερμὰ καὶ στυπτικὰ
καὶ δηκτικά. τὰ δὲ καὶ ἔχοντά τινα πικρότητα, καθά-
περ καὶ ἐν τοῖς πρότερον εἴπομεν, ὥσπερ ἶρις σμύρνα
λιβανωτὸς, ὡς δ' ἁπλῶς εἰπεῖν καὶ τὰ μύρα. κοινό-
ταται δὲ τῶν δυνάμεων τό τε στυπτικὸν καὶ τὸ θερ-
μαντικὸν ἃ δὴ καὶ ἐργάζονται. ὑποστύφονται μὲν οὖν 22
πάντα πυρούμενα, τὰς δ' ὀσμὰς τὰς κυρίας ἔνια λαμ-

Digitized by Google

βάνει ψυχρὰ καὶ ἀπύρωτα. καὶ ἔοικεν ὥσπερ τῶν ἀνθῶν τὰ μὲν ψυχροβαφῆ τὰ δὲ θερμοβαφῆ παραπλησίως ἔχειν καὶ ἐπὶ τῶν ὀσμῶν. πάντων δὲ ἡ ἕψησις εἴς τε τὴν ὑπόστυψιν καὶ τὰς κυρίας ὀσμὰς ἐνισταμένων τῶν ἀγγείων ὕδατι γίνεται καὶ οὐκ αὐτῷ τῷ πυρὶ χρωμένων· τοῦτο δὲ, ὅτι μαλακὴν εἶναι δεῖ τὴν θερμότητα, καὶ ἀπουσία πολλὴ γένοιτ' ἂν τῇ φλογὶ χρωμένων, καὶ
23 ἔτι καῦσιν ἂν ὄζοι. ποιεῖ δ' ἐλάττω τὴν ἀπουσίαν ὅσα πυρούμενα λαμβάνει τὰς κυρίας ὀσμὰς μᾶλλον ἢ ὅσα ψυχρὰ διὰ τὸ προφυρᾶσθαι τὰ πυρούμενα, τὰ μὲν οἴνῳ εὐώδει, τὰ δὲ ὕδατι· ἧττον γὰρ ἀναπίνει· τὰ δὲ ψυχρὰ ξηρὰ ὄντα μᾶλλον καθάπερ ἶρις κοπεῖσα. λαμβάνοντος γὰρ τοῦ ἀμφορέως ξηρᾶς ἴριδος κεκομμένης μέδιμνον καὶ δύο ἡμίεκτα πολλὴν ποιεῖν φασὶν ἀπουσίαν, ἐὰν δὲ μετρίως φυράσῃ λείπειν ὅσον δύο χόας
24 τοῖς δὲ πολλοῖς ἔλαττον. γίνεται δὲ τὸ βέλτιον ἴρινον ἐὰν ᾖ ξηρὰ καὶ ἀπύρωτος ἡ ἶρις· ἀκρατεστέρα γὰρ ἡ δύναμις ἢ ἐὰν φυραθεῖσα καὶ πυρουμένη. συμβαίνει δὲ ὥσπερ καὶ ἐκθλίβεσθαι μᾶλλον ἐκ τῶν προπεφυραμένων διὰ τὸ ἧττον ἀναδέχεσθαι καὶ ἕλκειν εἰς αὑτό· προστύφοντες δὲ οὐ πολὺν χρόνον ἐῶσι τὰ ἀρώματα
25 ἀλλ' ἐξαιροῦσιν ὅπως μὴ πολὺ ἐκπίνωσιν. πρὸς ἕκαστον δὲ τῶν μύρων ἐμβάλλουσι τὰ πρόσφορα τῶν ἀρωμάτων, οἷον εἰς μὲν τὴν κύπρον καρδάμωμον ἀσπάλαθον ἀναφυράσαντες τῷ εὐώδει. εἰς δὲ τὸ ῥόδινον σχοῖνον ἀσπάλαθον κάλαμον. ἡ δ' ἀναφύρασις ὁμοίως. καὶ τοῖς ἄλλοις ἀεὶ τὰ ἁρμόττοντα. τῷ ῥοδίνῳ δ' ἐμβάλλονται καὶ ἅλες πολλοὶ καὶ τοῦτ' ἴδιον παρὰ τἄλλα, διὸ καὶ πλείστη ἀπουσία γίνεται· μίγνυνται γὰρ εἰς τὸν
26 ἀμφορέα δύο μέδιμνοι. τῆς δὲ κύπρου ἡ μὲν ἐργασία παραπλησία τῇ τοῦ ῥοδίνου· πλὴν ἀλλ' ἐάν τις μὴ ταχέως ἐξαίρῃ καὶ ἀποθλίβῃ σῆψις ἐγγινομένη φθείρει

Digitized by Google

τὰ μύρα διὰ τὴν δυσωδίαν· ποιεῖ γὰρ σῆψιν ἀνυγραι-
νομένη. παραπλησία δ' ἐργασία καὶ τοῦ μηλίνου·
προστυφέντος γὰρ ἐλαίου καὶ τὰ μῆλα ἐμβάλλουσιν
εἰς ψυχρὸν, εἶτ' ἐξαιροῦσι πάλιν πρὸ τοῦ μελαίνεσθαι
κατὰ πάσας τὰς ἐμβολάς· μελαινομένων γὰρ σῆψις διὰ
τὸ ἀνυγραίνεσθαι καθάπερ καὶ ἐπὶ τῆς κύπρου.

Cap. VI. Ἅπαντα δὲ συντίθενται τὰ μύρα τὰ 27
μὲν ἀπ' ἀνθῶν τὰ δὲ ἀπὸ φύλλων τὰ δὲ ἀπὸ κλω-
νὸς τὰ δ' ἀπὸ ῥίζης τὰ δ' ἀπὸ ξύλων τὰ δ' ἀπὸ καρ-
ποῦ τὰ δ' ἀπὸ δακρύων. μικτὰ δὲ πάνθ' ὡς εἰπεῖν.
ἀπ' ἀνθῶν μὲν οἷον τὸ ῥόδινον καὶ τὸ λευκόϊνον.
καὶ τὸ σούσινον· καὶ γὰρ τοῦτο ἐκ τῶν κρίνων· ἔτι
δὲ τὸ σισύμβρινον καὶ τὸ ἑρπύλλινον καὶ ἡ κύπρος
καὶ πρὸς τούτοις τὸ κρόκινον· βέλτιστος δ' ἐν Αἰγίνῃ
καὶ Κιλικίᾳ. ἀπὸ δὲ τῶν φύλλων οἷον τό τε μύρρινον
καὶ τὸ οἰνάνθινον· αὕτη δ' ἐν Κύπρῳ φύεται ὀρεινὴ
καὶ πολύοδμος· ἀπὸ δὲ τῆς ἐν τῇ Ἑλλάδι οὐ γίνεται
διὰ τὸ ἄοδμον. ἀπὸ ῥιζῶν δὲ τό τε ἴρινον καὶ τὸ νάρ- 28
δινον καὶ τὸ ἀμαράκινον ἐκ τοῦ κόστου· τοῦτο γὰρ ὀνο-
μάζουσι τὴν ῥίζαν. τὸ δὲ χρίσμα τὸ ἐρετρικὸν ἐκ τοῦ
κυπείρου. κομίζεται δὲ ἀπὸ τῶν Κυκλάδων τὸ κύπει-
ρον. ἀπὸ ξύλου δὲ ὁ φοίνιξ καλούμενος· ἐμβάλλουσι
γὰρ τὴν ὀνομαζομένην σπάθην ξηράναντες. ἀπὸ καρ-
πῶν δὲ τό τε μήλινον καὶ τὸ μύρτινον καὶ τὸ δάφνι-
νον· τὸ δ' αἰγύπτιον ἐκ πλειόνων ἔκ τε τοῦ κιναμώ-
μου καὶ ἐκ σμύρνης καὶ ἐξ ἄλλων. ἔτι δ' ἐκ πλειόνων 29
τούτου τὸ μεγαλεῖον· καὶ γὰρ ἐκ κιναμώμου … καὶ ἐκ
τῆς σμύρνης κοπτομένης ἔλαιον ῥεῖ· στακτὴ γὰρ κα-
λεῖται διὰ τὸ (κατὰ) μικρὸν στάζειν. ὃ δὴ μόνον τινές
φασιν ἁπλοῦν εἶναι καὶ ἀσύνθετον τῶν μύρων τὰ δ'
ἄλλα πάντα σύνθετα, πλὴν τὰ μὲν ἐκ πλειόνων τὰ δ'
ἐξ ἐλαττόνων, ἐξ ἐλαχίστων δὲ τὸ ἴρινον. οἱ μὲν οὖν

Digitized by Google

*οὕτω λέγουσιν, οἱ δὲ τὴν ἐργασίαν τῆς στακτῆς εἶναι
τοιάνδε· τὴν σμύρναν ὅταν κόψωσι καὶ διατήξωσι ἐν
ἐλαίῳ βαλανίνῳ πυρὶ μαλακῷ ὕδωρ ἐπιχεῖν θερμόν·
συνιζάνειν δ' εἰς βυθὸν τὴν σμύρναν καὶ τοὔλαιον
καθάπερ ἰλύν· ὅταν δὲ τοῦτο συμβῇ τὸ μὲν ὕδωρ ἀπη-*
30 *θεῖν τὴν δ' ὑπόστασιν ἀποθλίβειν ὀργάνοις. τὸ δὲ
μεγαλεῖον ἐκ ῥητίνης κεκαυμένης συντίθεσθαι καὶ
ἐλαίου βαλανίνου· μίγνυσθαι δὲ κασίαν κινάμωμον
σμύρναν. πλείστην δὲ πραγματείαν περὶ τὸ μεγαλεῖον
καὶ τὸ αἰγύπτιον εἶναι, πλείστων γὰρ μίξιν καὶ πολυ-
τελεστάτων. τῷ δὲ μεγαλείῳ καὶ τὸ ἔλαιον ἕψεσθαι δέχ'
ἡμέρας καὶ δέκα νύκτας, εἶτα οὕτως τὴν ῥητίνην ἐμ-
βάλλεσθαι καὶ τἆλλα· δεκτικώτερον γὰρ ἀφεψηθέν.
τὸ δ' ἀμαράκινον τὸ χρηστὸν ἐκ τῶν βελτίστων ἀρω-
μάτων συντίθεσθαι χωρὶς ἀμαράκου· τούτῳ δ' οὐ χρῆ-
σθαι μόνῳ τῶν ἀρωμάτων τοὺς μυρεψοὺς οὐδ' εἰς ἓν*
31 *μύρον, ἀλλὰ ψευδώνυμός τις ἡ ἐπίκλησις. ποιοῦσι
δὲ καὶ τὰ μὲν ἀχρωμάτιστα τὰ δὲ κεχρωματισμένα.
χρωματίζουσι δὲ ἀμαράκινον ῥόδινον μεγαλεῖον, ἀχρω-
μάτιστα δὲ τῶν μὲν πολυτελῶν αἰγύπτιον μήλινον κύ-
προς, τά δ' εὐτελῆ πάντα· ταῦτα δὲ ἀχρωμάτιστα διότι
τὸ μὲν αἰγύπτιον καὶ τὴν κύπρον λευκὰ εἶναι βούλον-
ται, τῷ δὲ μηλίνῳ τὴν τῶν μήλων χρόαν, τοῖς δ' εὐ-
τελέσιν οὐ λυσιτελεῖ τὸ χρῶμα προστιθέναι. χρωματί-
ζουσι δὲ τὰ μὲν ἐρυθρὰ τῇ ἀγχούσῃ, τὸ δ' ἀμαράκι-
νον τῷ καλουμένῳ χρώματι· τοῦτο δ' ἐστὶ ῥιζίον ὃ
ἄγουσιν ἐκ τῆς Συρίας.*

32 Cap. VII. *Συνεργεῖν δὲ δοκοῦσι πρὸς τὰς γεύσεις
οὐχ αἱ ὀδμαὶ μόνον ἀλλὰ καὶ αἱ δριμύτητες καὶ αἱ θερ-
μότητες ἐνίων, διὸ καὶ τῶν οἴνων τισὶ τὰ τοιαῦτα μι-
γνύντες ὥσπερ κέντρον ἐμποιοῦσιν. ἔστι δὲ ἡ μὲν
σμύρνη θερμὴ καὶ δηκτικὴ μετὰ στύψεως, ἔχει δὲ καὶ*

Digitized by Google

πικρίαν. τὸ δὲ κινάμωμον δριμύτητά τινα μετρίαν
μετὰ θερμότητος. παραπλησίως δὲ καὶ τὸ κόστον. ἡ
δὲ κασία τούτων ὑπερβάλλει θερμότητι καὶ δριμύτητι
καὶ στύψει. θερμὴ δὲ καὶ στυπτικὴ καὶ ἡ ἴρις, καθ'
ὑπερβολὴν δὲ καὶ πικρὰ νέα οὖσα καὶ τὸν χρῶτα τῶν
ἐργαζομένων ἀφελκοῖ. δηκτικὸν δὲ καὶ τὸ καρδάμω-
μον μετὰ θερμότητος. τοῦ δὲ βαλσάμου ὁ μὲν ὀπὸς
καὶ τὸ καρπίον ἀνδρικώτερα πρὸς ἀμφότερα ταῦτα τὸ
δὲ ξύλον ἀσθενέστερον. παραπλησίαν δ' ἔχει τούτῳ
δύναμιν καὶ τὸ ἄμωμον. ὁ δὲ σχοῖνος δηκτικώτερον 33
μὲν τοῦ καλάμου καὶ θερμότερον, στυπτικὰ δὲ ὁμοίως
ἄμφω. τούτων δὲ στυπτικώτερον τὸ κύπειρον. στύφει
δὲ καὶ ἡ ἀσπάλαθος ἡ εὐώδης. ἡ δὲ νάρδος δηκτικὴ
μετὰ θερμότητος. τὸ δὲ μάρον καὶ τὸ χρῶμα τὸ εἰς τὸ
ἀμαράκινον ἐμμιγνύμενον θερμαντικά. συνεργεῖ δὲ
καὶ τῆς ἀγχούσης τὸ ῥιζίον εἰς τὴν χρόαν τοῦ ῥοδίνου
καὶ τῆς ἴριδος. νέα μὲν οὖν ὄντα τῶν ἀρωμάτων ἔνια 34
δυνάμεις μὲν εὐθὺς ἔχει βαρείας καὶ δριμείας, παλαι-
ούμενα δὲ μέχρι τῆς ἀκμῆς γλυκαίνεται, εἶτ' ἀναλύε-
ται πάλιν. οἷον ἡ ἴρις εἰς μὲν τὴν ἐργασίαν ἀκμάζει
μετὰ τὴν συλλογὴν τρία ἔτη. τὸ δὲ μάρον ἔτη δύο. ἡ δὲ
σμύρνα δέκα ἔτη διαμένει βελτίων γενομένη. παραπλη-
σίως δὲ τούτοις ἡ τῆς ἀκμῆς διαμονὴ καὶ τοῦ κινάμώ-
μου καὶ τοῦ κόστου καὶ τῆς κασίας. σχοῖνος δὲ καὶ
κάλαμος παρακμάζει ταχύ. τῶν δ' ἀνθῶν τὰ μὲν εὐ-
θὺς χλωρὰ ὄντα τὰς δυνάμεις ἔχει καθάπερ τὸ ῥόδον,
τὰ δὲ ξηρανθέντα καθάπερ ὁ κρόκος καὶ ὁ μελίλωτος·
χλωρὰ γὰρ ὑγρότερα. τὰς μὲν οὖν φύσεις καὶ δυνά- 35
μεις τῶν ἀρωμάτων ἐκ τούτων θεωρητέον.

Cap. VIII. Δοκεῖ δὲ τὸ μεγαλεῖον ἀφλέγμαντον
εἶναι παντὸς τραύματος· τὸ δὲ ῥόδινον ἄριστον πρὸς
τὰ ὦτα. ταῦτα δ' οὐκ ἀλόγως. τοῦ μὲν γὰρ ἡ σύν-

Digitized by Google

θεσις ἐκ ῥητίνης κεκαυμένης ὥσπερ ἐλέχθη καὶ κασίας καὶ κιναμώμου καὶ σμύρνης, ἅπαντα δὲ ταῦτα στυπτικὰ καὶ ξηραντικά. τὸ δὲ ῥόδινον τοῖς ὠσὶν ἀγαθὸν ὅτι ἐν ἁλσὶν ἡ ποίησις· ἀναξηραίνει γὰρ καὶ ἐκθερμαίνει διὰ τοὺς ἅλας· διὸ καὶ ἡ ἁλοσάχνη ἀγαθόν. ἀλλὰ τὸ τῆς στραγγουρίας λόγου δεῖται· καὶ γὰρ ταύτῃ λέγουσι μάλιστα βοηθεῖν. αἴτιον δ' ἂν εἴη διότι πᾶν τὸ ὑπεξάγειν μέλλον ἀναλῦσαι δεῖ πρότερον τὸ ὑπεξαχθησόμενον· τοῦτο δὲ οἱ ἅλες ποιοῦσιν, ἡ δ' εὐωδία
36 τὴν ὁρμὴν ἀπέδωκε. διὰ τί δὲ τὸ ἴρινον εὔοσμον μὲν οὐ ποιεῖ δὲ τὴν ὁρμήν; ἢ διότι στυπτικὸν καὶ συνάγει τοὺς πόρους ὥστε συγκλείσει κωλύειν τὴν δίοδον; ἀλλὰ καὶ κοιλίας λυτικὴ διά τε τὴν θερμότητα καὶ διὰ τὸ ἀποστύφειν τοὺς ἐπὶ τὴν κύστιν πόρους· ἀποκλειομένων γὰρ τούτων εἰς τὴν κοιλίαν ἡ συρροή. τὸ δὲ ὅλον φαρμακῶδες καὶ τὸ ἴρινον καὶ ἄλλα τῶν μύρων. ἡ δ' αἰτία πάντων ὡς καθόλου εἰπεῖν ἐν ταῖς δυνάμεσι ταῖς εἰρημέναις ὅτι στυπτικὰ καὶ θερμαντικά· τὰ ἀρώματα γὰρ τὰ τοιαῦτα φαρμακώδη. ταῦτα μὲν οὖν ἔξω τῆς τέχνης.

37 Cap. IX. Κρᾶσις δὲ καὶ μίξις οὐκ ἔστιν ὡρισμένη τῶν ἀρωμάτων ὥστ' ἐκ τῶν αὐτῶν ἀεὶ χρηστὰ καὶ ὅμοια γίνεσθαι, ἀλλοῖα δὲ συμβαίνει διὰ τὴν ἀνωμαλίαν τῶν δυνάμεων τῶν ἐν τοῖς ἀρώμασι. τῆς δ' ἀνωμαλίας αἰτίαι πλείους. μία μὲν, ἥπερ καὶ τοῖς ἄλλοις καρποῖς, ἡ τοῦ ἔτους κατάστασις· αὕτη γὰρ πολυχουστέρας ὁτὲ δ' ἀσθενεστέρας τὰς δυνάμεις (ποιεῖ). ἑτέρα δὲ ἐν τῇ συλλογῇ, τὸ προτερῆσαι τῆς ἀκμῆς ἢ ὑστερῆσαι· καὶ γὰρ τοῦτο οὐ μικρὸν διαφέρει. τρίτη δ' ἡ μετὰ τὴν συλλογὴν, ὅσα χρόνου δεῖται πρὸς τὴν ἀκμὴν ὥσπερ ἐλέχθη· καὶ γὰρ ἐνταῦθά ἐστι τὸ προτερεῖν καὶ
38 ὑστερεῖν· τούτων δὲ τὸ μὲν τῶν ἐτῶν οὐκ ἐφ' ἡμῖν,

Digitized by Google

*πλὴν εἰς τὸ εἰδέναι τὰ ποῖα σφοδροτέρας καὶ ἀσθενε-
στέρας ἔχει τὰς δυνάμεις· τὰ δὲ κατὰ τὰς ἀκμὰς τῆς
τε συλλογῆς καὶ μετὰ τὴν συλλογὴν ἐφ' ἡμῖν ἐστί, τῷ
εἰδότι μᾶλλον τὸ ἐπιτυγχάνειν. ἡ μὲν οὖν γένεσις καὶ
σύνθεσις τῶν μύρων ἐκ τούτων. πολυχρονιώτατον δ'
ἐστὶ τό τ' αἰγύπτιον καὶ τὸ ἴρινον καὶ τὸ ἀμαράκινον
καὶ τὸ νάρδινον, πάντων δὲ μάλιστα ἡ στακτή, δια-
μένει γὰρ ὁποσονοῦν χρόνον. μυροπώλης δέ τις ἔφη
παρ' αὐτῷ μεμενηκέναι αἰγύπτιον μὲν ὀκτὼ ἔτη, ἴρι-
νον δὲ εἴκοσι καὶ ἔτι διαμένειν βέλτιον ὂν τῶν ἀκμα-
ζόντων. ἡ μὲν οὖν χρονιότης ἐν τούτοις. τὰ δ' ἄν-* 39
*θινα πάντα ἀσθενῆ. συμβαίνει δὲ τοῖς ἀνθίνοις ἀκμά-
ζειν μὲν ὡς ἐπὶ τὸ πᾶν μετὰ δίμηνον, μεταβάλλειν
δ' ἐπὶ τὸ χεῖρον ἐνιαυτοῦ προελθόντος καὶ περικατα-
λαβούσης τῆς ὥρας ἐν ᾗ τὴν ἀκμὴν λαμβάνει τὸ ἄν-
θος. ἀνὰ λόγον δὲ τῇ ἀσθενείᾳ καὶ τὸ εὐπέπαντα εἶ-
ναι καὶ ὅλως εὐδιάπνευστα· τὰ δ' ἐκ τῶν ῥιζῶν καὶ
τῶν λοιπῶν χρονιώτερα· πλείων γὰρ ἡ ὀσμὴ καὶ ἰσχυ-
ροτέρα καὶ σωματωδεστέρα. διαφθείρει δὲ τὰ μύρα* 40
*καὶ ὥρα θερμὴ καὶ τόπος καὶ ὁ ἥλιος ἂν τεθῶσι· διὸ
καὶ οἱ μυροπῶλαι ζητοῦσι τὰς οἰκίας ὑπερῴους καὶ μὴ
προσηλίους ἀλλ' ὅτι μάλιστα παλισκίους· ἀφαιρεῖται
γὰρ τὰς ὀσμὰς ὁ ἥλιος καὶ τὸ θερμὸν καὶ ὅλως ἐξίστησι
τῆς φύσεως μᾶλλον τοῦ ψυχροῦ· τὸ δὲ ψυχρὸν καὶ ὁ
πάγος εἰ καὶ ἀοσμότερον ποιεῖ διὰ τὸ συστέλλειν, ἀλλ'
οὐκ ἀφαιρεῖταί γε τὴν δύναμιν τελέως. ἡ πονηρὰ γὰρ
φθορὰ καθάπερ τῶν οἴνων καὶ τῶν ἄλλων χυλῶν τῷ
τὸ οἰκεῖον ἀφαιρεῖσθαι θερμόν. διὸ καὶ εἰς ἀγγεῖα* 41
*μολυβδᾶ ἐγχέουσι καὶ τοὺς ἀλαβάστρους ζητοῦσι τοι-
ούτου λίθου· ψυχρὸν γὰρ καὶ πυκνὸν καὶ ὁ μόλυβδος
καὶ ὁ λίθος ὁ τοιοῦτος· καὶ ἄριστος τοῖς μύροις ὁ μά-
λιστα τοιοῦτος. ὥστε δι' ἄμφω τηροῦσι, καὶ τῷ ψυ-*

Digitized by Google

χρῷ καὶ τῷ πυκνῷ, μήτε διιέντες ἔξω τὴν ὀσμὴν μήθ' ὅλως ἐπιδεχόμενοι μηδέν. καὶ γὰρ ἡ ἀναπνοὴ φθείρει καὶ τὸ ἔξωθεν ἐπεισιὸν καὶ ἀλλότριον· ἐπεὶ καὶ τὰ πνεύματα φθείρει καὶ καταναλίσκει καθάπερ ἐλέχθη τὰς ὀσμάς, ἄλλως τε καὶ τὰς μὴ φυσικάς.

42 Cap. X. *Κεφαλαλγῆ δὲ τῶν μὲν πολυτελῶν τὸ ἀμαράκινον καὶ τὸ νάρδινον καὶ μεγαλεῖον, τῶν δ' εὐτελῶν ὅλως μὲν τὰ πλεῖστα μάλιστα δὲ τὸ δάφνινον. ἐλαφρότατα δὲ τὸ ῥόδινον καὶ ἡ κύπρος, ἃ καὶ τοῖς ἀνδράσι μάλιστα ἁρμόττειν δοκεῖ, καὶ πρὸς τούτοις τὸ κρίνον· ταῖς δὲ γυναιξὶν ἡ στακτὴ καὶ τὸ μεγαλεῖον καὶ τὸ αἰγύπτιον καὶ τὸ ἀμαράκινον καὶ τὸ νάρδινον· διὰ γὰρ τὴν ἰσχὺν καὶ τὸ πάχος οὐκ εὐαπόπνοα*
43 *οὐδ' εὐαφαίρετα· ζητοῦσι (γὰρ) τὰ χρόνια. ἐπεὶ δὲ τὰ μὲν ἀσθενῆ τὰ δ' ἰσχυρὰ καὶ ἰσχυρότερα τὰ ἀπὸ τῶν ῥιζῶν καὶ τὰ ἄλλα τὰ προειρημένα, διὰ τοῦτο τὰ μὲν ἄνθινα μὴ τριβόμενα εὐοσμότερα, τὰ δ' ἀπὸ τῶν ῥιζῶν καὶ τὰ λοιπὰ τριβόμενα· τὰ μὲν γὰρ διαπνεῖταί τε καὶ ἅμα διαθερμαινόμενα διὰ τὴν τρίψιν ἐξίσταται καὶ ἀλλοιοῦται τὰ δὲ διὰ τὴν ἰσχὺν ὥσπερ ἀνοιγομένων τινῶν πόρων ἐκ τῆς τρίψεως ἐμφανεστέραν ποιεῖ τὴν*
44 *ὀσμήν. ὃ καὶ ἐπ' αὐτῶν τῶν ῥιζῶν καὶ ὅλως τῶν στερεῶν συμβαίνει καθάπερ ἐλέχθη. κατὰ δὲ τῶν ἀνθῶν ἐναντίως ὥστε ἠκολούθηκεν ἑκάτερα τῇ ἀρχῇ. τὰ δ' ἐκ τῆς σμύρνης εὐλογώτατα δι' ἄμφω· καὶ γὰρ μίγνυται μᾶλλον καὶ (ἡ) θερμότης ἡ τῆς τρίψεως οὐκ ἀλλοτρία μαλακή τις οὖσα· καὶ γὰρ (ἡ) σμύρνα ζητεῖ τινα πύρωσιν. ἁπλῶς δὲ πᾶν τὸ πολύοδμον ἄντ' εὐῶδες ἄντε κακῶδες ἄντ' ὀξὺ ἄντ' ὁποιονοῦν τυγχάνῃ κινούμενον ἐμφανέστερον· τότε γὰρ ὥσπερ ἐνεργείᾳ ἀναμίγνυται μᾶλλον τῷ ἀέρι. τῶν δὲ μύρων τὸ αἰγύπτιον καὶ ἡ στακτὴ καὶ εἴ τι ἄλλο πολύοδμον καὶ*

Digitized by Google

μιγνύμενα τῷ οἴνῳ τῷ εὐώδει ἡδίω· παραιρεῖται γὰρ
ἡ βαρύτης αὐτῶν· ἐπεὶ καὶ ἡ σμύρνη αὐτὴ πρὸς τὴν
ἀναθυμίασιν βρεχθεῖσα ἐν τῷ γλυκεῖ καθάπερ ἐν τοῖς
πρότερον ἐλέχθη. πρὸς δὲ τὰς δυνάμεις σκοπουμένοις 45
δόξειεν ἂν ἄτοπον εἶναι τὸ συμβαῖνον ἐπὶ τοῦ ῥοδί-
νου· κουφότατον γὰρ ὂν καὶ ἀσθενέστατον ἀφανίζει
τὰς τῶν ἄλλων ὀσμὰς ὅταν προμυρισθῶσι· διὸ καὶ οἱ
μυροπῶλαι τοὺς ἐπιδιστάζοντας καὶ μὴ ὠνουμένους
παρ' αὐτῶν ἐπιμυρίζουσι τούτῳ πρὸς τὸ μὴ αἰσθάνε-
σθαι τὰ παρὰ τῶν ἄλλων. αἴτιον δ' ὅτι λεπτότατον
ὂν καὶ προσφιλὲς τῇ αἰσθήσει διὰ τὴν κουφότητα μά-
λιστα διικνεῖται καὶ συμπληροῖ τοὺς πόρους, ὥσθ' ἡ
αἴσθησις κατειλημμένη καὶ πλήρης οὖσα κρίνειν ἀδυ-
νατεῖ. δύο γάρ εἰσι τρόποι τάχα δὲ τρεῖς οἱ κωλύον- 46
τες τὴν κρίσιν. εἷς μὲν ὁ νῦν εἰρημένος· ἄλλος δ' ὁ
ἀπὸ τῶν ἰσχυρῶν ὥσπερ μεθύσκων τὴν αἴσθησιν καὶ
καρηβαρᾶν ποιῶν. τρίτος δ' ὅταν προκαταληφθῇ τῷ
βελτίονι· τὸ γὰρ ἐπεισάγειν τὸ χεῖρον οὐ ῥάδιον· οὐ
δέχεται γὰρ ἡ αἴσθησις ὥσπερ οὐδ' ἐπὶ τῶν χυλῶν καὶ 47
ὅλως τῶν κατὰ τὴν τροφήν. κατισχναίνειν δὲ δοκεῖ
τὸ ῥόδον καὶ τὴν σύνθετον ὀσμήν· ὅταν γὰρ ἀκμάζῃ
τὸ ἄνθος ῥοδίζουσι τὰς συνθέσεις, ἀνοιγόμεναι δ' ἐξό-
ζουσι τούτου μόνου καὶ μάλιστα. παύεται δὲ ταχὺ καὶ
λήγει διὰ τὴν ἀσθένειαν καὶ λεπτότητα δι' ἣν καὶ ἐξό-
ζει τῶν ἄλλων· λεπτὴ γὰρ οὖσα ἡ ἀναπνοὴ καὶ ἠθροι-
σμένη τῇ κατακλείσει προτερεῖ τε τῶν λοιπῶν καὶ δια-
δίδοται πανταχοῦ. διὰ ταὐτὸ δὲ τοῦτο καὶ ἀπολήγει
ταχὺ καὶ κατακρατεῖται πάλιν· ἀσθενεῖ γὰρ τὸ λεπτὸν
καὶ μαλακόν. ποιοῦσι δέ τινες τοῦτο καὶ τῶν οἴνων 48
ὥστε προποθέντες ἀφανίζειν τὴν τῶν ἄλλων ἡδονήν.
ἔνιοι δ' ὥστε μὴ ἐπιδέχεσθαι ῥᾳδίως τοὺς ἄλλους
ὥσπερ ὁ Ἐρυθραῖας ἁλυκός τις ὢν καὶ μαλακός. τὴν

Digitized by Google

αἰτίαν (δὲ) πειρατέον ἐκ τῶν ὁμοίων λαμβάνειν· ἔχει δὲ τοῦτ' ἴδιον τὸ ῥόδινον ὥσπερ σχεδὸν καὶ μικρῷ πρότερον εἴρηται· τὰ μὲν γὰρ ἄλλα πάντ' ἢ τὰ πλεῖστα κεφαλαλγῆ, τοῦτο δ' ὥσπερ ἐλέχθη λυτικὸν καὶ βά-
49 ρους καὶ ἀλγηδόνος καὶ τῆς ἀπὸ τῶν μύρων. ἡ δ' αἰτία φανερὰ διὰ τῶν προειρημένων εἴπερ ἐπικρατεῖ καὶ διαδύεται πανταχοῦ. τὰ μὲν γὰρ ἄλλ' ὅσα κεφαλαλγῆ βαρέα διὰ τὸ ἐκ τοιούτων συγκεῖσθαι τὰ μὲν ῥιζῶν τὰ δ' ὀπῶν· τοῦτο δὲ καὶ τῇ ὀσμῇ ἐλαφρὸν καὶ τῇ θερμότητι σύμμετρον εἰς τὸ συμπέψαι καὶ διανοῖξαι τοὺς πόρους. οἱ γὰρ δὴ πόνοι τῆς κεφαλῆς ἢ καθυγραινομένης ἢ πνευματουμένης τῷ ἐναπολαμβάνεσθαι, ὥστε
50 τὸ μὲν ἐκκρῖναι δεῖ τὸ δὲ πέψαι ἢ ἀφελεῖν. πρὸς ἅπαντα δὲ ἡ θερμότης χρήσιμον καὶ εἰς ἀφαίρεσιν καὶ ἔτι μᾶλλον εἰς τὸ πέττειν καὶ διανοίγειν τοὺς πόρους, εἰς ἃ συμβάλλεται τὸ ἐν τῷ ἁλὶ πεποιῆσθαι· καὶ γὰρ ἀναστομοῦσι καὶ διαθερμαίνουσιν οἱ ἅλες. ἡ δ' εὐοσμία καὶ ὁρμήν τινα ποιεῖ πρὸς τὴν κίνησιν. ἀγαθὸν δὲ καὶ δοκεῖ πρὸς τοὺς κόπους εἶναι τῇ θερμότητι σύμμετρον ὂν καὶ τῇ κουφότητι καὶ τῇ διαδύσει πρὸς τοὺς ἐντὸς πόρους· ὥς δέ τινές φασιν οὐχ ἧττον ἡ κύπρος ἔτι τούτου· μαλακὴ γὰρ ἡ ὀσμὴ καὶ προσφιλὴς τῷ χρωτὶ καὶ ἡ ταύτης. καὶ ταῦτα μὲν καὶ τὰ ὅμοια τούτοις ὥσπερ ἴδια ἂν εἴη.

51 Cap. XI. Τοῦ ῥοδίνου δὲ αἱ μίξεις καὶ ἐν ταῖς ὀσμαῖς καὶ ἐν τοῖς χυμοῖς ἐὰν ἡρμοσμέναι τυγχάνωσιν ἔχουσί τινα χρείαν, αἱ μὲν ἀφαιροῦσαι τὴν βαρύτητα καὶ τὴν ἰσχὺν, αἱ δ' εὐοδμίαν τινὰ αἱ δὲ γλυκύτητα ἐμποιοῦσαι καθάπερ καὶ ἐπὶ τῶν οἴνων. καὶ γὰρ ὁ ἐν Θάσῳ ὁ ἐν τῷ πρυτανείῳ διδόμενος, θαυμαστός τις ὡς ἔοικε τὴν ἡδονὴν, ἠρτυμένος ἐστίν· ἐμβάλλουσι γὰρ εἰς τὸ κεράμιον σταῖς μέλιτι φυράσαντες, ὥστε τὴν

μὲν ὀσμὴν ἀπ' αὐτοῦ, τὴν δὲ γλυκύτητα ἀπὸ τοῦ σταιτὸς λαμβάνειν τὸν οἶνον. συμβαίνειν δὲ τοῦτο καὶ 52
κατὰ τὰς τῶν οἴνων μίξεις· οἷον ἐάν τις κεράσῃ σκληρὸν καὶ εὔοσμον μαλακῷ καὶ ἀόσμῳ, καθάπερ τὸν ἡρακλεώτην καὶ τὸν ἐρυθραῖον, τοῦ μὲν τὴν μαλακότητα τοῦ δὲ τὴν εὐοσμίαν παρεχομένου· συμπίπτει γὰρ ἅμα τὰ κακὰ ἀλλήλων ἀφανίζειν τῇ μαλακότητι θατέρου. πολλὰς δὲ καὶ ἄλλας οἱ ἔμπειροι λέγουσι καὶ ἴσασι μίξεις. ὃ καὶ ἐπὶ τῶν ὀσμῶν εὔλογον συμβαίνειν καὶ ἐπὶ τῶν χρωμάτων ἄν τις λαμβάνῃ τὰς ἁρμοττούσας μίξεις. τοῦτο μὲν οὖν ἴδιον τοῦ ῥοδίνου.
τὸ δὲ κοινὸν ἐπὶ πάντων ἀπόρημα τί δή ποτε ἀπὸ τοῦ 53
καρποῦ τῆς χειρὸς ἥδιστα φαίνεται, διὸ καὶ οἱ μυροπῶλαι τοῦτο μυρίζουσι τὸ μέρος. τὴν δ' αἰτίαν ἐκ τοῦ ἐναντίου ληπτέον ὅτι τὸ θερμὸν ἐξίστησι καὶ ἀλλοιοῖ· ταχεῖα δ' ἤδη ἡ αἴσθησις τοῖς μύροις ἀναμιγνυμένοις τῷ χρωτί. ἀπορεῖται δὲ διότι οἱ μὴ εἰωθότες μυρίζεσθαι 54
μᾶλλον ἐξόζουσι τῶν συνεχῶς μυριζομένων· εἴη μὲν γὰρ ἂν λέγειν καὶ ὅτι φαντασίαι καὶ οὐκ ἀλήθειαι διὰ τὸ μὴ εἰωθός· εἰ δ' οὖν καὶ ἀληθὲς ἔοικε τὸ μὲν οἷον συναναμίγνυσθαι πλείοσιν ὀσμαῖς ἑτέραις ὑφ' ὧν ἀμαυροῦται, συγκαταμιγνυμένου καὶ τοῦ χρωτὸς, τὸ δὲ ὥσπερ ἀκέραιον δέχεσθαι τὸ μανὸν καὶ ἐκφαίνειν τῇ αἰσθήσει χρονιζόμενον. εἴη δ' ἂν καὶ ἐναντίως λαβεῖν ὡς ἧττον δεχομένου διὰ τὸ ἀσύνηθες, βραδύτερον δ' ἀναμιγνύμενα πλείω χρόνον ἐξόζειν. καὶ τοῦτο μὲν ἔλαττον καὶ οὐ φανερῶς ὁμολογούμενον. ἅπτεται 55
δὲ μάλιστα τοῦ χρωτὸς καὶ κεφαλῆς καὶ τῶν ἄλλων καὶ πλεῖστον χρόνον ἐμμένει τὰ ἰσχυρότατα ταῖς ὀσμαῖς, οἷον μεγαλεῖον, αἰγύπτιον, ἀμαράκινον· τὰ ο' ἀσθενῆ καὶ (οὐ) πολύοδμα κούφην ἔχοντα τὴν ἀναπνοὴν ταχεῖαν ποιεῖ καὶ τὴν ἀπόλειψιν, ὥσπερ τό τε ῥόδινον

Digitized by Google

56 καὶ ἡ κύπρος. ἔνια δὲ καὶ εἰς τὴν ὑστεραίαν οὐ χεῖρον ὄζει, διαπεπνευκυίας εἴ τις ἐνῆν βαρύτης. τὰ δὲ καὶ ὅλως ἔμμονα μᾶλλον ὥσπερ ἡ νάρδος καὶ τὸ ἴρινον, πάντων δὲ μάλιστα (τὰ) ἰσχυρότατα. καὶ τὰ μὲν ἔν τε τοῖς λουτροῖς καὶ τῇ ἀνέσει διατηρεῖ πως τὴν ὀσμὴν ἢ οὐ συγκακύνει· τὰ δὲ κακυνόμενα πλείω ποιεῖ δυσωδίαν αὐτῶν τῶν ἱδρώτων ὡς ἂν σήψεώς τινος ἢ διαφθορᾶς γινομένης. καὶ τὰ μέν περὶ τῆς τῶν μύρων ποιήσεώς τε καὶ δυνάμεως ἐπὶ τοσοῦτον εἰρήσθω.

57 Cap. XII. Τὰ δὲ περὶ τὴν τῶν ξηρῶν μίξιν ἐξ ὧν (τὰ) διαπάσματα καὶ αἱ συνθέσεις οὐκ ἔτι ζητεῖ μίξιν τῶνδέ τινων ὡρισμένων ἀλλ' ὅσῳ ἄν τις πλείω καὶ ποικιλώτερα μίξῃ τοσούτῳ καὶ ἡ ὀσμὴ λαμπροτέρα καὶ ἡδίων, ὥσπερ καὶ ἐξ αὐτῶν τῶν ἀρωμάτων τῶν προχείρων· εἰς ταὐτὸ γὰρ μιγνύντες ἅπαντα χρῶνται. ζητοῦσι δ' ἐν τούτοις καὶ σπεύδουσιν ὥστε μὴ ἑνὸς ἀλλὰ πάντων κοινήν τινα τὴν ὀσμὴν εἶναι. διὸ καὶ ἀνοίγοντες διά τινων ἡμερῶν τὸ ἐξόζον ἐξαιροῦσιν ἀεὶ καὶ τῶν ἰσχυρῶν ἐλάττω μιγνύουσιν ὥσπερ ... τὰ δ' ὅλως οὐ μιγνύουσιν ὥσπερ τὸ ἐρυσίσκηπτρον ὑπὲρ οὗ
58 καὶ ἀρτίως ἐλέχθη. βρέχουσι δὲ συντιθέντες τῷ οἴνῳ τῷ εὐώδει· ἔοικε δ' οὖν χρήσιμος εἶναι πρὸς τὰς εὐοσμίας εἴ γε καὶ οἱ μυρεψοὶ χρῶνται. μένουσι δὲ πολὺν χρόνον αἱ συνθέσεις. ἡ δὲ χρῆσις τούτων μὲν εἰς τὴν τῶν ἱματίων ὀσμὴν τῶν δὲ διαπασμάτων εἰς τὴν στρωμνὴν ὅπως πρὸς τὸν χρῶτα προσπίπτῃ· καὶ γὰρ ἅπτεται μᾶλλον καὶ ἐμμονώτερον τοῦτο καὶ ὥσπερ ἀντ' ἐκείνου τοῦτο ποιοῦσιν. οἱ δὲ πρότερον ἐνέβαλον οἴνῳ καταβρέχοντες εὐώδει πρὸς τὸ παραιρεῖσθαι τὴν ὀσμήν, ἔνια δὲ καὶ μελικράτῳ καὶ οἴνῳ μιγνύντες ἀνέδευον, τὰ δὲ καὶ αὐτῷ τῷ μελικράτῳ. τὸ γὰρ ὅλον ἄμφω

Digitized by Google

ταῦτα συνεργεῖ πρὸς εὐοσμίαν. διαμένουσι δὲ αἱ συνθέσεις. φανερὸν δ' ἐκ τούτων ὅπερ καὶ πρότερον ἐλέχθη διότι τὰ ξηρὰ καὶ εὐοσμότερα πρὸς ἄλληλα (μιχθέντα) ταῖς ὀσμαῖς. εὐλόγως δὲ τὰ μύρα φαρμακώδη 59
διὰ τὴν τῶν ἀρωμάτων δύναμιν· καὶ γὰρ τὰ ἀρώματα (61)
τοιαῦτα. δηλοῖ δὲ τά τε καταπλάσματα καὶ ἃ δή τινες μαλάγματα καλοῦσιν οἵας ἀποδείκνυται δυνάμεις τά τε φύματα καὶ τὰ ἀποστήματα διαχέοντα καὶ ἄλλα πλείω τῶν κατὰ τὸ σῶμα διαλλοιοῦντα ἐπιπολῆς μὲν ἀλλὰ καὶ τὰ ἐν βάθει οἷον ἄν τις καταπλάσῃ τὰ ὑποχόνδρια καὶ τὸ στῆθος εὐθὺς σὺν τοῖς ἐρυγμοῖς ἀποδίδωσιν εὐώδεις τὰς ὀσμάς. ἔνια δὲ καὶ εἰς οὔρησιν 60
ἄγει συνεξόζειν ποιοῦντα αὐτά. ἔτι δὲ τούτου μεῖζον (62)
ὅτι καὶ ἀπὸ τῆς κεφαλῆς ἄν τις καταπλάσῃ δίδωσι τὴν ὀσμὴν εἰς τὰ οὖρα τὰ ἀπὸ τῶν ἀρωμάτων. ἐπεί γε κοιλίαν κινεῖ καὶ ἡ ἶρις ὥσπερ ἐλέχθη. πάντα δὲ ταῦτα ποιεῖ καθάπερ πολλάκις εἴρηται διὰ τὸ (τὰ) φύσει στρυφνὰ καὶ ὑπόπικρα θερμαντικὰ καὶ εὐδίοδα πρὸς τοὺς πόρους εἶναι. τμητικὰ γὰρ ὄντα καὶ θερμαντικὰ καὶ στύφειν ἅμα καὶ θερμαίνειν δυνάμενα καὶ ἐξάγειν καὶ ἐκπέττειν δύναται καὶ τὸ ὅλον ἀλλοιοῦν καὶ μεταβάλλειν.

Cap. XIII. Αἱ δὲ τῶν ζώων ὀσμαὶ κατὰ τὰς ἰδίας 61
γίνονται φύσεις· ἑκάστῳ γάρ ἐστί τις οἰκεία κατὰ τὴν (59)
κρᾶσιν. αὗται δ' ἡδεῖαι μὲν καὶ καθαραὶ [καὶ] κατὰ τὰς ἀκμὰς καὶ ὅταν εὖ ἔχωσιν ἑαυτῶν, ἔτι δὲ ἡδίους ἁπαλῶν καὶ νέων ὄντων. πλεῖσται δὲ καὶ κακωδέσταται περὶ τὰς ὀχείας καὶ ὅλως συντηκομένων καὶ καμνόντων σωμάτων· διὸ καὶ οἱ τράγοι καὶ οἱ ἔλαφοι 62
καὶ λαγοὶ καὶ τἆλλα τότε μάλιστα ὄζει. θαυμαστὸν δὲ (60)
καὶ ἴδιον τὸ συμπάσχειν τὰς τραγέας ὅταν ἡ ὥρα καθήκῃ τῆς ὁρμῆς. αἴτιον δὲ δηλονότι τὸ ὑπολείπεσθαί

Digitized by Google

τινα ἐν τῷ δέρματι δύναμιν ἢ ὑγρότητα τοιαύτην ἀφ' ἧς ἡ ὁρμὴ γίνεται καὶ ζώντων· κινουμένης οὖν καὶ διαθερμαινομένης ταύτης ὑπὸ τοῦ ἀέρος εὔλογον καὶ τὰ δέρματα καθ' ὅσον ἐπιβάλλει (κινεῖσθαι). διὸ καὶ ὡς πρῶτον αἴτιον ἡ διάθεσις· τότε γὰρ καὶ οἱ μὴ ὀχεύοντες ὄζουσι καὶ οἱ ἄγονοι καὶ αἱ αἶγες ὅλως. ἡ δ' ὀχεία τότε μὲν μεγάλην μερίδα συμβάλλεται, καθ' αὑτὴν δ' αἰτία γί-
63 νεται ἡ διάθεσις. συμβαίνει δὲ τρόπον τινὰ καὶ ἐν ἄλλοις ἡ τοιαύτη συμπάθεια· καὶ γὰρ ὁ οἶνος ἅμα τῇ σταφυλῇ δοκεῖ συνανθεῖν καὶ τὰ σκόροδα καὶ τὰ κρόμυα τότε δριμύτατον ὄζειν ὅταν (τὰ) ἐν τῇ γῇ βλαστάνῃ· πλὴν τούτοις ἅμα συμβαίνει καὶ αὐτοῖς βλαστάνειν. ὅλως δὲ πάντα κινεῖται τὰ φλοιόριζα καὶ σαρκόριζα μὴ ἀπεξηραμμένα κατὰ τὰς βλαστητικὰς ὥρας· ἡ γὰρ ἐνυπάρχουσα δύναμις ἐν αὐτοῖς κινεῖται. θαυμασιώτατον δὲ τῶν τοιούτων τὸ ἐπὶ τοῦ στέατος τῆς ἄρκτου συμβαῖνον, εἴπερ ἅμα ταῖς φωλίαις ἐπαίρεται καὶ ἐκπληροῖ τὰ ἀγγεῖα.

64 Cap. XIV. Τί δή ποτε Δημόκριτος τοὺς μὲν χυμοὺς πρὸς τὴν γεῦσιν ἀποδίδωσι τὰς δ' ὀσμὰς καὶ τὰς χρόας οὐχ ὁμοίως πρὸς τὰς ὑποκειμένας αἰσθήσεις; ἔδει γὰρ ἐκ τῶν σχημάτων. ἢ τοῦτό γε πρὸς ἅπαντας κοινόν; ἅπαντες γὰρ οἱ μὲν μόνης οἱ δὲ μάλιστα ταύτης τὰ πάθη λέγουσι καὶ τὰς διαφορὰς, ὡς ἐν χρώμασι λευκὸν καὶ μέλαν, καὶ ἐν χυμοῖς γλυκὺ καὶ πικρὸν, οὐχ οὕτω δ' ἐν ὀσμαῖς· οὐδὲν γὰρ πλὴν τό τ' εὔοσμον καὶ τὸ κάκοσμον. οὐδ' ἐν ἁπτοῖς· πλείω γὰρ εὐθὺ τὰ ὑποκείμενα, σκληρὸν μαλακὸν τραχὺ λεῖον.
65 ἀλλὰ μᾶλλον ἐν φωναῖς, ὀξὺ καὶ βαρύ. ἔτι δὲ τὰ μὲν μικτὰ τὰ δ' ἄμικτα. ἄμικτοι χυλοὶ οἱ μὲν τῷ μὴ καταμερίζεσθαι ὥστ' ἐξ ἀμφοῖν (ἓν γίνεσθαι), οἷον ὕδωρ ἔλαιον, φλέγμα αἷμα, ὅλως πᾶν τὸ ἐπινέον ἢ τὸ διαι-

Digitized by Google

ῥοῦν, ὥσπερ τὸ ὄξος καὶ τὸ γάλα. τὸ γὰρ τῇ πιέσει καὶ
τρίψει μιγνύμενον ἕτερον εἶδος. ἄλλον δὲ τρόπον οἱ
μὴ εὔμικτοι πρὸς τὴν χρείαν ἢ καὶ λυμαινόμενοι ἀλλή-
λους οἷον ἡ θάλαττα καὶ τὰ νιτρώδη καὶ πικρὰ ὕδατα
τοὺς οἴνους καὶ τὰ πότιμα ἐὰν μὴ εὐθὺς χρῆταί τις.
ὀσμαὶ δὲ αἱ μὲν οὕτως ἄμικτοι πλείους καὶ ὥστε καθ- 66
όλου λαβεῖν αἱ κακώδεις ταῖς κακώδεσι. ὡς δὲ βέλ-
τιόν τι τὸ ἐξ ἀμφοῖν ἔργον εὑρεῖν εἰ μὴ ἀδύνατον, εἰς
τὴν τοιαύτην δὲ δύναμιν ἅπαν ὡς εἰπεῖν πρὸς πᾶν
εὔοσμον. ἀλλ᾽ ἔνθα μὲν ἴσως χείρω ποιεῖ ἔνθα δὲ
βελτίω καθάπερ ἐπὶ τῶν μύρων· τὰ μὲν γὰρ ἀφαιρεῖ-
ται τὸ ἄκρατον καὶ σκληρὸν, τὰ δ᾽ ἀποθηλύνει καὶ
ὥσπερ ἐξυδατοῖ τὰς ὀσμάς. ἐν δὲ τοῖς ξηροῖς ἅπα-
σαι πάσαις μικταί. τὰ γὰρ διαπάσματα ὅσῳ ἂν ᾖ πλει- 67
όνων ἀμείνω. ποιεῖ δὲ καὶ ἡ τοῦ οἴνου κατάμιξις καὶ
μύρα ἔνια καὶ θυμιάματα εὐοσμότερα καθάπερ τὴν
σμύρναν. δοκεῖ δὲ καὶ τὸ μύρον ἡδύνειν τοὺς οἴνους,
διὰ καὶ οἱ μὲν ἐν τῇ οἰνοποιΐᾳ μιγνύουσιν οἱ δὲ οὕ-
τως ἐπιχεόμενον πίνουσιν. οὐκ ἄλογον δὲ συνέγγυς
τὰς αἰσθήσεις οὔσας καὶ ἐν τοῖς αὐτοῖς ὑποκειμένοις
ἔχειν τινὰ ἐπικοινωνίαν· ὡς γὰρ ἐπὶ τὸ πᾶν οὐδεὶς οὔτε
χυλὸς ἄοσμος οὔτε ὀσμὴ ἄχυλος· τοῦτο δὲ ὅτι οὐδεμία
ἐκ μὴ ἔχοντος χυλόν. συμβαίνει δὲ καὶ μεταβάλλειν 68
τὰς ὀσμὰς ἅμα τοῖς χυλοῖς ὥσπερ ἐπί τε τοῦ οἴνου καὶ
ἐπὶ καρπῶν τινῶν· ἐνίων δὲ καὶ ἐν τῷ ἄνθει πρότε-
ρον ὥσπερ τῶν βοτρύων· ἡ δὲ τῶν μύρων εἰς ἀκμὴν
μόνον καὶ οἷον φθίσιν. μετακινοῦνται δ᾽ ἐν ταῖς ἐτεί-
αις ὥραις πάνθ᾽ ὡς εἰπεῖν, μάλιστα δὲ τὰ ἀσθενέ-
στατα, τὰ δ᾽ ἄνθινα καθ᾽ ἣν ὥραν ἀνθεῖ τὸ ἄνθος. 69
τὰς συνθέσεις ποιοῦσιν ἐκ τῶν ἀρωμάτων· θραύσαν-
τες πολλὰ καὶ μίξαντες εἰς ταὐτὸ κλείουσιν εἰς κιβώ-
τιον, εἶτ᾽ ἀνοίγοντες διά τινων ἡμερῶν ὅτι ἂν μάλιστα

Digitized by Google

ὄζειν δοκῇ τοῦτ᾽ αἴρουσι, καὶ πάλιν δὲ καὶ πάλιν διαλείποντες χρόνον ὅπως ἂν μηδενὸς ἐξόζῃ. θαυμαστὴν δ᾽ ὀσμὴν λαμβάνει τὰ ἱμάτια εἰς ταῦτα τιθέμενα. τὸ δὲ τῆς βαλάνου τῆς αἰγυπτίας μύρον αὐτὸ μὲν οὐκ ἄγαν ἀναπνεῖ, μιγνύμενον δὲ ποιεῖ τἆλλα βελτίω

70 μάλιστα δὲ τὴν ἶριν ..... ἐν τῇ ἐρυθρᾷ θαλάττῃ διακοπτομένων τῶν λίθων ἔνδον ἐμπεφυκότα φαίνεται ἰχθύδια καὶ καρίδες καὶ ἄλλ᾽ ἄττα ζῶα ἐπικλη .....

71 Ἀθήνησι λέγειν εἰς ταῦτα χαλκὸν κοῖλον ἐμβάλλεσθαι σίδηρον ὁμοίως ἐρυθρὸν καὶ λευκόν. εἶναι δέ τινα λόγον πρὸς τὸν καττίτερον· συμβάλλεσθαι δ᾽ οὐ μεγέθους χάριν ἀλλὰ τῆς πικρότητος ....

Fr. V. *ΠΕΡΙ ΑΝΕΜΩΝ.*

1 Cap. I. Ἡ τῶν ἀνέμων φύσις ἐκ τίνων μὲν καὶ πῶς καὶ διὰ τίνας αἰτίας γίνεται τεθεώρηται πρότερον· ὅτι δ᾽ ἑκάστοις αἱ δυνάμεις καὶ ὅλως τὰ παρακολουθοῦντα κατὰ λόγον ἀκολουθεῖ πειρᾶσθαι χρὴ λέγειν οἷσπερ σχεδὸν διαφέρουσιν ἀλλήλων. αἱ γὰρ διαφοραὶ περὶ ταῦτα καὶ ἐν τούτοις, οἷον μέγεθος μικρότης, ψυχρότης θερμότης, ἁπλῶς τὸ χειμερινὸν ἢ εὐδιεινὸν καὶ ὑέτιον ἢ αἴθριον· ἔτι δὲ τὸ πολλάκις ἢ ὀλιγάκις, καθ᾽ ὥραν ἢ τὸ μὴ ἀεὶ πνεῖν καὶ συνεχεῖς καὶ ὁμαλεῖς ἢ διαλείποντας καὶ ἀνωμαλεῖς. καὶ ὅλως ἃ συμβαίνει περὶ τὸν οὐρανὸν ἢ περὶ τὸν ἀέρα καὶ τὴν γῆν καὶ τὴν θάλατταν διὰ τὴν πνοήν. ὡς γὰρ [ἂν] ἁπλῶς εἰπεῖν ἐν τούτοις καὶ περὶ ταῦτα τυγχάνουσιν αἱ ζητήσεις, ἐν οἷς καὶ τὰ περὶ τῶν ζώων καὶ φυτῶν

Digitized by Google

ἐμπεριλαμβάνεται. ἐπεὶ δ' ἑκάστου τόπος ἴδιος ὑπο- 2
κεῖται καὶ τοῦθ' ὥσπερ τῆς οὐσίας, ἀπὸ τούτου ὡς ἁπλῶς εἰπεῖν καὶ αἱ διαφοραὶ καὶ αἱ δυνάμεις αἱ καθ' ἕκαστον [εἰπεῖν], οἷον πρῶτον ἡ τοῦ μεγέθους καὶ σμικρότητος, καὶ ψυχρότητος καὶ θερμότητος, καὶ πλήθους καὶ ὀλιγότητος καὶ τῶν ἄλλων τῶν πλείστων. ὑπάρχει δὲ ταὐτὰ τὰ δ' ἐναντία τοῖς ἐναντίοις, ἀμφότερα δ' εὐλόγως. οἷον τῷ βορέᾳ καὶ τῷ νότῳ· μεγάλοι μὲν γὰρ ἄμφω καὶ πλεῖστον χρόνον πνέουσι διὰ τὸ συνωθεῖσθαι πλεῖστον ἀέρα πρὸς ἄρκτον καὶ μεσημβρίαν, πλαγίων ὄντων πρὸς τὴν τοῦ ἡλίου φορὰν τὴν ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς· ἐξωθεῖται γὰρ ἐνταῦθα τῇ τοῦ ἡλίου δυνάμει, διὸ καὶ πυκνότατος καὶ συννεφέστατος ὁ ἀήρ. ἀθροιζομένου δ' ἐφ' ἑκάτερα πολλοῦ καὶ πλείων ἡ ῥύσις καὶ συνεχεστέρα γίνεται πλεονάκις, ἀφ' ὧν τά τε μεγέθη, καὶ ἡ συνέχεια καὶ τὸ πλῆθος αὐτῶν καὶ ἄλλο
τοιοῦτόν ἐστιν. ἡ δὲ ψυχρότης καὶ θερμότης ἐμφανέ- 3
σταται δόξαιεν ἂν εἶναι διὰ τοὺς τόπους, γινόμεναι· ψυχρὰ γὰρ τὰ πρὸς ἄρκτον τὰ δὲ πρὸς μεσημβρίαν ἀλεεινά, τὸ δ' ἀφ' ἑκατέρων ῥέον ὅμοιον. ἅμα γὰρ καὶ ἧττον ἀναπεπταμένον τὸ σύνεγγυς καὶ μὴ ἀναπεπταμένη ἡ φορά, τὸ δὲ διὰ στενοῦ καὶ σφοδροτέρως φερόμενον ψυχρότερον, τὸ δ' εἰς τὸ πόρρω διακεχυμένον· μᾶλλον καὶ ἀνειμένον. διὸ καὶ ὁ νότος ἐκεῖ ψυχρότερος ἢ παρ' ἡμῖν, ὡς δέ τινές φασι καὶ μᾶλλον ἢ βορέας. ποιεῖ δέ τι καὶ ἡ μεταβολὴ πρὸς φαντασίαν ἀλε-
εινοῦ προϋπάρχοντος τοῦ τόπου. καὶ τοῦτο μὲν κοι- 4
νὸν ὡς εἰπεῖν πᾶσι. τὸ δ' ὑέτιον καὶ αἴθριον ἑκατέρου καὶ τὸ κυματῶδες καὶ ἄκυμον καὶ πυκνὸν καὶ συνεχὲς καὶ ἀνωμαλὲς καὶ ὅμαλον, ἔτι δὲ τὸ μέγεθος τοῦ μὲν ἀρχομένου τοῦ δὲ λήγοντος πρὸς τὴν ἀπόστασιν τῶν τόπων ἀποδίδοται μᾶλλον. ὅθεν μὲν γὰρ ἕκαστος

Digitized by Google

πνεῖ παρ' ἐκείνοις αἴθριος, ὅποι δ' ἀπωθεῖ τὸν ἀέρα
παρ' ἐκείνοις ἐπινεφὴς καὶ ὑέτιος. διόπερ ὁ μὲν βο-
ρέας καὶ μᾶλλον οἱ ἐτησίαι τοῖς πρὸς μεσημβρίαν καὶ
ἀνατολὴν οἰκοῦσιν ὑέτιοι ὁ δὲ νότος καὶ ἁπλῶς εἰπεῖν
οἱ ἐξ ἐκείνου τοῦ τόπου πνέοντες τοῖς πρὸς ἄρκτον.
5 οὐ μικρὰ δ' ἐνταῦθα ἀλλὰ μεγίστη ῥοπὴ τὸ τὰς χώρας
ὕψος ἔχειν, ὅπου ἂν προσκόψῃ τὰ νέφη καὶ λάβῃ
στάσιν, ἐνταῦθα καὶ ὕδατος γένεσις. διὸ καὶ τῶν σύν-
εγγυς τόπων ἄλλοι παρ' ἄλλοις ὑέτιοι τῶν ἀνέμων.
ἀλλὰ περὶ μὲν ὑδάτων ἐν ἑτέροις εἴρηται διὰ πλειό-
νων. ἐκ τῆς αὐτῆς δ' αἰτίας καὶ ὁ μὲν βορέας εὐθὺς
ἀρχόμενος μέγας ὁ δὲ νότος λήγων, ὅθεν καὶ ἡ παροι-
μία συμβουλεύει τὰ περὶ τοὺς πλοῦς. ὁ μὲν γὰρ εὐ-
θὺς οἷον ἐπίκειται τοῖς περὶ ἄρκτον οἰκοῦσιν ὁ δὲ μα-
κρὰν ἀφέστηκε· χρονιωτέρα δ' ἡ τῶν ἄπωθεν ἀπορροὴ
καὶ ὅταν ἀθροισθῇ πλῆθος. τοῖς γὰρ περὶ Αἴγυπτον
καὶ τοὺς τόπους ἐκείνους ἀνάπαλιν ὁ νότος ἀρχόμενος
μέγας, ὅθεν καὶ τὴν παροιμίαν ἐναντίως λέγουσιν.
6 ὡσαύτως δὲ καὶ τὸ πυκνὸν καὶ ἄκυμον καὶ συνεχὲς
καὶ ὁμαλὲς ἐκείνοις ὁ νότος ποιεῖ μᾶλλον· ἀεὶ γὰρ τοῖς
ἐγγὺς ἕκαστος τοιοῦτος τοῖς δὲ πόρρω καὶ ἀνωμαλὴς καὶ
διεσπασμένος. τούτων μὲν οὖν τὰς εἰρημένας αἰτίας
ὑποληπτέον αἵπερ ἐμφανεῖς καὶ κατ' ἄλλους τόπους εἰ-
σὶν ἐλάττους καὶ ἔλαττον ἀπέχοντας ἀλλήλων· τοῦτο δ'
ἂν καὶ δόξειεν ἄλογον εἶναι. ὁ μὲν γὰρ νότος ἀεὶ τοῖς
ἑαυτοῦ τόποις αἴθριος, ὁ δὲ βορέας ὅταν ᾖ χειμὼν μέγας
7 ἐν μὲν τοῖς πλησίον συννεφὴς ἔξω δ' αἴθριος. αἴτιον
δ' ὅτι διὰ μὲν τὸ μέγεθος πολὺν ἀέρα κινεῖ τοῦτον δὲ
φθάνει ἐκπηγνὺς πρὶν ἀπῶσαι· παγέντα δὲ μένει τὰ
νέφη διὰ βάρος· εἰς τὰ ἔξω (δὲ) καὶ πορρωτέρω τὸ μέ-
γεθος μᾶλλον ἡ ψυχρότης διαδίδοται καὶ τοῦτο ἐργά-
ζεται. ὁ δὲ νότος ἧττόν τε ἔχων ὕλην καὶ ταύτην οὐ

Digitized by Google

πηγνὺς ἀλλ' ἀπωθῶν αἰθρίαν ἄγει τοῖς πλησίον· ὑετιώτερος δ' ἀεὶ τοῖς πόρρω μέγας πνέων καὶ λήγων μᾶλλον ἢ ἀρχόμενος, ὅτι ἀρχόμενος μὲν ὀλίγον ἀέρα ἀπωθεῖται προϊὼν δὲ πλείω, καὶ οὕτως ἀθροιζόμενος ἐκνεφοῦταί τε καὶ πυκνωθεὶς ὑδάτινος γίνεται. ἔτι δὲ καὶ τὸ ἀπ' ἐλάττονος ἢ μείζονος ἀρχῆς ἄρχεσθαι διαφέρει· μικρᾶς μὲν γὰρ οὔσης αἴθριος, μεγάλης δ' ἐπινεφὴς καὶ ὑέτιος διὰ τὸ πλείω συνωθεῖν ἀέρα.

Cap. II. Τὸ δὲ μὴ πνεῖν κατ' αὐτὴν τὴν Αἴγυ- 8
πτον (τὴν) πρὸς θάλατταν τὸν νότον ὥς τινές φασι μηδ' ὅσον ἡμέρας ἀπέχοντα καὶ νυκτὸς δρόμον, ἀλλὰ τὰ ὑπὲρ Μεμφίδος λαμπρὸν, ὁμοίως δὲ καὶ ἃ ἂν ἀπέχῃ τοσοῦτον, οὐκ ἀληθὲς μὲν εἶναί φασιν ἀλλὰ ψεῦδος· οὐ μὴν ἴσως γε ἀλλ' ἔλαττον πνεῖ. τὸ δ' αἴτιον ὅτι κοίλη τὰ κάτω ἡ Αἴγυπτος ὥσθ' ὑπερπίπτειν αὐτῆς, τὰ δ' ἄνω ὑψηλοτέρα. ἐπεὶ τό γε σύνεγγυς ἀπαιτεῖ τὸ μέγεθος· τὰ γὰρ τοιαῦτα μάλιστα ἐκ τῶν τόπων ἀποδοτέον ἅπερ κατὰ φύσιν ἔχει. διαμένει δ' ἐπινεφῆ καὶ αἴθρια τὰ πνεύματα ταῦτα ὁμοίως ὥσπερ ἀρτίως ἐλέχθη. τὸ δὲ τὸν βορέαν ἐπιπνεῖν τῷ νότῳ, τὸν δὲ 9
νότον μὴ τῷ βορέᾳ, πρὸς ἐκείνην τὴν αἰτίαν ἀνακτέον τὴν μερίζουσαν ἑκάτερα κατὰ τοὺς τόπους· παρ' ἡμῖν γὰρ τοῦτο συμβαίνει καὶ ὅλως τοῖς ὑπὸ τὴν ἄρκτον οἰκοῦσιν, τοῖς δὲ πρὸς μεσημβρίαν ἀνάπαλιν. αἴτιον δ' ἀμφοῖν τὸ αὐτό· τοῖς μὲν γὰρ ὁ βορέας τοῖς δ' ὁ νότος πλησίον, ὥστ' εὐθὺς ἀρχόμενοι ποιοῦσιν αἴσθησιν, εἰς δὲ τὰ πόρρω βραδέως διικνοῦνται. πλείστων δ' ὄντων 10
ὥσπερ εἴρηται βορείων καὶ νοτίων ἑκατέρων οἷον τάξις, ἐν οἷς χρόνοις μάλιστα πνέουσι κατὰ λόγον ... μέχρι τοῦ λήγειν, τοῖς δὲ νοτίοις κατὰ χειμῶνά τε καὶ ἀρχομένου (ἔαρος) καὶ μετοπώρου λήγοντος. καὶ γὰρ αἵ τε τοῦ ἡλίου φοραὶ συνεργοῦσιν ἀμφοτέροις καὶ ἡ ἀντα-

Digitized by Google

πόδοσις γίνεται καθάπερ παλιρροοῦντος τοῦ ἀέρος·
ὃ γὰρ (ἂν) ἀπωσθῇ κατὰ χειμῶνα — πλείους γὰρ ὡς
ἐπίπαν βόρειοι πνέουσι —, καὶ ἔτι πρότερον τοῦ θέ-
ρους ὑπὸ τῶν ἐτησίων καὶ τῶν ἐπὶ τούτοις, ἀνταπο-
δίδοται πάλιν τοῦ ἦρος εἰς τούσδε τοὺς τόπους, καὶ
λήγοντος μετοπώρου καὶ περὶ πλειάδος δύσιν ἀνὰ λό-
11 γον. ὅθεν καὶ τὸ θαυμαζόμενον ὡς οὐκ ὂν διὰ τί βο-
ρέαι μὲν ἐτησίαι γίνονται νότοι δ' οὐ γίνονται, φαί-
νεταί πως συμβαίνειν. οἱ γὰρ ἠρινοὶ νότοι καθάπερ
ἐτησίαι τινές εἰσιν οὓς καλοῦσι λευκονότους· αἴθριοι
γὰρ καὶ ἀσυννεφεῖς ὡς ἐπίπαν. ἅμα δὲ καὶ τῷ μα-
κρὰν ἡμῶν ἀπηρτῆσθαι λανθάνουσιν· ὁ δὲ βορέας εὐ-
θὺς ἐν ἡμῖν. ἥδε τῶν ἐτησίων φύσις. διὰ τί δὲ ταύ-
την τὴν ὥραν καὶ τοσοῦτοι πνέουσι, καὶ διὰ τί λή-
γουσι τῆς ἡμέρας ληγούσης καὶ νύκτωρ (οὐ) πνέουσι
σχεδὸν ἐν ταύταις λέγεται ταῖς αἰτίαις· ὡς ἄρα ἡ μὲν
πνοὴ γίνεται διὰ τὴν τῆς χιόνος τῆξιν· ὅταν μὲν οὖν
ὁ ἥλιος ἄρξηται λύειν τὸν πάγον καὶ κρατεῖν, οἱ πρό-
12 δρομοι, μετὰ δὲ ταῦτα οἱ ἐτησίαι. τοῦ δὲ ἅμα τῇ κα-
ταφορᾷ τοῦ ἡλίου λήγειν καὶ νύκτωρ μὴ πνεῖν αἴτιον
τὸ τὴν χιόνα τηκομένην παύεσθαι δυομένου καὶ νύ-
κτωρ μὴ τήκεσθαι δεδυκότος. οὐ μὴν ἀλλ' ἐνίοτε πνέ-
ουσιν ὅταν πλείων ἡ τῆξις γένηται· καὶ γὰρ τῆς ἀνω-
μαλίας αἴτον τοῦτο ὑποληπτέον. ὁτὲ μὲν γὰρ μεγάλοι
καὶ συνεχεῖς ὁτὲ δὲ ἐλάττους καὶ διαλείποντες πνέουσι
διὰ τὸ τὰς τήξεις ἀνωμαλεῖς γίνεσθαι. κατὰ δὲ τὴν
ὕλην ἡ φορά. ταύτην δὲ τὴν ἀνωμαλίαν ἐνδέχεται καὶ
τοῖς τόποις καὶ τῷ σύνεγγυς ἢ πόρρω καὶ ἄλλαις τοι-
13 αύταις διαφοραῖς συμβαίνειν. εἰ δ' οὖν ἀληθὲς, ὃ λέ-
γουσι ἄλλοι τε καὶ οἱ περὶ Κρήτην, ὡς ἄρα νῦν μείζονες
οἱ χειμῶνες καὶ χιὼν πλείων πίπτει, τεκμήρια φέροντες
ὡς τότε μὲν ᾠκεῖτο τὰ ὄρη καὶ ἔφερε καρπὸν καὶ τὸν

Digitized by Google

σιτηρὸν καὶ τὸν δενδρίτην πεφυτευμένης καὶ διειργασμένης τῆς χώρας· ἔστι γὰρ πεδία ἐν τοῖς Ἰδαίοις ὄρεσιν εὐμεγέθη καὶ ἐν τοῖς ἄλλοις ὧν νῦν οὐδ᾽ ὁτιοῦν γεωργοῦσι διὰ τὸ μὴ φέρειν, τότε δ᾽ ὥσπερ εἴρηται καὶ ἐπῴκουν, ὅθεν καὶ ἡ νῆσος πλήρης ἦν ἀνθρώπων, ὄμβρων μὲν γενομένων κατ᾽ ἐκεῖνον τὸν χρόνον πολλῶν χιόνων δὲ καὶ χειμώνων μὴ γινομένων, — εἰ δ᾽ ἔστιν ἀληθῆ ταῦτα, ὅπερ λέγουσι, ἀναγκαῖον καὶ τοὺς ἐτησίας εἶναι πλείους. εἰ δὲ ποτ᾽ ἐξέλιπον καὶ Ἀρι- 14
σταῖος αὐτοὺς ἀνεκαλέσατο θύσας τὰς ἐν Κέῳ θυσίας τῷ Διῒ καθάπερ μυθολογοῦσι, κάτομβρα μὲν ἂν εἴη τὰ ἐπιχειμέρια οὐχ ὁμοίως οὐδὲ χιονώδη. ταῦτα δ᾽ εἴ τινα ἔχει διαλλαγὴν εἴτε τεταγμένην εἴτ᾽ ἄτακτον εἴη ἂν καὶ τῶν πνευμάτων παῦλα καὶ μεταλλαγὴ κατὰ τοὺς αὐτοὺς χρόνους. ἄτοπον δ᾽ ἂν δόξειεν εἰ μὴ καὶ τοῖς πρὸς μεσημβρίαν εἴη τοιαύτη τις ἐπικουρία κατὰ τὸ ἔτος· πολλῷ γὰρ ἐκπυρώτερος ὁ τόπος ἐκεῖνος. δῆλον οὖν τοῦτο πλὴν εἰς . . . μισῃ τὸν καρπόν. οἱ δὲ προτεροῦσιν οἱ δ᾽ ἀπαθεῖς εἰσί. περὶ μὲν τούτων σκεπτέον.

Cap. III. *Εἰ δὲ πάντων τῶν πνευμάτων ἡ αὐτὴ* 15
καὶ ὑπὸ τῶν αὐτῶν γένεσις τῷ τι παραλαβεῖν ὁ ἥλιος ἂν ὁ ποιῶν εἴη. τάχα δ᾽ οὐκ ἀληθὲς καθόλου εἰπεῖν ἀλλ᾽ ὡς ἡ ἀναθυμίασις οὗτος δ᾽ ὡς συνεργῶν. ἀλλ᾽ ὁ ἥλιος δοκεῖ καὶ κινεῖν ἀνατέλλων καὶ καταπαύειν τὰ πνεύματα· διὸ καὶ ἐπαυξάνεται καὶ πίπτει πολλάκις. οὐ καθόλου δὲ τοῦτ᾽ ἀληθὲς, ἀλλ᾽ ἐφ᾽ ὧν γε συμβαίνει ταύτην ὑποληπτέον τὴν αἰτίαν. ὅταν μὲν γὰρ ἔλαττον ᾖ τὸ ἀνηγμένον ὑγρὸν, τούτου κατακρατῶν ἐξανήλωσε καὶ κατέπαυσεν ὁ ἥλιος, ὅταν δὲ πλέον συμπαρώρμησε καὶ σφοδροτέραν ἐποίησε τὴν κίνησιν. ἐνίοτε δὲ καὶ ἅμα τῇ δύσει κατέπαυσεν ἀφελόμενος 16

Digitized by Google

τὴν ἀπ᾽ αὐτοῦ κίνησιν ἣν ἔδωκεν. ταύτην δὲ δῆλον ὡς ἔχειν τινὰ δεῖ συμμετρίαν ὥστε μήτ᾽ ἐξαναλίσκεσθαι μήτ᾽ ἐξ αὐτῆς δύνασθαι κινεῖσθαι πλείω χρόνον. ἔνια δὲ καὶ δύνοντος τοῦ ἡλίου πνεῖν οὐδὲν κωλύει μᾶλλον οἷον ὅσα κατέχεται τῇ θερμότητι καὶ ὥσπερ ἀναξηραίνεται καὶ ἐκκαίεται. διὰ τοῦτο γὰρ καὶ ἐν μεσημβρίᾳ μάλιστ᾽ ἀπνεύματοι, παρεγκλίναντος δὲ
17 τοῦ ἡλίου πνευματωδέστεραι. ποιεῖ δὲ καὶ ἡ σελήνη ταὐτὰ πλὴν οὐχ ὁμοίως· οἷον γὰρ ἀσθενὴς ἥλιός ἐστι. διὸ καὶ νύκτωρ δεινότεραι καὶ αἱ σύνοδοι τῶν μηνῶν χειμερινώτεραι. συμβαίνει δ᾽ οὖν ὁτὲ μὲν ἀνατέλλοντος τοῦ ἡλίου τὰ πνεύματα ἐπαίρεσθαι ὁτὲ δὲ λήγειν· καὶ ἐπὶ τῆς δύσεως ὁμοίως· ὁτὲ μὲν γὰρ κατέπαυσεν ὁτὲ δὲ ὥσπερ ἀφῆκεν. εἰ δέ ποτε καὶ κατὰ σύμπτωμα γίνοιτο ταῦτα, καθάπερ καὶ τὰ ἐπὶ τῶν ἄστρων ἀνα-
18 τολαῖς καὶ δύσεσιν, ἐπισκεπτέον, τοῦτ᾽ ἂν εἴη. καὶ ἀπὸ τῆς αὐτῆς αἰτίας καὶ διὰ μέσων νυκτῶν καὶ μεσημβρίας ἄπνοιαι γίνονται καὶ μάλιστα· συμβαίνει γάρ ποτε μὲν κρατεῖν ποτὲ δὲ κρατεῖσθαι τὸν ἀέρα τὸν τοιοῦτον ὑπὸ τοῦ ἡλίου· καὶ μέσων μὲν νυκτῶν κρατεῖ, πορρωτάτω γὰρ ὁ ἥλιος τότε· μεσημβρίας δὲ κρατεῖται· κρατῶν δὲ καὶ κρατούμενος ἕστηκεν, ἡ δὲ στάσις νηνεμία. συμβαίνει δὲ καὶ τὰς καταπαύσεις γίνεσθαι τῶν πνευμάτων κατὰ λόγον· ἄρχεται μὲν γὰρ ἢ περὶ ἕω ἢ περὶ δυσμάς· λήγει δὲ τὰ μὲν ἕωθεν ὅταν κρατηθῇ, κρατεῖται δὲ κατὰ μεσεμβρίαν, τὰ δ᾽ ἀπὸ δυσμῶν ὅταν παύσηται κρατῶν, τοῦτο δὲ γίνεται μέ-
19 σων νυκτῶν. εἰ δέ τινες θαυμάζουσιν ὡς ἄλογον ὅτι τὰ πνεύματα ψυχρά ἐστιν ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως καὶ ἁπλῶς τοῦ θερμοῦ γινόμενα ψεῦδος τὸ φαινόμενον αὐτοῖς ἄλογον· οὔτε γὰρ ἁπλῶς ἀλλ᾽ ὡς συναιτίῳ προσαπτέον οὔτε πάντως ἡ ὑπὸ τοῦ θερμοῦ κίνησις

Digitized by Google

θερμὴ καὶ πυρώδης ἀλλ' ἐὰν τρόπον τινὰ γίνηται.
ἀθρόως μὲν γὰρ ἐκπίπτουσα καὶ συνεχὴς αὐτῷ τῷ
ἀφιέντι θερμή. κατὰ μικρὸν δὲ καὶ διὰ στενοῦ τινὸς
αὐτὴ μὲν θερμὴ ὁ δ' ὑπὸ ταύτης κινούμενος ἀὴρ
ὁποῖος ἂν ποτε τυγχάνῃ προϋπάρχων τοιαύτην καὶ τὴν
κίνησιν ἀποδίδωσιν. παράδειγμα δὲ ἱκανὸν τὸ ἐκ τῶν 20
στομάτων ἀφιέμενον, ὅ φασιν εἶναι θερμὸν καὶ ψυχρὸν
οὐκ ἀληθῆ λέγοντες, ἀλλ' ἀεὶ μὲν θερμόν ἐστι, δια-
φέρει δὲ τῇ προέσει καὶ ἐκπτώσει. χανόντων μὲν γὰρ
καὶ ἀθρόον ἀφιέντων θερμὸν, ἐὰν δὲ διὰ στενοῦ σφο-
δρότερον φερόμενον ὠθῇ τὸν πλησίον ἀέρα κἀκεῖνος
τὸν ἐχόμενον, ψυχρῶν ὄντων καὶ ἡ πνοὴ καὶ ἡ κίνη-
σις γίνεται ψυχρά. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν πνευμά-
των συμβαίνει· διὰ στενοῦ γὰρ οὔσης τῆς πρώτης
κινήσεως αὐτὸ μὲν τὸ πρῶτον οὐ ψυχρὸν, τὸ δ' ὑπὸ
τούτου κινούμενον ὡς ἂν ἔχον τυγχάνῃ πρὸς θερμό-
τητα καὶ ψυχρότητα, ψυχροῦ μὲν ὄντος ψυχρὸν θερ-
μοῦ δὲ θερμόν. καὶ διὰ τοῦτο θέρους μὲν θερμὰ χει-
μῶνος δὲ ψυχρὰ τὰ πνεύματα. καθ' ἑκατέραν γὰρ τὴν
ὥραν τοιοῦτος ὁ ἀήρ. φανερὸν δ' ὅπου διὰ τὴν . . . 21
ἐκπεπυρωμένον οἷον τετύχηκεν· ἐὰν γὰρ ὅπου . . .
πνεῦμα καὶ ὁ πόθος . . . θερμὸν εἴτε ψυχρὸν ὅμως . . .
διαφορὰ τοῦ ἀέρος ὁποῖος ἂν ᾖ τοιοῦτος φαίνεται.
καὶ ἐν αὐτοῖς μὲν τοῖς τόποις καὶ τοῖς συνεχέσιν
ἔμπυρος ἡ πνοὴ γίνεται, πορρωτέρω δὲ προϊοῦσιν
οὐχ ὁμοίως. ἐνίοτε δὲ καὶ τὸ ἄλλοθεν ἐπιὸν, ἐὰν ἐξ
ἐμπύρων ᾖ τόπων καὶ ἐχόντων ἀέρα παχὺν καὶ διακε-
καυμένον, ὑπερβάλλον φαίνεται τῇ θερμότητι. διὸ καὶ
οἱ ὁδοιπόροι [μὲν] καὶ θερισταὶ πολλάκις ἀποθνήσκου-
σιν ὑπὸ τῶν τοιούτων πνευμάτων ἐν τοῖς πεδίοις καὶ
ἐν τοῖς πνιγηροῖς τόποις, τὰ μὲν αὐτοῦ συνεργαζομέ-
νου τοῦ συνυπάρχοντος ἀέρος τὰ δὲ τοῦ διαφόρου διὰ

Digitized by Google

22 τὴν πνοὴν καὶ τὴν πρόσπτωσιν. . . ὅτι δὲ οὔτ' αὐτὸς
ὑπ' αὐτοῦ μόνον κινούμενος ὁ ἀὴρ οὔθ' ὑπὸ τοῦ θερ-
μοῦ κρατούμενος ταύτην φέρεται τὴν φορὰν κἀκεῖθεν
δῆλον· εἰ μὲν γὰρ ὑφ' αὐτοῦ διὰ τὸ ψυχρὸς εἶναι φύ-
σει καὶ ἀτμιδώδης κάτω ἂν ἐφέρετο, εἰ δ' ὑπὸ τοῦ
θερμοῦ ἄνω· τοῦ γὰρ πυρὸς κατὰ φύσιν αὕτη ἡ φορά.
νῦν δ' ὥσπερ ἐξ ἀμφοῖν μικτὴ διὰ τὸ μηδ' ἕτερον κρα-
23 τεῖν. τούτῳ μὲν οὖν καθόλου τῷ κοινῷ, ὅτι ὁποῖος ἂν ὁ
ἀὴρ ἢ ἡ ἀναθυμίασις καθ' ἑκάστους ᾖ τόπους οὕτως ἕξει
καὶ τὰ πνεύματα τῇ ψυχρότητι, καὶ τάδε συμμαρτυρεῖ.
ὅσα γὰρ ἀπὸ ποταμῶν ἢ λιμνῶν πάντα ψυχρὰ διὰ τὴν
ὑγρότητα τοῦ ἀέρος· ἀποψύχεται γὰρ ἀπολείποντος τοῦ
ἡλίου καὶ ἅμα παχύτερος ὁ ἀτμὸς, καὶ ἔτι (μᾶλλον) δ'
εἰ σύνεγγυς. ὥσθ' ὅταν προσπίπτῃ συμβαίνει καθά-
24 περ ῥίγωσίν τινα γίνεσθαι τοῖς σώμασι. καὶ διὰ τοῦτο
πολλάκις ἔγκοιλοι καὶ εὐσκεπεῖς τινὲς ὄντες τόποι τῶν
ἔξω πνευμάτων ὑπὸ τῶν ἐγχωρίων εἰσὶ ψυχροί· τὸ
γὰρ ἀναχθὲν ὑπὸ τοῦ ἡλίου μένειν οὔτε πεφυκὸς οὔτε
δυνάμενον φέρεται καὶ ποεῖ πνοήν. ὅθεν αἵ τε ἀπὸ
τῶν ποταμῶν καὶ λιμνῶν αὖραι καὶ ὅλως αἱ ἀπόγειαι
πνέουσιν ἕωθεν ἀποψυχομένης τῆς ἀτμίδος διὰ τὴν
ἀπόλειψιν τοῦ θερμοῦ· τὴν γὰρ αὖραν ταύτην αὐτὴν
γίνεσθαι κατὰ λόγον ἐστὶ διά τε τἆλλα καὶ διὰ τὴν
εὐδίαν. καὶ ὅταν ψεκάδια καὶ ὑετοὶ μέτριοι γίνωνται
μᾶλλον πνέουσι· προσγίνεται γὰρ ὕλη τότε πανταχοῦ
25 καὶ μᾶλλον αἱ ἀπόγειαι γίνονται μετὰ τοῦτο. ἀπὸ μόνου
δὲ τοῦ Νείλου δοκοῦσιν οὐκ ἀποπνεῖν αὖραι ἢ ἐλάχι-
σται διότι θερμὸς ὁ τόπος καὶ ἐξ οὗ καὶ εἰς ὃν ῥεῖ· αἱ
δ' αὖραι πυκνουμένου τοῦ ὑγροῦ εἰσί. διὸ καὶ οὐδ'
ἀπὸ τῶν ἐν Λιβύῃ ποταμῶν οὐδ' ἀφ' ἑνὸς αὖραι οὐ-
δαμῶς· ἅπαντες γὰρ θερμοί. τοῦτο δὲ δῆλον ὅτι οὐδ'
ἀπὸ τῶν περὶ Βαβυλῶνα καὶ Σοῦσα καὶ ὅλως πρὸς

Digitized by Google

τοὺς ἐμπύρους τόπους. καίτοι φασί γε θαυμαστῶς
καταψύχεσθαι τὸν ἀέρα πρὸς τὴν ἕω. τοῦτο μὲν οὖν
ἐπισκεπτέον. τάχα γὰρ ἀποψύχεται μὲν οὐ δύναται δὲ
πορρωτέρω προϊέναι καὶ ποιεῖν αὖραν, ἐμπύρων εὐθὺ
τῶν ὑποδεχομένων ὄντων τόπων.

Cap. IV. Ἀπὸ γοῦν τῆς ἀπογείας καὶ τῆς τοιαύ- 26
της αὔρας καὶ αἱ τροπαὶ γίνονται συναθροισθέντος
τοῦ ὑγροῦ ἀέρος· ἡ γὰρ τροπὴ καθάπερ παλιμπνοή τίς
ἐστι πνεύματος ὥσπερ ἐν τοῖς εὐρίποις τῶν ὑγρῶν·
ὅταν γὰρ ἀθροισθῇ καὶ πλῆθος λάβῃ μεταβάλλει πάλιν
εἰς τὸ ἐναντίον. μάλιστα δ' ἐν τοῖς κοίλοις ταῦτα γί-
νεται καὶ ὅπου πνέουσιν αἱ ἀπόγειαι. τούτων δ'
ἑκάτερον εὐλόγως· ἐν μὲν γὰρ τοῖς κοίλοις ὁ ἀὴρ
ἀθροισθήσεται προσπίπτων ἐν δὲ τοῖς ἀναπεπταμένοις
διαχεῖται. τῶν δ' ἀπογείων πνευμάτων ἀσθενὴς ἡ φύ-
σις ὥστ' οὐ δύνασθαι βιάζεσθαι πόρρω· συμβαίνει δὲ
καὶ ἡ ἀνταπόδοσις ἀνὰ λόγον τοῦ τε πλήθους καὶ τοῦ
μεγέθους ὡς ἂν αἱ ἀπόγειαι πνεύσωσιν. ὁμοίως δὲ καὶ
κατὰ τὰς ὥρας οἷον τὸ ὀψιαίτερον ἢ πρωϊαίτερον ἐμ-
βάλλειν αὐτάς. γίνεται δὲ καὶ ἀνάκλασίς τις τῶν ἀνέ- 27
μων ὥστ' ἀντιπνεῖν αὐτοῖς, ὅταν ὑψηλοτέροις τόποις
προσπνεύσαντες ὑπεράραι μὴ δύνωνται. διὸ ἐνιαχοῦ
τὰ νέφη τοῖς πνεύμασιν ὑπεναντία φέρεται καθάπερ
περὶ Αἰγειὰς τῆς Μακεδονίας βορέου πνέοντος πρὸς
τὸν βορέαν. αἴτιον δ' ὅτι τῶν ὀρῶν ὄντων ὑψηλῶν
τῶν τε περὶ τὸν Ὄλυμπον καὶ τὴν Ὄσσαν τὰ πνεύματα
προσπίπτοντα καὶ οὐχ ὑπεραίροντα τούτων ἀνακλᾶται
πρὸς τοὐναντίον, ὥστε καὶ τὰ νέφη κατώτερα ὄντα
φέρουσιν ἐναντίως. συμβαίνει δὲ καὶ αὐτὸ τοῦτο παρ'
ἄλλοις. ἐνιαχοῦ δὲ καὶ ὑπ' αὐτοὺς τοὺς ἐτησίας ἀν- 28
τίπνοιαι γίνονται τῷ βορέᾳ διὰ τὴν περίκλασιν ὥστε
καὶ ἐναντιοδρομεῖν τὰ πλοῖα, καθάπερ καὶ περὶ τὸν

Digitized by Google

πόρον τὸν ἐκ Χαλκίδος εἰς Ὠρωπὸν, οὓς δὴ καλοῦσι
παλιμβορέας. γίνεται δὲ τοῦτο σχεδὸν ὅταν ὦσι λαμ-
πρότατοι· τότε γὰρ μάλιστα δύνανται ὡς πορρωτάτω
διατείνειν ὅταν πλῆθος ᾖ τὸ ἀντικόπτον. ἐνιαχοῦ δὲ
διὰ τὸ προσκόπτειν σχίζεσθαι συμβαίνει τὸν ἄνεμον
ὥστε τὸ μὲν ἐκεῖσε τὸ δὲ δεῦρο ῥεῖν καθάπερ καὶ τὸ
29 ὕδωρ ὑπὸ μιᾶς πηγῆς καὶ τῆς αὐτῆς ῥέον. ἁπλῶς δὲ
οἱ τόποι πολλὰς ποιοῦσι τῶν πνευμάτων μεταβολὰς,
ἄλλας τε καὶ τὸ σφοδρότερα καὶ ἠρεμέστερα γίνεσθαι,
καθάπερ ἐὰν διὰ στενοῦ καὶ ἀχανοῦς πνέῃ. σφοδρό-
τερον γὰρ ἀεὶ καὶ λαμπρότερον τὸ διὰ τοῦ στενοῦ
καθάπερ ὕδατος ῥεῖθρον· ἐκβιάζεται γὰρ καὶ διωθεῖ
μᾶλλον ἀθρόον. διὸ καὶ ἐν τοῖς ἄλλοις ἀπνοίας οὔσης
ἐν τοῖς στενοῖς ἀεὶ πνεῦμα· μένειν γὰρ ὁ ἀὴρ οὐ δύ-
ναται διὰ τὸ πλῆθος, ἡ δὲ τούτου κίνησις ἄνεμος.
ὅθεν καὶ ἐν τοῖς στενωποῖς ὅταν κατακλεισθῶσι καὶ
συμπέσωσι λαμπροὶ πνέουσι, καὶ ἐν ταῖς πύλαις, καὶ
αἱ θυρίδες ἕλκουσιν ἀεὶ καὶ πνοὴν παρέχουσι. πάν-
των γὰρ τούτων καὶ τῶν τοιούτων ἡ αὐτὴ καὶ μία τις
30 ἡ εἰρημένη αἰτία. πάλιν δ' ἔνιοι τόποι διὰ τὴν κοι-
λότητα καὶ διὰ τὸ περιέχεσθαι μείζοσιν ἐγγὺς ὄντες γε
ἢ ἐγγυτέρω ἑτέρων ταῖς ἀρχαῖς ὅλως ἀποπνεύματοι
τυγχάνουσιν. οἱ δὲ πορρωτέρω πνευματώδεις· ὥσπερ
καὶ περὶ Θετταλίαν καὶ Μακεδονίαν συμβαίνει κατὰ
τοὺς ἐτησίας· οὐ γὰρ πνέουσι παρ' αὐτοῖς ὡς εἰπεῖν,
ἐν δὲ ταῖς νήσοις λαμπροὶ ταῖς μακρὰν ἀπηρτημέναις.
αἴτιον δὲ τὸ τὰς χώρας κοίλας καὶ ἐπισκεπεῖς εἶναι,
ταῖς δὲ νήσοις οὐδὲν ἐπίπροσθεν τῆς φορᾶς. κωλύον-
ται δὲ καὶ οὗτοι καὶ ὅλως πᾶς ἄνεμος πνεῖν ἢ διὰ
τὴν ἀπόστασιν, — οὐ γὰρ δύνανται διατείνειν εἰς τὸ
πορρωτέρω διὰ τὸ μῆκος — ἢ δι' ἐπιπρόσθησίν τι-
νων, ἢ τρίτον εἴ τι πνεῦμα ἐγχώριον ἀντιπνεῖ καὶ

Digitized by Google

κρατεῖ. ὅτι δὲ συμβαίνει κατὰ τὴν ὥραν τοὺς ἐτησίας 31 ἐπαίρεσθαι καὶ τὴν τροπαῖαν πνεῖν περὶ Μακεδονίαν ὥσπερ σύμπτωμα θετέον. πανταχοῦ γὰρ τῆς μεσημβρίας ἀπολήγει τὰ πνεύματα διὰ τὸν ἥλιον ἅμα δὲ τῇ δείλῃ πάλιν αἴρεται. συμβαίνει δὲ κατὰ τὸν αὐτὸν καιρὸν τήν τε τροπαῖαν πρὸς ταῖς ἀπογείαις αὔραις καὶ τοὺς ἐτησίας ἐπαίρεσθαι πάλιν· οὐ γὰρ δὴ τὴν ἀνάκλασιν τὴν ἀπὸ τοῦ Ὀλύμπου καὶ τῆς Ὄσσης τῶν ἐτησίων αἰτιατέον ἣν μὴ * ἑρμηνεύουσιν ἢ μέτριοι παντελῶς. τὰ μὲν οὖν συμπτώματα πειρατέον ἅπασι διαιρεῖν.

Cap. V. Ἐκεῖνο δ' ἂν δόξειεν ἄτοπον καὶ παράλογον εἶναι διὰ τί τῶν ὑψηλῶν τόπων τὰ μὲν προσήνεμα πάντα ἀπνεύματα τυγχάνει τὰ δ' ἐπισκεπῆ πνευματώδη, καὶ οὐ μετρίως ἀλλὰ σφοδρῶς· οἷον ἐν Πλαταιαῖς τῆς Βοιωτίας κειμέναις πρὸς τὸν βορέαν ὁ μὲν βορέας εὐδιεινὸς, ὁ δὲ νότος μέγας καὶ χειμερινὸς καὶ ἐπιπροσθοῦντος τοῦ Κιθαιρῶνος. καὶ πάλιν παρὰ μὲν τὰ κοῖλα τῆς Εὐβοίας ὑπὸ τοὺς ἐτησίας τροπαῖαι παραθέουσιν, ἐν Καρύστῳ δὲ τηλικοῦτοι πνέουσιν ὥστε ἐξαίσιον εἶναι μέγεθος. ἔτι δὲ τῆς Κουριάδος ἐν τῷ 33 καλουμένῳ Φαιστῷ κειμένῳ πρὸς νότον ὑψηλῷ καὶ ἀποτόμῳ θαυμαστόν τι κῦμα μὲν εἰσπίπτει, πνεῦμα δ' οὐκ ἔστιν ἀλλὰ καὶ τὰ πλοῖα προσορμίζονται τοῖς λειωτοῖς ἀλιμένων ὄντων τῶν τόπων τῶν πλησίον, καὶ τὰ συμβαίνοντα θεωρεῖν ἐστί. αἴτιον δὲ τοῦ μὲν μὴ δικνεῖσθαι τὸ πνεῦμα πρὸς τὴν γῆν τὸ μὴ ὑπάγειν τὸν ἀέρα μηδὲ ῥεῖν, ὅπερ συμβαίνει διὰ τὸ ὕψος πρὸς κα... οὐχ ὑπεραίρων. ὅτι δ' ὑπεξάγειν ἀεὶ δεῖ καὶ μὴ ἵστασθαι τὸν ἀέρα φανερόν· ἐν γὰρ τοῖς οἰκήμασιν οὔ τις ἂν κατακλείσῃ τὰς θύρας ἧττον διὰ θυρίδων ἡ πνοὴ φέρεται· πλῆρες γὰρ ὂν καὶ μὴ ὑπεξάγον οὐκ εἰσδέ-

Digitized by Google

χεται τὸν ἔξωθεν ἀέρα· πρὸς γὰρ τὸ κενὸν ἡ φορά· διὸ
34 καὶ τὸ ἕλκειν οὐ καλῶς λέγεται. τὰ δὲ πρὸς βορέαν
καὶ ὅλως κατ' ἀνέμους ἐπισκεπῆ διὰ τοῦτο πνευματω-
δέστερα, διότι συμβαίνει συναθροιζόμενον ἐπὶ τὸ ὕψος
οἷον ὑπερχεῖσθαι τὸ πνεῦμα καὶ ἐμπίπτειν ἀθρόον· ᾗ
γὰρ ἂν ἐπιβρίσῃ ταύτῃ κατέρρηξεν ἀληθῶς ἀθρόον.
γίνονται δὲ καὶ αἱ καταιγίδες ἐν τοῖς τοιούτοις· συ-
στροφαὶ γὰρ ἐνταῦθα καὶ ἀθροισμὸς πνεύματος. ὥσθ'
ὅταν ἐκραγῇ καθάπερ πληγὴν ἐποίησεν. ἰσχυρὸν γὰρ
τὸ ἀθρόον καὶ συνεχὲς ὥσπερ καὶ ἐπὶ τῶν τυφώνων.
ἃ μὲν οὖν διὰ τοὺς τόπους συμβαίνει ταῦτα καὶ τοι-
αῦτα τυγχάνει. πολλὰ δ' ἐστὶ καὶ πολλαχοῦ περὶ ὧν
ἑκάστου τῆς ἱστορίας λέγειν.

35 Cap. VI. Τὰ δὲ τοιάδε κοινὰ πάντων τῶν ἀνέ-
μων οἷον ὅσα σημειώδη καθ' ἕκαστον ἐν τῷ μέλλειν·
ὁ γὰρ ἀὴρ ἀχλυούμενος κατὰ πυκνότητα καὶ μανότητα
ἢ κατὰ θερμότητα καὶ ψύξιν ἢ κατ' ἄλλην τινὰ τοιαύ-
την διάθεσιν ἐξεδήλωσεν ἀεὶ τὴν ἐπιοῦσαν πνοήν·
ὁμοιοπαθῆ γὰρ τὰ κατὰ τὸν ἀέρα καὶ προτερεῖ τῶν ἀνέ-
μων εἰς τὴν ἡμετέραν αἴσθησιν. ὡσαύτως δὲ καὶ ἐπὶ
τῆς θαλάττης καὶ τῶν ὑδάτων ἐστί τισι τὰ αὐτὰ ση-
μεῖα λαβεῖν· ἐπεὶ καὶ τὰ κύματα προανιστάμενα καὶ
προεκπίπτοντα σημαίνει τοὺς ἀνέμους· προωθεῖται δ'
οὐ συνεχῶς ἀλλὰ κατὰ μικρόν· τὸ δὲ προωσθὲν ἄλλο
προέωσε καὶ πάλιν ὑπ' ἄλλης πνοῆς ἐκινήθη μαραν-
θείσης τῆς πρώτης· εἶθ' οὕτως ἀεὶ προωθούμενα προσ-
έρχεται· παρόντος δὲ τοῦ κινουμένου φανερὸν ὅτι καὶ
τὸ κινοῦν ἥξει. συμβαίνει δὲ καὶ ὑστερεῖν τὰ κύματα
τῶν πνευμάτων· ὕστερον γὰρ διαλύονται καὶ παρα-
κμάζουσι διὰ τὸ δυσκινητότατον καὶ δυσκαταπαυστό-
36 τερον. κοινὰ δὲ καὶ τὰ τοιαῦτα πλειόνων οἷον ἀστέ-
ρων τε διαττόντων καὶ παρηλίων φάσις καὶ ἀπομάραν-

Digitized by Google

σις ἢ ῥῆξις καὶ εἴ τι τοιοῦθ' ἕτερον. πρότερον γὰρ
ὁ ἀὴρ ὁ ἄνω τῷ πάσχειν ἀποδηλοῖ τὴν τῶν πνευμάτων
φύσιν. ἔτι δὲ τὸ ἐπὶ τέλει μεγίστους εἶναι, καὶ γὰρ
τοῦτο κοινὸν πλείοσιν· ὅταν γὰρ ἀθρόον ἐμπνεύσωσι
μικρὸν γίγνεται τὸ λοιπόν. τὰ μὲν οὖν τοιαῦτα καθά-
περ εἴρηται κοινά πως τῆς οὐσίας.

Cap. VII. Ἔστι δὲ τὰ καθ' ἕκαστον ἴδια κατὰ τὴν 37
ἑκάστου φύσιν καὶ θέσιν, ὧν τὰ μὲν τοῖς τόποις μερί-
ζεται καθ' οὓς καὶ πρὸς οὓς αἱ πνοαί, τὰ δὲ ταῖς ἀρ-
χαῖς ἀφ' ὧν, τὰ δὲ ἄλλοις τοιούτοις. ἰδιώτατα δ' οὖν
ὡς εἰπεῖν τὰ περὶ τὸν καικίαν [libri ἀπαρκτίαν] καὶ τὰ
περὶ τὸν ζέφυρόν ἐστιν. ὁ μὲν γὰρ καικίας [libri ἀπαρ-
κτίας] μόνος ἐφ' αὑτὸν ἄγει τὰ νέφη καθάπερ καὶ ἡ
παροιμία λέγει „ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας νέφη".
ὁ δὲ ζέφυρος λειότατος τῶν ἀνέμων καὶ πνεῖ δείλης 38
καὶ ἐπὶ τὴν γῆν καὶ ψυχρὸς, τῶν ἐνιαυσίων ἐν δυοῖν
μόνον ὥραις, ἐαρινῇ καὶ μετοπώρου. πνεῖ δ' ἐνιαχοῦ
μὲν χειμέριος, ὅθεν καὶ ὁ ποιητὴς δυσαῆ προσηγόρευ-
σεν. ἐνιαχοῦ δὲ μέτριός ἐστι καὶ μαλακὸς διὸ καὶ
Φιλόξενος ἡδεῖαν αὐτοῦ πεποίηκε τὴν πνοήν. (καὶ τῶν
καρπῶν) τοὺς μὲν ἐκτρέφει τοὺς δ' ἀπολλύει καὶ δια-
φθείρει τελείως. αἴτιον δὲ τῷ μὲν καικίᾳ διότι πέ- 39
φυκε κυκλοτερεῖ φέρεσθαι γραμμῇ ἧς τὸ κοῖλον πρὸς
τὸν οὐρανὸν καὶ οὐκ ἐπὶ τὴν γῆν ἐστὶν ὥσπερ τῶν
ἄλλων διὰ τὸ κάτωθεν πνεῖν· πνέων δ' ἐπὶ τὴν ἀρχὴν
οὕτως ἐφ' αὑτὸν ἄγει τὰ νέφη· πρὸς ὃ γὰρ ἡ πνοὴ καὶ
τῶν νεφῶν ἐντεῦθεν (ἡ) φορά. ὁ δὲ ζέφυρος ψυχρὸς 40
μὲν διὰ τὸ πνεῖν ἀφ' ἑσπέρας ἀπὸ θαλάττης καὶ πε-
δίων ἀναπεπταμένων, καὶ ἔτι μετὰ χειμῶνα τοῦ ἦρος
ἄρτι τοῦ ἡλίου κρατοῦντος καὶ μετοπώρου πάλιν ὅτ'
οὐκέτι κρατεῖ. τοῦ δὲ βορέου ἧττον ψυχρὸς διὰ τὸ
ἀφ' ὕδατος πνευματουμένου καὶ μὴ χιόνος πνεῖν. οὐ

Digitized by Google

συνεχὴς δὲ διὰ τὸ μὴ κρατεῖσθαι τὸ γινόμενον πνεῦμα· οὐ γὰρ ὥσπερ ἐν γῇ ... ἀλλὰ πλανᾶται διὰ τὸ ἀφ' ὑγροῦ βεβηκέναι ἐφ' ὁμαλῇ διὰ τοῦτο καὶ λεῖός ἐστιν·
41 (οὐ γὰρ ἀπ' ὀρέων πνεῖ οὐδὲ βίᾳ τηκομένου ἀλλὰ ῥᾳδίως) ὥσπερ δι' αὐλοῦ ῥέων. τὰ μὲν γὰρ πρὸς βορέαν καὶ νότον (ὀρεινά), πρὸς ἑσπέραν δ' οὔτε ὄρος οὔτε γῆ ἐστὶν ἀλλὰ τὸ ἀτλαντικὸν πέλαγος, ὥστε ἐπὶ τῆς γῆς φέρεται. τῆς δείλης δὲ ἡ πνοὴ διὰ τὸν τόπον· πάντα γὰρ μετὰ τοῦ ἡλίου διαχέοντος τὸ ὑγρὸν ἢ ἀτμίζοντος γίνεται ἢ συνεργοῦντος εἰς τὴν ἀρχήν· ὅταν οὖν εἰς τὸν τόπον ἀφίκηται καὶ ἡ πνοή, καὶ τῆς νυκτὸς παύεται διὰ τὸ ἐλλείπειν τὴν τοῦ ἡλίου κίνησιν.
42 ἄγει δὲ καὶ νεφέλας μεγίστας ὅτι ἐκ πελάγους πνεῖ καὶ κατὰ θάλατταν ὥστε ἐκ πολλοῦ συνάγειν. χειμέριος δὲ καὶ δυσαὴς διὰ τὰ πρότερον εἰρημένα· μετὰ γὰρ χειμῶνα πνεῖ ψυχροῦ ἔτι τοῦ ἀέρος ὄντος· ἐπεὶ ὁ μετοπωρινὸς οὐ τοιοῦτος εἰ μὴ τῷ μεγέθει λαμβάνομεν τὸ χειμέριον· ἐν γὰρ τοῖς συνεχέσι τόποις μέγας πνεῖ καθάπερ καὶ οἱ ἄλλοι. καὶ ληπτέον ἴσως οὕτω τὸ χειμέριον, οὐχ ὡς πᾶσιν· εἰ μὴ ἄρα καὶ παραλλάττοντές τινες ποιοῦνται τὴν προσηγορίαν τὸν θρασκίαν ζέφυρον καλοῦντες· χειμέριος γὰρ οὗτος. ἀλλὰ ταῦτα ἐπισκεπτέον.
43 ἡ δὲ ὁμαλότης καὶ λειότης ὅταν ᾖ ποιεῖ τινὰ χάριν κατὰ τὴν κίνησιν καὶ φοράν, ὥσθ' ὅπου τοιοῦτος ἐνταῦθα καὶ ἡδύς. ὅτι δὲ τοὺς καρποὺς οὓς μὲν φθείρει οὓς δὲ τρέφει καθόλου μὲν ἐκεῖνο ἀληθὲς εἰπεῖν ὃ καὶ κατὰ τῶν ἄλλων κοινόν, ὅτι τρέφει μὲν ὅπου ψυχρὸς πνεῖ τοῦ θέρους, ἀπόλλυσι δὲ ὅπου θερμός. καὶ πάλιν τοῦ χειμῶνος καὶ τοῦ ἦρος ὁμοίως ὅπου μὲν ψυχρὸς ἀπόλλυσιν, ὅπου δὲ θερμὸς τρέφει καὶ σῴζει ἐναντίαν ταῖς ὥραις τὴν πνοὴν ἔχων. τοῦτο δ' ἐστὶν ὅταν ἐκ θαλάττης ᾖ· θερμὴ γὰρ αὕτη χειμῶνος θέρους

Digitized by Google

δὲ ψυχρά. διὰ τοῦτο δὲ καὶ ὁ νότος ἐνιαχοῦ τοιοῦ-
τος ὥσπερ καὶ ἐν Ἄργει, καὶ ὁ βορέας δὲ παρ' ἄλλοις.
τὸ μὲν οὖν ἁπλοῦν καὶ κοινὸν ὥσπερ ἐλέχθη τοῦτο. 44
τὰ δὲ καθ' ἑκάστους τόπους ἐκ τῆς θέσεως δεῖ καὶ
τῶν ἄλλων τῶν συμβαινόντων ἀνασκοπεῖν καὶ θεω-
ρεῖν· εὑρήσεις γὰρ σχεδὸν ἐν ταύταις ταῖς αἰτίαις τὴν
διαφοράν· οἷον τῆς Ἰταλίας ἡ μὲν Λοκρὶς καὶ ἡ ταύτῃ
συνεχὴς εὐθηνεῖ τῷ ζεφύρῳ διὰ τὸ ἐκ τῆς θαλάττης
προσπίπτειν. ἄλλη δέ τις οὐχ ὁμοίως, ἔνιαι δὲ καὶ
βλάπτονται. καὶ πάλιν τῆς Κρήτης ἡ μὲν Γορτύνη
τρέφεται, κεῖται γὰρ ἀναπεπταμένη καὶ προσβάλλει
αὐτῇ ἐκ τοῦ πελάγους· ἑτέρα δέ τις ἀπόλλυται πρὸς
ἣν ἐκ τῆς γῆς καὶ ὀρῶν τινῶν προσπίπτει. φθείρει δὲ 45
καὶ τὰ ἐν τῷ μαλακῷ κόλπῳ πάντα καὶ τὰ ἐπέτεια
καὶ τὰ τῶν δένδρων καὶ τῆς Θεσσαλίας περὶ τὸν
πιέριον· ἀμφοτέρων δὲ τῶν τόπων ἡ αὐτὴ φύσις
καὶ τὰ περιέχονθ' ὅμοια· κεῖνται μὲν γὰρ ἄμφω
πρὸς ἀνατολὴν περιέχονται δ' ὄρεσιν ὑψηλοῖς, ὁ μὲν
τῇ Οἴτῃ καὶ τοῖς συνεχέσιν (ὁ δὲ τῷ Πιέρῳ). ὁ δὲ
πνέων ζέφυρος ἀπὸ δυσμῆς ἰσημερινῆς τὴν ὑπὸ τοῦ
ἡλίου θερμότητα προσπίπτουσαν τοῖς ὄρεσιν ἀνακλω-
μένην ἐξέτραπεν εὐθὺς εἰς πεδίον καὶ ἀπέκαυσεν.
ὁμοίως δὲ καὶ παρὰ τοῖς ἄλλοις οἷς τι τοιοῦτον ἢ παρα-
πλήσιον τούτῳ συμβαῖνόν ἐστι καὶ τοῖς ἐναντίοις ἀνά-
παλιν. ὅλως γὰρ ὃ πολλάκις λέγεται τοῦτ' ἀληθὲς ὅτι 46
μέγα συμβάλλεται δι' ὧν ἂν πνέῃ καὶ ὅθεν εἴς τε
τἆλλα καὶ εἰς θερμότητα καὶ εἰς ψυχρότητα. διὰ τοῦτο
γὰρ καὶ ὁ νότος ψυχρὸς οὐχ ἧττον τοῦ βορέου κατὰ
τὴν παροιμίαν, ὅτι διὰ τὸν ἀέρα κατεψυγμένον ἔτι
καὶ ὑγρὸν ὑπὸ τοῦ χειμῶνος τοιαύτην ἀνάγκη τὴν
πνοὴν προσπίπτειν οἷος ἂν ὁ ἀὴρ ᾖ. ὁ δὲ βορέας ὁ
ἐπὶ τὸν πηλὸν (τῶν νότων), ὅν φησι πάλιν ἡ παροιμία

Digitized by Google

χειμῶνα ποιεῖν, διὰ τὴν αὐτὴν αἰτίαν ποιεῖ· βρεχθεὶς γὰρ ὁ ἀὴρ ψυχρός. ὡσαύτως δὲ καὶ ἀπὸ τῶν ποταμῶν αὖραι, ὥσπερ ἐλέχθη πρότερον.

47 Cap. VIII. Ἡ μὲν (οὖν) τούτων ἰδιότης ἔχει τινὰ λόγον. ὅτι δὲ τὰ πνεύματα τοῦ μὲν χειμῶνος καὶ τὸ ἑωθινὸν ἀπὸ τῆς ἕω πνεῖ τοῦ δὲ θέρους καὶ τῆς δείλης ἀπὸ τῆς ἑσπέρας ἐκείνην τὴν αἰτίαν ὑποληπτέον· ὅταν ὁ ἥλιος ἕλκων μηκέτι κρατῇ τότε ἀφιέμενος ὁ ἀὴρ ῥεῖ· δυόμενος οὖν καταλείπει νέφη ἀφ' ὧν τὰ ζεφύρια· καὶ ὅσον ἂν ἄγῃ τοῖς ἐν τῷ (κάτω) ἡμισφαιρίῳ κατοικοῦσιν (ἑωθινὸν) πνεῦμα γίνεται, τοὐναντίον δὲ ὅταν δύηται ἐν τῷ κάτω μέρει ζεφύρους μὲν ἐκείνοις ποιήσει τοῖς δ' ἐνταῦθα ἑωθινὸν πνεῦμα ἀπὸ τοῦ συνεπομένου
48 ἀέρος αὐτῷ. διὰ τοῦτο καὶ ἐὰν λάβῃ πνέοντα ἄλλον ἄνεμον μείζων γίνεται διότι προσέθηκεν. ὥσπερ (δ') ὁ ζέφυρος ἀεὶ καὶ πόρρω πνεῖ τοῖς ἑσπερίοις οὕτω τοῖς κάτω πρὸς τὴν ἡμετέραν ἕω ἐκείνων δ' ἑσπέραν ἄλλα πνεύματα. ταῦτα μὲν οὖν παρὰ τὴν ὁμοιότητα παρ' ἑκατέροις, ἥ τε (ἐν) τοῖς ἄκροις ἑκάστων πνοὴ γίνεται μὲν ὥσπερ καὶ τὰ ὕδατα καὶ τὰ ἄλλα κατὰ συμβεβηκός, οὐ μήν γε κατ' ἀκρίβειαν ἀλλ' ὡς ἐπὶ τὸ πᾶν. εἴωθε δὲ ὥσπερ ἄλλο τι τῶν τεταγμένων καὶ ἐπὶ τῷ κυνὶ (ὁ νότος) πνεῖν. αἴτιον δ' ὅτι θερμὰ τὰ κάτω τοῦ ἡλίου παρόντος ὥστε γίνεται πολλὴ ἀτμίς. ἔπνεον δ' ἂν πολλοὶ μὴ κωλυόμενοι τοῖς ἐτησίαις· νῦν δ' οὗτοι
49 διακωλύουσιν. οἱ δὲ νυκτερινοὶ βορέαι τριταῖοι πίπτουσιν, ὅθεν ἡ παροιμία λέγεται ὡς „οὔποτε νυκτερινὸς βορέας τρίτον ἵκετο φέγγος", διότι ἀσθενῆ τὰ πνεύματα γίνεται τὰ ἀπὸ τῆς ἄρκτου νύκτωρ ἀρξάμενα· φανερὸν γὰρ ὡς (οὐ) πολὺς ὁ κινηθεὶς ἀὴρ ὅταν τηνικαῦτα πνέῃ τῆς θερμότητος ὀλίγης οὔσης, ὀλίγον γὰρ ὀλίγη κινεῖ. τελευτᾷ δὲ πάντα ἐν τρισίν, καὶ τὰ ἐλάχιστα

Digitized by Google

δ' ἐν τῇ πρώτῃ τριάδι. ὅτι δ' οὐκ αὐτὸ τοῦτο συμ-
βαίνει καὶ ἐπὶ τοῦ νότου νυκτερινοῦ πνεύσαντος αἴτιον
ὅτι ἐγγὺς ὁ ἥλιός ἐστι τῆς πρὸς νότον χώρας καὶ ἀλε-
εινότεραι αἱ νύκτες ἐκεῖ ἢ πρὸς ἄρκτον αἱ ἡμέραι· καὶ
(πολὺς) ὁ κινούμενος ἀὴρ οὐδὲν ἔλαττον ἢ μεθ' ἡμέ-
ραν, ἀλλ' ὅσῳ θερμότεραι αἱ ἡμέραι κωλύουσι πνεῖν
ξηραίνουσαι τὰς ὑγρότητας. τάχα δὲ κἀκεῖνο τοῦ βο- 50
ρέου (αἴτιον) ὅτι ἀθρόως ἡ ἔκχυσις ὥσπερ τῶν ἐκνε-
φίων, ταχεῖα δ' ἡ παῦλα τῶν ἀθρόων· ἀπ' ἀσθενοῦς
γὰρ ἀρχῆς οὐδὲν μέγεθος. ἀεὶ δ' ὡς ἐπίπαν λάβρος,
μετὰ δὲ χιόνα καὶ πάχνην (νότος), ὅθεν καὶ ἡ παροι-
μία „φιλεῖ δὲ νότος μετὰ πάχνην“, ὅτι πέψεώς τινος
γενομένης καὶ ἀποκαθάρσεως ἑκάτερόν τι πίπτει· μετὰ
δὲ τὴν πέψιν καὶ τὴν ἀποκάθαρσιν εἰς τοὐναντίον ἡ
μεταβολή· βορέᾳ δ' ἐναντίος ὁ νότος. τὸ αὐτὸ τούτῳ
ὅτι μετὰ τὸν ὑετὸν καὶ τὴν χάλαζαν καὶ τὰς τοιαύτας
χειμασίας ὡς ἐπὶ τὸ πολὺ πίπτει τὰ πνεύματα. πάντα
γὰρ ταῦτα καὶ τὰ τοιαῦτα πέψεις καὶ ἀποκαθάρσεις
τινές εἰσιν.

Cap. IX. Ἐπεὶ δὲ πρὸς τὰς χώρας ἑκάστοις καὶ 51
τοὺς τόπους ἐπινεφῆ καὶ αἴθριαι. διὰ τοῦτο καὶ τῶν
ἐν παροιμίᾳ λεγομένων πρός τινας τόπους ἔνια, ὥσπερ
τοῦ ἀργέστου καὶ λιβὸς, ᾗ χρῶνται μάλιστα περὶ Κνί-
δον καὶ Ῥόδον „λὶψ ἄνεμος ταχὺ μὲν νεφέλας ταχὺ δ'
αἴθρια ποιεῖ, ἀργέστῃ δ' ἀνέμῳ πᾶσ' ἕπεται νεφέλη.“
περὶ γὰρ τοὺς τόπους τούτους ὅ τε λὶψ ἀμφότερα τα-
χέως ποιεῖ πνέων ἀπὸ τοιαύτης ἀρχῆς, ὅ τ' ἀργέστης
ταχὺ δασύνει τὸν οὐρανόν. ἐνιαχοῦ δὲ καθάπερ τάξις 52
τίς ἐστι τῶν πνευμάτων ὥστε θάτερον μετὰ θάτερον
πνεῖν ἐὰν μένῃ τινὰ χρόνον. τάχα δὲ οὐδὲ τὸ ὅλον
ἄτοπον τό γε τοιοῦτο, εἴπερ ἡ περίστασις ἀεὶ τῶν ἀνέ-
μων εἰς τοὺς ἐφεξῆς, πάλιν μεταβάλλειν εἰς τοὺς ἐναν-

Digitized by Google

τίους. δύο γὰρ οὗτοι τρόποι μεταλλαγῆς ἢ περιισταμένων ἢ ἐκπνευσάντων τελέως. ὧν ἡ μὲν κατὰ τὴν περίστασιν * εὗρος εἰς τοὺς ἐφεξῆς, — ἐγγυτάτω γὰρ αὕτη μετάβασις ἐν ᾗ καὶ ἀναστρέφει πολλάκις ἐπὶ τὸν αὐτὸν ὅταν ὑπὸ χειμῶνος ἀοριστία τις ᾖ, — ἡ δὲ κατὰ
53 τὴν μεταβολὴν εἰς τοὺς ἐναντίους. καὶ ὅλως οὕτω πέφυκεν ἐπὶ πάντων καὶ ἐπὶ τούτων ἡ ἀνταπόδοσις καὶ οἷον ἡ ἀντίρροια κατὰ λόγον, ὃ περὶ τὰς ἀπογείας ὑπάρχει πρὸς τὰς τροπαίας. αὕτη δὲ πολλαχοῦ καθάπερ ἐφήμερός ἐστι τάξις τῆς μεταβολῆς. ἐνιαχοῦ δ' οὐ τροπαία τὸ ἀντιπνέον ἀλλ' ἕτερόν τι πνεῦμα πελάγιον ὥσπερ καὶ περὶ τὸν παμφυλικὸν κόλπον. ἕωθεν μὲν γὰρ δύρις καλούμενος ἀπὸ τοῦ ποταμοῦ τοῦ Ἰδύρου πνεῖ μέγας καὶ πολὺς, ἐπιπνεῖ δ' αὐτῷ νότος καὶ εὗρος· ὅταν δ' ἀντικόψωσιν ἀλλήλοις κύματός τε μέγεθος αἴρεται συνωθουμένης τῆς θαλάττης καὶ πρηστῆρες πολλοὶ πίπτουσιν ὑφ' ὧν καὶ τὰ πλοῖα ἀπόλλυνται. τὸ γὰρ ὅλον ὅπου τοιαύτη σύγκρουσις γίνεται τῶν ἀνέμων, καὶ κυμάτων μέγεθος αἴρεται καὶ χειμὼν γίνεται πολὺς, ὥσπερ ὅταν ἀντιπνεόντων ἀλλήλοις μάχεσθαι φῶσι τοὺς ἀνέμους. ἐπεὶ κἀκεῖνο κατὰ λόγον ἐστὶν, ὅταν ἐπιπέσωσιν ἀλλήλοις μήπω τελέως ἐκπεπνευκόσι τὸν χειμῶνα ποιεῖν· οἷον γὰρ ὕλην παρέθηκε
54 θάτερος θατέρῳ. μᾶλλον δὲ τοῦτ' ἐμφανὲς ἐπὶ τοῦ βορέου· χειμεριώτερος γὰρ οὗτος καὶ εὐθὺ τὴν προσενεχθεῖσαν ἔπηξεν ὕλην. ὡσαύτως δὲ καὶ ὁ νότος ἐξύγρανε καὶ ὑδατώδη ἐποίησεν. ἐνιαχοῦ δὲ καὶ τοὺς νιφετοὺς δοκεῖ ποιεῖν ὥσπερ καὶ περὶ τὸν Πόντον καὶ τὸν Ἑλλήσποντον, ὅταν ὁ βορέας οὕτω γένηται ψυχρὸς ὥστε πῆξας κατέχειν· οὐ μὴν ἀλλά γε τὸ πλεῖον διέπηξεν ἢ εἰς ὕδωρ διέλυσεν. καὶ αὗται μὲν οἷον χειμεριναί τινες ἐπίπνοιαι καὶ ἀντικόψεις. αἱ δ' ἐπ' Ὠρίω-

Digitized by Google

νος ἀνατολῇ καὶ δύσει τῶν πνευμάτων ἀκρισίαι συμ-
βαίνουσιν ὅτι ἐν μεταβολαῖς ἀεὶ πάντα μάλιστα πέφυ-
κεν ἀοριστεῖν. ὁ δ' Ὠρίων ἀνατέλλει μὲν ἐν ἀρχῇ
ὀπώρας δύνει δ' ἐν ἀρχῇ χειμῶνος, ὥστε διὰ τὸ μήπω
καθεστάναι μηδεμίαν ὥραν, τῆς μὲν γιγνομένης τῆς
δὲ παυομένης, ἀνάγκη καὶ τὰ πνεύματα ἀκατάστατα
καὶ ἄκριτα εἶναι διὰ τὸ ἐπαμφοτερίζειν ἐξ ἑκατέρας,
ὅθεν δὴ καὶ χαλεπὸς λέγεται καὶ δύνων καὶ ἀνατέλ-
λων εἶναι διὰ τὴν ἀοριστίαν τῆς ὥρας· ἀνάγκη γὰρ
ταραχώδη καὶ ἀνωμαλῆ εἶναι.

Cap. X. Καὶ ταῦτα μὲν οὖν καὶ ὅσα ἄλλα τοι- 56
αῦτα περὶ τὸν ἀέρα καὶ τὸν ὅλον οὐρανὸν συμβαίνει·
τὰ δὲ ... εἰς τὰς ἡμετέρας διαθέσεις· οἷον βαρύτερον
ἐν τοῖς νοτίοις ἔχουσιν (οἱ) ἄνθρωποι καὶ ἀδυνατώτε-
ρον· αἴτιον δὲ ὅτι ἐξ (ὀλίγου) πολὺ ὑγρὸν γίνεται (δια-
τηκόμενον διὰ τὴν ἀλέαν) καὶ ἀντὶ κούφου πνεύματος
ὑγρότης βαρεῖα. ἔτι δ' ἡ μὲν ἰσχὺς καὶ δύναμις ἐν
τοῖς ἄρθροις ἐστί· (ταῦτα δὲ ἀνίεται ὑπὸ τῶν νοτίων·
τὸ γὰρ γλίσχρον ἐν τοῖς ἄρθροις πεπηγὸς μὲν κωλύει)
κινεῖσθαι ἡμᾶς, ὑγρὸν δὲ λίαν οὐ συντείνεσθαι· τὰ
δὲ βόρεια ποιεῖ τινὰ συμμετρίαν ὥστε καὶ ἰσχύειν καὶ
συντείνεσθαι μᾶλλον. καὶ πάλιν ξηροὶ καὶ μὴ ὑδα- 57
τώδεις ὄντες οἱ νότοι πυρετώδεις· ὑγρότητα γὰρ ἐν
τοῖς σώμασι θερμὴν ἀλλοτρίαν ἐμποιοῦσι θερμοὶ φύ-
σει καὶ ὑγροὶ ὄντες. ἡ δὲ τοιαύτη διάθεσις πυρετώ-
δης· ὁ γὰρ πυρετὸς ἐξ ἀμφοῖν τούτοιν ὑπερβολῆς
ἐστίν· ὅταν (δὲ) ὑδάτινοι πνέωσι τὸ ὕδωρ καταψύχει
τὴν ἕξιν. τὸν αὐτὸν δὲ τρόπον καὶ ὅσα ἄλλα τῶν σω-
μάτων περὶ τὰς ἕξεις καθ' ἑκάτερον συμβαίνει γίνε-
σθαι· πλείω γάρ ἐστι τοιαῦτα καὶ ἐν πλείοσιν ὧν
ἁπάντων αἱ αὐταὶ καὶ παραπλήσιαί τινες αἰτίαι. καὶ 58
τῶν καρπῶν δὲ καὶ τῶν ἄλλων τῶν τοιούτων ὁμοίως·

Digitized by Google

ἅπαντα γὰρ εἰς τὴν ὑγρότητα καὶ διάχυσιν καὶ τὴν πυκνότητα καὶ σύστασιν καὶ ὅσα ἄλλα τῆς συστοιχίας ἑκατέραν ἀναχθήσεται. καὶ ἐπὶ τῶν ἀψύχων δ' ὡσαύτως, οἷον αἱ ῥηγνύμεναι χορδαὶ καὶ οἱ ψόφοι τῶν κεκολλημένων καὶ ὅσα ἄλλα συμβαίνει διυγραινομένων καὶ ἀνιεμένων (οἷον) περὶ τὴν τοῦ σιδήρου κατεργασίαν· πλείω γάρ φασιν ἐξελαύνειν τοῖς νοτίοις ἢ βορείοις· αἴτιον δὲ ὅτι τὰ μὲν βόρεια ξηραίνει καὶ σκληρύνει, τὰ δὲ νότια ἀνυγραίνει καὶ διαίνει· πᾶν δὲ ἀργότερον διακεχυμένον ἢ ὑπεσκληρυμμένον· ἅμα δὲ καὶ μᾶλλον ἰσχύουσι καὶ συντονωτέρως τοῖς βορείοις.

59 ἁπλῶς δὲ τὰ μὲν τοιαῦτα σχεδὸν ἐμφανεῖς ἔχει τὰς αἰτίας οἷον ἀπὸ μιᾶς ἀρχῆς ἀνάλογον ἔχοντα τὸ ἐφεξῆς· ἐκεῖνο δ' ἐν ἀπορίᾳ καὶ ζητήσει μᾶλλον γίνεται, καθ' ἑκάτερον ὄν, οἷον εἰ μὴ σκληρότης μηδὲ ξηρότης μηδὲ πυκνότης τοῖς βορείοις ἀλλὰ τὰ ἐναντία, καὶ ἐπὶ τοῦ νότου ὡσαύτως· τὸ γὰρ παράλογον αἰτίαν ἐπιζητεῖ τὸ δ' εὔλογον καὶ ἄνευ αἰτίας συγχωροῦσιν οἱ ἄνθρωποι·

60 δεινοὶ γὰρ προσθεῖναι τὸ ἐλλιπές. ὅτι δὲ ψυχροὶ ὄντες οἱ ἄνεμοι ξηραίνουσι καὶ θᾶττον (ἢ) ὁ ἥλιος θερμὸς ὢν καὶ μάλιστα οἱ ψυχρότατοι ταύτην ὑποληπτέον τὴν αἰτίαν ὅτι ἀτμίδα ποιοῦσι καὶ ταύτην ἀπάγουσι καὶ οἱ ψυχρότεροι μᾶλλον, ὁ δ' ἥλιος καταλείπει. διὰ τί ποτε λέγεται „μή ποτ' ἀπ' ἠπείρου δείσῃς νέφος ὡς ἀπὸ πόντου χειμῶνος, θέρεος δὲ ἀπ' ἠπείροιο μελαίνης"; ἢ διότι τοῦ μὲν χειμῶνος ἡ θάλαττα θερμοτέρα, ὥστε εἴ τι (συνέστη, δῆλον ὅτι ἀπ' ἀρχῆς) συνέστηκεν ἰσχυρᾶς; ἐλύθη γὰρ ἂν τῷ ἀέρι διὰ τὸ ἀλεεινὸν εἶναι τὸν τόπον. τοῦ δὲ θέρους ἡ μὲν θάλαττα ψυχρὰ καὶ τὰ πόντια πνεύματα ἡ δὲ γῆ θερμή· ὥστε εἴ τι ἀπὸ γῆς (φέρεται, διὰ μείζονος ἀρχῆς) συνέστη·

61 διελύθη γὰρ ἂν εἰ ἀσθενὲς ἦν. τὸ δὲ μὴ πνεῖν νότον

Digitized by Google

*λαμπρὸν ἐν Αἰγύπτῳ μηδ' ἡμέρας δρόμον ἀπέχοντι
καὶ νυκτὸς ψεῦδος. δασύνειν δὲ τὸν οὐρανὸν μάλιστα
βορέαν καὶ ἀργέστην τὸν δὲ νότον παραφέρειν· τοὺς
δὲ ἔωθεν ἐπινεφεῖν καὶ δασύνειν ἄχρις ἂν ὁ ἥλιος
ἀνίσχῃ· οὐχ ὕειν δὲ διὰ τὸ μὴ ἔχειν ὅπου προσκαθί-
ζηται τὰ νέφη. νότον δὲ καὶ εὖρον καὶ ὅσα ἀπὸ με-
σημβρίας ἄρχεσθαι μὲν ἀπὸ ἀνατολῶν συμπαραχω-
ρεῖν δὲ τῷ ἡλίῳ· βορέαν δὲ καὶ ἀργέστην ἀνάπαλιν
ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς. ἐν Σικελίᾳ δὲ καικίαν οὐ* 62
*καλοῦσιν ἀλλ' ἀπηλιώτην· δοκεῖ δ' οὐχ ὁ αὐτὸς εἶναί
τισιν ἀλλὰ διαφέρειν, ὅτι ὁ μὲν δασύνει τὸν οὐρανὸν
ὁ δ' οὔ. ἀργέστην δὲ οἱ μὲν [οὖν] ὀλυμπίαν, οἱ δὲ
σκίρωνα καλοῦσιν, οἱ (δὲ) περὶ Σικελίαν δερκίαν. τὸν
ἀπηλιώτην δὲ ἑλλησποντίαν, κάρβαν δὲ Φοίνικες, βερε-
κυντίαν δ' (οἱ) ἐν τῷ Πόντῳ.*

Fr. VI. *ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΥΔΑΤΩΝ ΚΑΙ ΠΝΕΥ-ΜΑΤΩΝ ΚΑΙ ΧΕΙΜΩΝΩΝ ΚΑΙ ΕΥΔΙΩΝ.*

Cap. I. *Σημεῖα ὑδάτων καὶ πνευμάτων καὶ
χειμώνων καὶ εὐδιῶν ὧδε ἐγράψαμεν καθ' ὅσον ἦν
ἐφικτὸν, ἃ μὲν αὐτοὶ προσκοπήσαντες ἃ δὲ παρ'
ἑτέρων οὐκ ἀδοκίμων λαβόντες. τὰ μὲν οὖν ἐπὶ τοῖς
ἄστροις δυομένοις καὶ ἀνατέλλουσιν ἐκ τῶν ἀστρο-
νομικῶν δεῖ λαμβάνειν. εἰσὶ δὲ δύσεις διτταί· οἵ τε* 2
*γὰρ ἀφανισμοὶ δύσεις εἰσί· τοῦτο δέ ἐστιν ὅταν ἅμα
συνδύνῃ τῷ ἡλίῳ τὸ ἄστρον, καὶ ὅταν ἀνατέλλοντος
δύνῃ. ὁμοίως δὲ καὶ ἀνατολαὶ διτταὶ, αἱ μὲν ἑῷοι*

Digitized by Google

ὅταν προανατέλλῃ τοῦ ἡλίου τὸ ἄστρον, αἱ δ' ἀκρόνυχοι ὅταν ἅμα δυομένῳ ἀνατέλλῃ. αἱ μὲν οὖν τοῦ ἀρκτούρου λεγόμεναι ἀνατολαὶ ἀμφοτέρως συμβαίνουσιν· ἡ μὲν γὰρ τοῦ χειμῶνος ἀκρόνυχός ἐστιν, ἡ δὲ μετωπορινὴ ἑῴα. τῶν δ' ἄλλων αἱ πλεῖσται τῶν ὀνομαζομένων ἑῷαι οἷον Πλειάδος καὶ Ὠρίωνος καὶ κυνός.
3 τῶν δὲ λοιπῶν σημείων ἔνια μὲν ἴδια κατὰ πάσας χώρας ἐστὶν ἐν ὅσαις ὄρη ὑψηλὰ καὶ αὐλῶνές εἰσι, μάλιστα δὲ ὅσα πρὸς θάλασσαν καθήκει τῶν ὑψηλῶν· τῶν τὲ γὰρ πνευμάτων ἀρχομένων τὰ νέφη προσπίπτει πρὸς τοὺς τοιούτους τόπους καὶ μεθισταμένων εἰς τοὐναντίον ἀντιμεθίστανται καὶ ὑγρότερα γινόμενα διὰ βάρος εἰς τὰ κοῖλα συγκαθίζει. διὸ δεῖ προσέχειν οὗ ἄν τις ἱδρυμένος ᾖ. ἔστι γὰρ ἀεί τινα λαβεῖν τοιοῦτον γνώμονα καὶ ἔστι σαφέστατα σημεῖα τὰ ἀπὸ
4 τούτων. διὸ καὶ ἀγαθοὶ γεγένηνται κατὰ τόπους τινὰς ἀστρονόμοι ἔνιοι οἷον Ματρικέτας ἐν Μηθύμνῃ ἀπὸ τοῦ Λεπετύμνου, καὶ Κλεόστρατος ἐν Τενέδῳ ἀπὸ τῆς Ἴδης, καὶ Φαεινὸς Ἀθήνησιν ἀπὸ τοῦ Λυκαβηττοῦ τὰ περὶ τὰς τροπὰς συνεῖδε, παρ' οὗ Μέτων ἀκούσας τὸν τοῦ ἑνὸς δέοντα εἴκοσιν ἐνιαυτῶν συνέταξεν. ἦν δὲ ὁ μὲν Φαεινὸς μέτοικος Ἀθήνησιν ὁ δὲ Μέτων Ἀθηναῖος.
5 καὶ ἄλλοι δὲ τὸν τρόπον τοῦτον ἠστρολόγησαν. ἄλλα δέ ἐστι σημεῖα ἃ λαμβάνεται ἀπό τε ζώων τῶν κατ' οἰκίαν καὶ ἑτέρων τινῶν τόπων καὶ παθημάτων, μάλιστα δὲ κυριώτατα ἀπὸ τοῦ ἡλίου καὶ τῆς σελήνης· ἡ γὰρ σελήνη νυκτὸς οἷον ἥλιός ἐστι· διὸ καὶ αἱ σύνοδοι τῶν μηνῶν χειμέριοί εἰσιν ὅτι ἀπολείπει τὸ φῶς τῆς σελήνης ἀπὸ τετράδος φθίνοντος μέχρι τετράδος ἱσταμένου. ὥσπερ οὖν ἡλίου ἀπόλειψις γίνεται κατὰ
6 τον ομοιον τρόπον καὶ τῆς σελήνης ἔκλειψις. δεῖ οὖν προσέχειν μάλιστα ταῖς ἀνατολαῖς ταῖς τούτων καὶ ταῖς

Digitized by Google

δύσεσιν ὁποίας ἂν ποιῶνται τὸν βουλόμενον προγινώ-
σκειν. πρῶτον μὲν οὖν ληπτέον ὅτι αἱ διχοτομίαι
διορίζουσι τὰς ὥρας ὥστε ἐπὶ τούτων δεῖ ἀθρεῖν καὶ
ἐνιαυτὸν καὶ μῆνα καὶ ἡμέραν. διχοτομεῖ δὲ τὸν μὲν
ἐνιαυτὸν Πλειάς τε δυομένη καὶ ἀνατέλλουσα· ἀπὸ γὰρ
δύσεως μέχρι ἀνατολῆς τὸ ἥμισυ τοῦ ἐνιαυτοῦ ἐστίν.
ὥστε δίχα τέμνεται ὁ πᾶς χρόνος. ὁμοίως δὲ καὶ αἱ 7
τροπαὶ καὶ ἰσημερίαι ποιοῦσιν. οἷα τις ἂν οὖν ἡ κα-
τάστασις τοῦ ἀέρος Πλειάδος δυομένης οὕτω ἔχει ὡς
ἐπὶ τὸ πολὺ μέχρι τροπῶν, κἂν μεταβάλλῃ, μετὰ τρο-
πάς· ἐὰν δὲ μὴ μεταβάλλῃ διέχει ἕως ἰσημερίας, κἀ-
κεῖθεν ὡσαύτως μέχρι Πλειάδος, καὶ ἀπὸ ταύτης μέ-
χρι τροπῶν θερινῶν, καὶ ἐντεῦθεν μέχρι ἰσημερίας,
καὶ ἀπὸ ἰσημερίας μέχρι Πλειάδος δύσεως. ὡς δ' αὔ- 8
τως ἔχει καὶ περὶ τὸν μῆνα ἕκαστον· διχοτομοῦσι γὰρ
αἵ τε πανσέληνοι καὶ αἱ ὀγδόαι καὶ αἱ τετράδες, ὥστε
ἀπὸ νουμηνίας ὡς ἀπ' ἀρχῆς δεῖ σκοπεῖν. μεταβάλλει
γὰρ ὡς ἐπὶ τὸ πολὺ ἐν τῇ τετράδι, ἐὰν δὲ μὴ ἐν τῇ
ὀγδόῃ, εἰ δὲ μὴ πανσελήνῳ· ἀπὸ δὲ πανσελήνου εἰς
ὀγδόην φθίνοντος, καὶ ἀπὸ ταύτης εἰς τετράδα, ἀπὸ
δὲ τετράδος εἰς τὴν νουμηνίαν. ὡς δ' αὔτως καὶ ἐπὶ 9
τῆς ἡμέρας ἔχουσιν αἱ μεταβολαὶ ὡς ἐπὶ τὸ πολύ. ἀνα-
τολὴ γὰρ καὶ πρωῒ καὶ μεσημβρία καὶ δείλη καὶ δύσις
καὶ τὰ τῆς νυκτὸς μέρη τὰ ἀνάλογα ταὐτὸ ποιεῖ τοῖς
εἰρημένοις περὶ πνευμάτων καὶ χειμῶνος καὶ εὐδίας.
μάλιστα γὰρ ἐὰν μέλλῃ μεταβάλλειν ἐν ταῖς διχοτο-
μίαις μεταβάλλει. καθόλου μὲν οὖν τὰς ὥρας οὕτω
δεῖ παρατηρεῖν, καθ' ἕκαστα δὲ τῶν σημείων κατὰ
τὸν ὑπογεγραμμένον τρόπον. ὕδατος μὲν οὖν σημεῖα 10
τὰ τοιαῦτα δοκεῖ εἶναι. ἐναργέστατον μὲν οὖν τὸ ἑω-
θινὸν ὅταν πρὸ ἡλίου ἀνατολῆς φαίνηται ἐπιφοινίσσον
σημεῖον· ἢ γὰρ αὐθημερινὸν ἐπισημαίνει ἢ τριῶν ἡμε-

Digitized by Google

ρῶν ὡς ἐπὶ τὸ πολύ. δηλοῖ δὲ καὶ τὰ ἄλλα σημεῖα· ἐὰν γὰρ μὴ πρότερον τριταῖα μάλιστα σημαίνει τὸ ἐπι-
11 φοινίσσον καὶ δύνοντος, ἧττον δὲ ἢ τὸ ἑωθινοῦ. καὶ ἐὰν δύνῃ χειμῶνος ἢ ἔαρος εἰς νεφέλιον τριῶν ἡμερῶν ὡς τὰ πολλὰ ἐπισημαίνει. καὶ ἐὰν ῥάβδοι νοτόθεν, ταὐτὰ δὲ ταῦτα βορρᾶθεν γινόμενα ἀσθενέστερα. καὶ ἐὰν ἀνίσχων μέλαν σημεῖον ἴσχῃ, καὶ ἐὰν ἐκ νεφελῶν (ἀν)έχῃ ὑδατικὸν, καὶ ἐὰν ἀκτῖνες ἀνίσχοντος ἀνατείνωσι πρὶν ἀνατεῖλαι κοινὸν ὕδατος σημεῖον καὶ ἀνέμου. καὶ ἐὰν καταφερομένου τοῦ ἡλίου ὑφίστηται νέφος ὑφ' οὗ ἐὰν σχίζωνται αἱ ἀκτῖνες χειμερινὸν τὸ σημεῖον. καὶ ὅταν καυματίας δύηται καὶ ἀνατέλλῃ,
12 ἐὰν μὴ ἄνεμος γένηται ὕδατος τὸ σημεῖον. τὰ αὐτὰ δὲ σημαίνει καὶ σελήνη πανσελήνῳ ἀνίσχουσα, ἀσθενέστερα δὲ ὁ μείς. ἐὰν μὲν ᾖ πυρώδης πνευματώδη σημαίνει τὸν μῆνα, ἐὰν δὲ ζοφώδης ὑδατώδη· σημαί-
13 νει δὲ ὅτι ἂν σημαίνῃ τριταῖος ὢν ὁ μείς. ἀστέρες πολλοὶ διάττοντες ὕδατος ἢ πνεύματος, καὶ ὅθεν ἂν διάττωσιν ἐντεῦθεν τὸ πνεῦμα ἢ τὸ ὕδωρ. καὶ ἐὰν ἀκτῖνες ἀθρόαι ἀνίσχωσιν ἀνιόντος ἢ δύνοντος σημεῖον (ὕδατος). καὶ ὅταν ἀνίσχοντος τοῦ ἡλίου αἱ αὐγαὶ οἷον ἐκλείποντος χρῶμα ἴσχωσιν ὕδατος σημεῖον. καὶ ὅταν νεφέλαι πόκοις ἐρίων ὅμοιαι ὦσιν ὕδωρ σημαίνει. [ὑετοῦ δὲ σημεῖα] πομφόλυγες ἀνιστάμεναι πλείους ἐπὶ τῶν ποταμῶν ὕδωρ σημαίνουσι πολύ. ὡς δ' ἐπὶ τὸ πολὺ ἶρις περὶ λύχνον ἢ διὰ λύχνου δια-
14 φαινομένη νότια σημαίνει ὕδατα. καὶ οἱ μύκητες ἐὰν νότια ᾖ ὕδωρ σημαίνουσι, σημαίνουσι δὲ καὶ ἄνεμον κατὰ λόγον ὡς ἂν ἔχωσι πλήθους καὶ μεγέθους, σμικροὶ δὲ καὶ κεγχρώδεις καὶ λαμπροὶ ὕδωρ καὶ ἄνεμον. καὶ ὅταν χειμῶνος τὴν φλόγα (ὁ λύχνος) ἀπωθῇ διαλιπὼν οἷον πομφόλυγας ὕδατος σημεῖον, καὶ ἐὰν πη-

Digitized by Google

δῶσιν αἱ ἀκτῖνες ἐπ' αὐτὸν, καὶ ἐὰν σπινθῆρες ἐπιγέ-
νωνται. ὄρνιθες λουόμενοι μὴ ἐν ὕδατι βιοῦντες ὕδωρ 15
ἢ χειμῶνας σημαίνουσι. καὶ φρύνη λουομένη καὶ
βάτραχοι μᾶλλον ᾄδοντες σημαίνουσιν ὕδωρ. καὶ ἡ
σαύρα φαινομένη ἣν καλοῦσι σαλαμάνδραν, ἔτι δὲ καὶ
χλωρὸς βάτραχος ἐπὶ δένδρου ᾄδων ὕδωρ σημαίνει.
χελιδόνες τῇ γαστρὶ τύπτουσαι τὰς λίμνας ὕδωρ ση-
μαίνουσι. βοῦς τὴν προσθίαν ὁπλὴν λείξας χειμῶνα ἢ
ὕδωρ σημαίνει. κορώνη ἐπὶ πέτρας κορυσσομένη ἣν 16
κῦμα κατακλύζει ὕδωρ σημαίνει· καὶ κολυμβῶσα πολ-
λάκις καὶ περιπετομένη ὕδωρ σημαίνει. κόραξ πολλὰς
μεταβάλλειν εἰωθὼς φωνὰς, τούτων ἐὰν ταχὺ δὶς
φθέγξηται καὶ ἐπιῤῥοιζήσῃ καὶ τινάξῃ τὰ πτέρα ὕδωρ
σημαίνει. καὶ ἐὰν ὑετῶν ὄντων πολλὰς μεταβάλλῃ
φωνὰς καὶ ἐὰν φθειρίζηται ἐπ' ἐλαίας. καὶ ἐάν τε
εὐδίας ἐάν τε ὕδατος ὄντος μιμῆται τῇ φωνῇ οἷον
σταλαγμοὺς ὕδωρ σημαίνει. ἐάν τε κόρακες ἐάν τε
κολοιοὶ ἄνω πέτωνται καὶ ἱερακίζωσιν ὕδωρ σημαί-
νουσι. καὶ ἐὰν κόραξ εὐδίας μὴ τὴν εἰωθυῖαν φωνὴν
ἵῃ καὶ ἐπιῤῥοιβδῇ ὕδωρ σημαίνει. ἐὰν ἱέραξ ἐπὶ δέν- 17
δρου καθεζόμενος καὶ εἴσω εἰσπετόμενος φθειρίζηται
ὕδωρ σημαίνει. καὶ θέρους ὅταν πολλοὶ ἀθρόοι φανῶ-
σιν ὄρνιθες οἳ βιοτεύουσιν ἐν νήσῳ ὕδωρ σημαίνου-
σιν· ἐὰν δὲ μέτριοι ἀγαθὸν αἰξὶ καὶ βοτοῖς, ἐὰν δὲ
πολλοὶ ὑπερβολῇ αὐχμὸν ἰσχυρόν. ὅλως δὲ ὄρνιθες
καὶ ἀλεκτρυόνες φθειριζόμενοι ὑδατικὸν σημεῖον καὶ
ὅταν μιμῶνται ὕδωρ ὡς ὗον. καὶ ἡ νῆττα ἥμερος (ἐὰν) 18
ὑπιοῦσα ὑπὸ τὰ γεῖσα ἀποπτερυγίζηται ὕδωρ σημαί-
νει, ὁμοίως δὲ καὶ κολοιοὶ καὶ ἀλεκτρυόνες ἐάν τε
ἐπὶ λίμνῃ ἢ θαλάττῃ ἀποπτερυγίζωνται ὡς νῆττα
ὕδωρ σημαίνει. καὶ ἐρωδιὸς ὄρθριον φθεγγόμενος
ὕδωρ ἢ πνεῦμα σημαίνει· καὶ ἐὰν ἐπὶ θάλατταν πετό-

Digitized by Google

μενος βοᾷ μᾶλλον ὕδατος σημεῖον ἢ πνεύματος, καὶ
19 ὅλως βοῶν ἀνεμῶδες. καὶ ὁ σπίνος ἐν οἰκίᾳ οἰκουμένῃ ἐὰν φθέγξηται ἕωθεν ὕδωρ σημαίνει ἢ χειμῶνα. καὶ χύτρα σπινθηρίζουσα πᾶσα περίπλεως ὕδατος σημεῖον. καὶ ἴουλοι πολλοὶ πρὸς τοῖχον ἕρποντες ὑδατικόν. δελφὶς παρὰ γῆν κολυμβῶν καὶ ἀναδυόμενος
20 πυκνὰ ὕδωρ ἢ χειμῶνα σημαίνει. Ὑμηττος ἐλάττων, ἄνυδρος καλούμενος, ἐὰν τῷ κοίλῳ νεφέλιον ἔχῃ ὕδατος σημεῖον· καὶ ἐὰν ὁ μέγας Ὑμηττος τοῦ θέρους ἔχῃ νεφέλας ἄνωθεν καὶ ἐκ πλαγίου ὕδατος σημεῖον. καὶ ἐὰν ὁ ἄνυδρος Ὑμηττος λευκὰς ἔχῃ ἄνωθεν καὶ ἐκ πλαγίου. καὶ ἐὰν περὶ ἰσημερίαν
21 λὶψ πνεύσῃ ὕδωρ σημαίνει. αἱ δὲ βρονταὶ αἱ μὲν χειμεριναὶ καὶ ἑωθιναὶ μᾶλλον (ἄνεμον ἢ) ὕδωρ σημαίνουσιν· αἱ δὲ θεριναὶ μεσημβρίας καὶ ἑσπεριναὶ βρονταὶ ὑδατικὸν σημεῖον. ἀστραπαὶ δὲ ἐάν γε πανταχόθεν γένωνται ὕδατος ἂν ἢ ἀνέμου σημεῖον, καὶ ἑσπεριναὶ ὡσαύτως. καὶ ἐὰν ἀκρωρίας νότου πνέοντος νοτόθεν ἀστράψῃ ὕδωρ σημαίνει ἢ ἄνεμον. καὶ ζέφυρος ἀστράπτων πρὸς βορείου ἢ χειμῶνα ἢ ὕδωρ σημαίνει. καὶ θέρους αἱ ἑσπέριαι ἀστραπαὶ ὕδωρ αὐτίκα σημαίνουσιν ἢ τριῶν ἡμερῶν. καὶ ὁπώ-
22 ρας βορρᾶθεν ἀστραπαὶ ὑδατικὸν σημεῖον. ἡ Εὔβοια ὅταν διαζωσθῇ μέση ὕδωρ διὰ ταχέων. καὶ ἐὰν ἐπὶ τὸ Πήλιον νεφέλη προσίζῃ ὅθεν ἂν προσίζῃ ἐντεῦθεν ὕδωρ ἢ ἄνεμον σημαίνει. ὅταν ἶρις γένηται ἐπισημαίνει· ἐάν τε πολλαὶ ἴριδες γένωνται σημαίνει ὕδωρ ἐπὶ πολύ. ἀλλὰ πολλάκις καὶ οἱ ὀξεῖς ἥλιοι ὅταν ἐκ νεφέλης. μύρμηκες ἐν κοίλῳ χωρίῳ ἐὰν τὰ ᾠὰ ἐκφέρωσιν ἐκ τῆς μυρμηκιᾶς ἐπὶ τὸ ὑψηλὸν χωρίον ὕδωρ σημαίνουσιν, ἐὰν δὲ καταφέρωσιν εὐδίαν. ἐὰν παρήλιοι δύο γένωνται καὶ ὁ μὲν νοτόθεν ὁ δὲ βορρᾶθεν,

Digitized by Google

καὶ ἅλως ἅμα ὕδωρ διὰ ταχέων σημαίνουσι. καὶ ἅλως αἱ μέλαιναι ὑδατικὸν καὶ μᾶλλον αἱ δείλης. ἐν τῷ καρ- 23
κίνῳ δύο ἀστέρες εἰσὶν, οἱ καλούμενοι ὄνοι, ὧν τὸ μεταξὺ τὸ νεφέλιον ἡ φάτνη καλουμένη. τοῦτο ἐὰν ζοφῶδες γένηται ὑδατικόν. ἐὰν μὴ ἐπὶ κυνὶ ὕσῃ ἢ ἐπὶ Ἀρκτούρῳ ὡς ἐπὶ τὸ πολὺ πρὸς ἰσημερίαν ὕδωρ ἢ ἄνεμος. καὶ τὸ δημόσιον τὸ περὶ τὰς μυίας λεγόμενον ἀληθές· ὅταν γὰρ δάκνωσι σφόδρα ὕδατος σημεῖον. σπίνος φθεγγόμενος ἕωθεν μὲν ὕδωρ σημαίνει ἢ χειμῶνα, δείλης δὲ ὕδωρ. τῆς δὲ νυκτὸς ὅταν τὸν Ὑμητ- 24
τον κάτωθεν τῶν ἄκρων νεφέλη διαζώσῃ λευκὴ καὶ μακρὰ ὕδωρ γίνεται ὡς τὰ πολλὰ μετρίων ἡμερῶν. καὶ ἐὰν ἐν Αἰγίνῃ [καὶ] ἐπὶ τοῦ Διὸς τοῦ Ἑλλανίου νεφέλη καθίζηται ὡς τὰ πολλὰ ὕδωρ γίνεται. ἐὰν ὕδατα πολλὰ γίνηται χειμερινὰ τὸ ἔαρ ὡς τὰ πολλὰ γίνεται αὐχμηρόν· ἐὰν δ' αὐχμηρὸς ὁ χειμὼν τὸ ἔαρ ὑδατῶδες. ὅταν χιόνες πολλαὶ γίνωνται ὡς τὰ πολλὰ εὐετηρία γίνεται. φασὶ δέ τινες καὶ εἰ ἐν ἄστρασι 25
(ἄνθραξι corr.) λαμπρὰ χάλαζα ἐπιφαίνηται χάλαζαν προσημαίνειν ὡς τὰ πολλά· ἐὰν δὲ ὥσπερ κέγχροι μικροὶ λαμπροὶ πολλοὶ, ἀνέμου μὲν ὄντος εὐδίαν, μὴ ἀνέμου δὲ ὕδωρ ἢ ἄνεμον. ἔστι δ' ἄμεινον πρῶτον γίνεσθαι βόρειον ὕδωρ νοτίου καὶ τοῖς φυομένοις καὶ τοῖς ζώοις· δεῖ δὲ γλυκὺ εἶναι καὶ μὴ ἁλμυρὸν τοῖς γευομένοις. καὶ ὅλως ἔτος βέλτιον νοτίου βόρειον καὶ ὑγιεινότερον. καὶ ὅταν (πάλιν) ὀχεύωνται πρόβατα ἢ αἶγες χειμῶνος μακροῦ σημεῖον.

Cap. II. Ὕδατος μὲν οὖν ταῦτα λέγεται σημεῖα· 26
ἀνέμου δὲ καὶ πνευμάτων τάδε. ἀνατέλλων ὁ ἥλιος καυματίας κἂν μὴ ἀποστίλβῃ ἀνεμῶδες τὸ σημεῖον· καὶ ἐὰν κοῖλος φαίνηται ὁ ἥλιος ἀνέμου ἢ ὕδατος τὸ

Digitized by Google

σημεῖον. καὶ ἐὰν ἐπὶ πολλὰς ἡμέρας καυματίας αὐχμοὺς
καὶ ἀνέμους πολυχρονίους σημαίνει. ἐὰν αἱ ἀκτῖνες
αἱ μὲν πρὸς βορρᾶν αἱ δὲ πρὸς νότον σχίζωνται τού-
του μέσου ὄντος κατ' ὄρθρον κοινὸν ὕδατος καὶ ἀνέ-
27 μου σημεῖόν ἐστιν. ἔστι δὲ σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ
τὰ μὲν μέλανα ὕδατος τὰ δ' ἐρυθρὰ πνεύματος. ἐὰν
δὲ [καὶ] ὁ μεὶς βορείου ὄντος ὀρθὸς εἱστήκῃ ζέφυροι
εἰώθασιν ἐπιπνεῖν καὶ ὁ μὴν χειμερινὸς διατελεῖ. ὅταν
μὲν ἡ κεραία (ἡ ἄνω) τοῦ μηνὸς ἐπικύπτῃ βόρειος ὁ μείς·
ὅταν δ' ἡ κάτωθεν νότιος· ἐὰν δ' ὀρθὸς καὶ μὴ καλῶς
ἐγκεκλιμένος μέχρι τετράδος καὶ εὔκυκλος εἴωθε χει-
μάζειν μέχρι διχομηνίας. σημαίνει ζοφώδης μὲν ὢν
28 ὕδωρ πυρώδης δὲ πνεῦμα. αἴθυιαι καὶ νῆτται [πτερυ-
γίζουσαι] καὶ ἄγριαι καὶ τιθασσαὶ ὕδωρ μὲν σημαί-
νουσι δυόμεναι, πτερυγίζουσαι δὲ ἄνεμον. οἱ κέπφοι
εὐδίας οὔσης ὅποι ἂν πέτωνται ἄνεμον προσημαίνουσι.
στρουθοὶ χειμῶνος ἀφ' ἑσπέρας θορυβοῦντες ἢ ἀνέ-
μου μεταβολὴν σημαίνουσιν ἢ ὕδωρ ὑέτιον. ἐρωδιὸς
ἀπὸ θαλάσσης πετόμενος καὶ βοῶν πνεύματος σημεῖόν
29 ἐστι· καὶ ὅλως βοῶν μέγα ἀνεμώδης. κύων κυλινδού-
μενος χαμαὶ μέγεθος ἀνέμου σημαίνει. ἀράχνια πολλὰ
φερόμενα πνεῦμα ἢ χειμῶνα σημαίνει. ἡ ἄμπωτις βό-
ρειον πνεῦμα σημαίνει, πλημμύρα δὲ νότιον. ἐὰν μὲν
γὰρ ἐκ βορείων πλημμύρα ἥκῃ εἰς νότιον μεταβάλλει,
ἐὰν δ' ἐκ νοτίων ἄμπωτις γίνηται εἰς βόρειον μετα-
βάλλει. θάλασσα οἰδοῦσα καὶ ἀκταὶ βοῶσαι καὶ αἰγια-
λὸς ἠχῶν ἀνεμώδης. καὶ ὁ μὲν βορέας λήγων ἐλάττων
ὁ δὲ νότος ἀρχόμενος. παρήλιος ὁπόθεν ἂν ᾖ ὕδωρ ἢ
30 ἄνεμον σημαίνει. ἡ πέμπτη καὶ δεκάτη ἀπὸ τροπῶν τῶν
χειμερινῶν ὡς τὰ πολλὰ νότιος· βορείων δὲ γινομένων
ξηραίνει πάντα, νοτίων δὲ ὑγραίνει. ἐὰν δὲ νοτίων
ὄντων ψοφῇ (τι) τῶν κεκολλημένων εἰς τὰ νότια ση-

Digitized by Google

μαίνει τὴν μεταβολήν· ἐὰν δὲ πόδες οἰδῶσι νοτία ἡ μεταβολή. τὸ δὲ αὐτὸ σημεῖον καὶ ἐκνεφίου. καὶ ὀδαξῶν τὸν δεξιὸν . . . ἐχῖνος ὁ χερσαῖος σημαντικόν ποιεῖται δὲ δύο ὀπὰς ὅπου ἂν οἰκῇ, τὴν μὲν πρὸς βορρᾶν τὴν δὲ νοτόθεν· ὁποτέραν δ' ἂν ἀποφράττῃ ἐντεῦθεν πνεῦμα σημαίνει, ἐὰν δ' ἀμφοτέρας ἀνέμου μέγεθος. ἐὰν ὄρος πρὸς βορρᾷ ἄνεμον προσημαίνει. 31
ἐὰν ἐν θαλάττῃ ἐξαίφνης πνεύματος γαλήνη γίνηται μεταβολὴν πνεύματος ἢ ἐπίδοσιν. ἐὰν ἄκραι μετέωροι φαίνονται ἢ καὶ νῆσοι ἐκ μιᾶς πλείους νοτίαν μεταβολὴν σημαίνει· γῆ τε μέλαινα ὑποφαινομένη (βόρειον) λευκὴ δὲ νότιον. αἱ ἅλωνες περὶ τὴν σελήνην πνευματώδεις μᾶλλον ἢ περὶ ἥλιον· σημαίνουσι δὲ πνεῦμα ῥαγεῖσαι περὶ ἄμφω, καὶ ᾗ ἂν ῥαγῇ ταύτῃ πνεῦμα. ἐπινεφέλων ὅθεν ἂν ἀνατέλληται ἐντεῦθεν ἄνεμος. αἱ κηλάδες νεφέλαι θέρους ἄνεμον σημαίνουσι. ἐὰν ἀστρα- 32
πὴ πανταχόθεν γίνηται ὕδωρ σημαίνει, καὶ ὅθεν ἂν αἱ ἀστραπαὶ πυκναὶ γίνωνται ἐντεῦθεν πνεύματα γίνεται. θέρους ὅθεν ἂν ἀστραπαὶ καὶ βρονταὶ γίνωνται ἐντεῦθεν πνεύματα γίνεται ἰσχυρά· ἐὰν μὲν σφόδρα καὶ ἰσχυρὸν ἀστράπτῃ θᾶττον καὶ σφοδρότερον πνεύσουσιν, ἐὰν δ' ἠρέμα καὶ μανῶς κατ' ὀλίγον. τοῦ δὲ χειμῶνος καὶ φθινοπώρου τοὐναντίον· παύουσι γὰρ τὰ πνεύματα αἱ ἀστραπαί· καὶ ὅσῳ ἂν ἰσχυρότεραι γίνωνται ἀστραπαὶ καὶ βρονταὶ τοσούτῳ μᾶλλον παύονται· τοῦ δ' ἔαρος ἧττον ἂν ταὐτὰ σημεῖα λέγω, ὥσπερ καὶ χειμῶνος. ἐὰν νότου πνέοντος βορρᾶθεν ἀστράπτῃ 33
παύεται· ἐὰν ἕωθεν ἀστράπτῃ εἴωθε παύεσθαι τριταῖος, οἱ δὲ ἄλλοι πεμπταῖοι ἑβδομαῖοι ἐνναταῖοι, οἱ δὲ δειλινοὶ ταχὺ παύονται. οἱ βορέαι παύονται ὡς ἐπὶ τὸ πολὺ ἐν περιτταῖς οἱ δὲ νότοι ἐν ἀρτίαις. ἄνεμοι αἴρονται ἅμ' ἡλίῳ ἀνατέλλοντι καὶ σελήνῃ. ἐὰν ἀνα-

Digitized by Google

τέλλων ὁ ἥλιος καὶ σελήνη (μὴ) παύσωσιν ἐπιτεί-
νει τὰ πνεύματα· χρονιώτερα δὲ καὶ ἰσχυρότερα τὰ
πνεύματα γίνεται τὰ ἡμέρας ἢ νύκτωρ ἀρχόμενα.
34 ἐὰν ἐτησίαι πολὺν χρόνον πνεύσωσι καὶ μετόπωρον
γένηται ἀνεμῶδες ὁ χειμῶν νήνεμος γίνεται, ἐὰν δ'
ἐναντίως καὶ ὁ χειμὼν ἐναντίος. πρὸς κορυφῆς ὄρους
ὁπόθεν ἂν νεφέλη μηκύνηται ταύτῃ ἄνεμος πνευ-
σεῖται. αἱ νεφέλαι ἐκ τῶν ὄπισθεν προσίζουσαι καὶ
ὄπισθεν πνευσοῦνται. Ἄθως μέσος διεζευγμένος νό-
τιος καὶ ὅλως τὰ ὄρη διεζωσμένα νότια ὡς τὰ πολλά.
οἱ κομῆται ἀστέρες ὡς τὰ πολλὰ πνεύματα σημαίνου-
σιν, ἐὰν δὲ πολλοὶ καὶ αὐχμόν. μετὰ χιόνα νότος,
μετὰ πάχνην βορέας εἴωθε πνεῖν. μύκητες ἐπὶ λύχνου
35 νότιον πνεῦμα ἢ ὕδωρ σημαίνουσιν. αἱ δὲ στάσεις
τῶν πνευμάτων οὕτως ἔχουσιν ὡς ἐν τῷ γράμματι
διώρισται. τῶν δ' ἀνέμων ἔτι πνέουσι τοῖς ἄλλοις
ἐπιπίπτουσι μάλιστα ἀπαρκτίας θρακίας ἀργέστης.
ὅταν δὲ μὴ ὑπ' ἀλλήλων διαλύωνται τὰ πνεύματα ἀλλ'
αὐτὰ καταμαρανθῶσι μεταβάλλουσιν εἰς τοὺς ἐχομέ-
νους ἐπὶ δεξιὰ ὥσπερ ἡ τοῦ ἡλίου ἔχει φορά. ὁ νότος
ἀρχόμενος ξηρὸς τελευτῶν δὲ ὑγρός. καὶ ὁ εὖρος. ὁ
δ' ἀπηλιώτης ἀπὸ ἀνατολῆς ἰσημερινῆς ὑδατώδης· διὰ
36 λεπτῶν δὲ ἄγει τὰ ὕδατα. ὑγροὶ δὲ μάλιστα ὅ τε και-
κίας καὶ λίψ· χαλαζώδης δ' ἀπαρκτίας καὶ θρακίας
καὶ ἀργέστης· νιφετώδης δὲ ὅ τε μέσης ἢ βορέας καὶ
ἀπαρκτίας· καυματώδης δὲ νότος καὶ ζέφυρος καὶ εὖ-
ρος· οἱ μὲν οἷς ἂν ἐκ πελάγους προσπίπτωσιν οἱ δὲ οἷς
ἂν διὰ γῆς. δασύνουσι δ' οὐρανὸν νέφεσι καὶ καλύ-
πτουσι καικίας μάλιστα εἶτα λίψ. καὶ οἱ μὲν ἄλλοι
ἄνεμοι ἀφ' ἑαυτῶν τὰ νέφη ὠθοῦσι καικίας δὲ μόνος
πνέων εἰς ἑαυτόν. αἴθριοι δὲ μάλιστα θρακίας καὶ ἀρ-
γέστης καὶ τῶν λοιπῶν ἀπαρκτίας· ἐκνεφίαι δὲ μάλιστα

Digitized by Google

ὅ τε ἀπαρκτίας καὶ ὁ θρακίας καὶ ὁ ἀργέστης. γίνον- 37
ται δὲ ἐκνεφίαι ὅταν εἰς ἀλλήλους ἐμπίπτωσι πνέοντες
μάλιστα μὲν μετοπώρου τῶν δὲ λοιπῶν ἔαρος. ἀστρα-
παῖος δὲ θρακίας καὶ ἀργέστης καὶ ἀπαρκτίας καὶ μέ-
σης. ἐὰν ἐν τῇ θαλάττῃ πάπποι φέρωνται πολλοὶ οἱ
γινόμενοι ἀπὸ τῶν ἀκανθῶν ἄνεμον σημαίνουσιν ἔσε-
σθαι μέγαν. ὅθεν ἂν ἀστέρες διάττωσι πολλοὶ ἄνεμον
ἐντεῦθεν· ἐὰν δὲ πανταχόθεν ὁμοίως πολλὰ πνεύματα
σημαίνουσι· πνευμάτων μὲν οὖν σημεῖα ταῦτα.

Cap. III. Χειμῶνος δὲ τάδε. ἥλιος δυόμενος εἰς 38
μὴ καθαρόν. καὶ ὡς ἂν μερισθῇ δυόμενος οὕτως αἱ
ἡμέραι ἐπιτελοῦνται. οἷον εἰ τὸ τρίτον μέρος ἀπολει-
φθείη ἢ τὸ ἥμισυ. τὸ σελήνιον ἐὰν ὀρθὸν ᾖ μέχρι τετρά-
δος καὶ εἰ εὔκυκλον χειμάσει μέχρι διχοτόμου· γέρα-
νοι ἐὰν πρωῒ πέτωνται καὶ ἀθρόοι πρωῒ χειμάσει, ἐὰν
δὲ ὀψὲ καὶ πολὺν χρόνον ὀψὲ χειμάσει. καὶ ἐὰν ὑπο-
στραφῶσι πετόμενοι χειμῶνα σημαίνουσι. χῆνες βοῶν- 39
τες μᾶλλον ἢ περὶ σῖτον μαχόμενοι χειμέριον. σπίνος
στρουθὸς σπίζων ἕωθεν χειμέριον. ὀρχίλος [ὡς] εἰσιὼν·
καὶ εἰσδυόμενος εἰς ὀπὰς χειμῶνα σημαίνουσι καὶ ἐρι-
θεὺς ὡσαύτως. κορώνη ἐὰν ταχὺ δὶς κρώζῃ καὶ τρί-
τον χειμερία. καὶ κορώνη καὶ κόραξ καὶ κολοιὸς ὀψὲ
ᾄδοντες χειμέριοι. στρουθὸς ἐὰν λευκὸς ἢ χελιδὼν ἢ
ἄλλο τι τῶν μὴ εἰωθότων λευκῶν χειμῶνα μέγαν ση-
μαίνουσιν, ὥσπερ καὶ μέλανες ἐὰν πολλοὶ φανῶσιν
ὕδωρ. καὶ ἐὰν ἐκ πελάγους ὄρνιθες φεύγωσι χειμῶνα 40
σημαίνουσι. καὶ σπίνος ἐν οἰκίᾳ οἰκουμένῃ φθεγγό-
μενος χειμέριον. ὅσα ὕδωρ σημαίνει χειμῶνα ἄγει, ἐὰν
μὴ ὕδωρ χιόνα καὶ χειμῶνα. κόραξ φωνὰς πολλὰς με-
ταβάλλων χειμῶνος χειμέριον. κολοιοὶ ἐκ τοῦ νότου
πετόμενοι καὶ τευθίδες χειμέριαι. φωνὴ ἐν λιμένι
ἀποψοφοῦσα καὶ πολύπλοκον ἠχοῦσα χειμέριον. καὶ

Digitized by Google

οἱ πνεύμονες οἱ θαλάττιοι ἐὰν πολλοὶ φαίνωνται ἐν τῷ πελάγει χειμερινοῦ ἔτους σημεῖον. πρόβατα ἐὰν
41 πρωῒ ὀχεύηται πρώϊον χειμῶνα σημαίνουσι. μετοπώρῳ ἐὰν πρόβατα ἢ βόες ὀρύττωσι καὶ κοιμῶνται ἀθρόοι πρὸς ἀλλήλους ἔχοντες τὰς κεφαλὰς τὸν χειμῶνα χειμέριον σημαίνει. ἐν δὲ τῷ Πόντῳ φασὶν ὅταν Ἀρκτοῦρος ἀνατείλῃ * θᾶττον ἐναντίους τῷ βορρᾷ νέμεσθαι. βόες μᾶλλον ἐσθίοντες τοῦ εἰωθότος καὶ ἐπὶ τὸ δεξιὸν κατακλινόμενοι χειμέριον. καὶ ὦτα κρούων ὄνος χειμέριον· καὶ μαχόμενα πρόβατα καὶ ὄρνιθες περὶ σίτου παρὰ τὸ ἔθος· προπαρασκευάζονται γάρ·
42 καὶ μῦες τρίζοντες καὶ ὀρχούμενοι χειμέριον. καὶ κύων τοῖς ποσὶν ὀρύττουσα καὶ ὀλολυγὼν ᾄδουσα μόνη ἀκρωρίας χειμέριον. γῆς ἔντερα πολλὰ φαινόμενα χειμῶνα σημαίνει. καὶ ἐὰν πῦρ μὴ θέλῃ ἅπτεσθαι χειμέριον· καὶ ἐὰν λύχνος ἅπτεσθαι μὴ ἐθέλῃ χειμῶνα σημαίνει· καὶ τέφρα πηγνυμένη νιφετόν. λύχνος εὐδίας ἡσυχαῖος καιόμενος χειμῶνα σημαίνει· καὶ ἐὰν χειμῶνος ὄντος μύκαι μέλαιναι ἐπιγίνωνται χειμῶνα σημαίνει· καὶ ἐὰν ὥσπερ κέγχροις πολλοῖς κατάπλεως ᾖ χειμερίσει· καὶ ἐὰν κύκλῳ περὶ τὸ λαμπρὸν ὦσιν εὐδίας
43 οὔσης χιονικόν. ἡ τοῦ ὄνου φάτνη εἰ συνίσταται καὶ ζοφερὰ γίνεται χειμῶνα σημαίνει. καὶ ἐὰν ἀστραπὴ λαμπρὰ μὴ ἐν τῷ αὐτῷ μένῃ χειμέριον. ἐπὶ πλειάδι δυομένῃ ἐὰν λάμψῃ κατὰ Πάρνηθα καὶ Βρίληττον καὶ Ὑμηττον, ἐὰν μὲν ἅπαντα καταλάμψῃ μέγαν χειμῶνα σημαίνει, ἐὰν δὲ τὰ δύο ἐλάττω, ἐὰν δὲ Πάρνηθα μόνον εὐδιεινόν· καὶ ἐὰν χειμῶνος ὄντος νεφέλη μακρὰ ἐπὶ τὸν Ὑμηττον ᾖ χειμῶνος ἐπίτασιν σημαίνει. Ἄθως καὶ Ὄλυμπος καὶ ὅλως ὀρέων κορυφαὶ κατεχόμεναι ὑπὸ νεφελῶν χειμέριον. ἐὰν εὐδίας γινομένης νεφέλιον φαίνηται ἐν τῷ ἀέρι, παρατεταμένον καὶ τιλλόμενον

Digitized by Google

οὔπω παύεται ὁ χειμών. ἐὰν τὸ μετόπωρον εὔδιεινὸν 44
παρὰ τὸ εἰκὸς γένηται τὸ ἔαρ γίνεται ψυχρὸν ὡς τὰ
πολλά. ἐὰν πρωῒ χειμάζειν ἄρξηται πρωῒ παύεται καὶ
ἔαρ καλὸν, ἐὰν δὲ τοὐναντίον καὶ ἔαρ ὄψιον ἔσται.
ἐὰν χειμὼν ὑέτιος τὸ ἔαρ αὐχμηρὸν, ἐὰν δ' αὐχμηρὸς
ὁ χειμὼν τὸ ἔαρ καλόν. ἐὰν ἡ ὄπωρα γίνηται ἐπιεικὴς
τὰ πολλὰ γίνεται τοῖς προβάτοις λιμός. ἐὰν τὸ ἔαρ
καὶ τὸ θέρος ψυχρὰ γίνηται ἥ τε ὄπωρα γίνεται καὶ
(τὸ) μετόπωρον πνιγηρὸν καὶ οὐκ ἀνεμῶδες. οἱ πρῖ- 45
νοι ἐὰν εὐκαρπῶσι χειμῶνες πολλοὶ σφόδρα γίνονται.
ἐὰν ἐπὶ κορυφῆς ὄρους νέφος ὀρθὸν στῇ χειμῶνα ση-
μαίνει, ὅθεν καὶ Ἀρχίλοχος ἐποίησε ‘Γλαῦχ' ὅρα· βα-
θὺς γὰρ ἤδη κύμασι ταράσσεται πόντος ἀμφὶ δ' ἄκρα
γυροῦν ὀρθὸν ἵσταται νέφος Σῆμα χειμῶνος.‘ ἐὰν δ'
ὁμόχρων ᾖ ὑμένι λευκῷ χειμέριον. ὅταν ἑστώτων νε-
φῶν ἕτερα ἐπιφέρηται τὰ δ' ἠρεμῇ χειμέρια. (ὁ ἥλιος) 46
ἐὰν χειμῶνος διαλάμψας πάλιν ἀποκρυφθῇ καὶ τοῦτο
ποιήσῃ δὶς ἢ τρὶς ἡμέρα χειμέριος δίεισιν. ὁ τοῦ Ἑρ-
μοῦ ἀστὴρ χειμῶνος μὲν φαινόμενος ψύχη σημαίνει
θέρους δὲ καῦμα. ὅταν μέλιτται μὴ ἀποπέτωνται μα-
κρὰν ἀλλ' αὐτοῦ ἐν τῇ εὐδίᾳ πέτωνται χειμῶνα ἐσό-
μενον σημαίνει. λύκος ὠρυόμενος χειμῶνα σημαίνει
διὰ τριῶν ἡμερῶν. λύκος ὅταν πρὸς τὰ ἔργα ὁρμᾷ ἢ
εἴσω χειμῶνος ὥρᾳ χειμῶνα σημαίνει εὐθύς. ἔστι δὲ 47
σημεῖον χειμώνων μεγάλων καὶ ὄμβρων καὶ ὅταν γέ-
νωνται ἐν τῷ μετοπώρῳ πολλοὶ σφῆκες καὶ ὅταν ὄρνι-
θες λευκοὶ πρὸς τὰ ἐργάσιμα πλησιάζωσι καὶ ὅλως τὰ
ἄγρια θηρία ἐὰν πρὸς τὰ ἐργάσιμα βόρειον καὶ χειμῶ-
νος μέγεθος σημαίνει. τῆς Πάρνηθος ἐὰν τὰ πρὸς ζέ-
φυρον ἄνεμον καὶ τὰ πρὸς Φύλης φράττηται νέφεσι
βορείων ὄντων χειμέριον τὸ σημεῖον. ὅταν πνίγη γί- 48
νηται ἰσχυρὰ ὡς τὰ πολλὰ ἀνταποδίδωσι καὶ γίνεται

Digitized by Google

χειμὼν ἰσχυρός. ἐὰν ὕδατα ἐαρινὰ πολλὰ γένηται,
καύματα ἰσχυρὰ ἐν τοῖς πεδινοῖς καὶ κοίλοις γίνεται.
δεῖ οὖν τὴν ἀρχὴν ὁρᾶν. ἐὰν τὸ μετόπωρον εὐδιεινὸν
γίνηται σφόδρα τὸ ἔαρ ὡς τὰ πολλὰ γίνεται ψυχρόν·
ἐὰν δὲ τὸ ἔαρ ὄψιον γένηται καὶ ψυχρὸν ἡ ὄπωρα ὀψία
49 γίνεται καὶ (τὸ) μετόπωρον ὡς τὰ πολλὰ πνιγηρόν. οἱ
πρῖνοι ὅταν εὐκαρπῶσι σφόδρα, ὡς μὲν τὰ πολλὰ χει-
μῶνα ἰσχυρὸν σημαίνουσιν, ἐνίοτε δὲ καὶ αὐχμούς
φασι γίνεσθαι. καὶ ἐάν τις σκολόπακα λαβὼν ὑποπά-
σας ἄργιλον εἰς πιθάκνην θῇ σημαίνει ταῖς φωναῖς αἷς
ἀφίησιν ἄνεμον καὶ εὐδίαν. καὶ τὸ πανταχοῦ δὲ λε-
γόμενον σημεῖον δημόσιον χειμέριον ὅταν μῦες περὶ
φορυτοῦ μάχωνται καὶ φέρωσιν.
50 Cap. IV. *Εὐδίας δὲ σημεῖα τάδε.* ἥλιος μὲν ἀνιὼν
λαμπρὸς καὶ μὴ καυματίας καὶ μὴ ἔχων σημεῖον μηδὲν
ἐν ἑαυτῷ εὐδίαν σημαίνει. ὡς δ' αὔτως σελήνη πανσε-
λήνῳ. καὶ δυόμενος ἥλιος χειμῶνος εἰς καθαρὸν εὐ-
διεινὸς, ἐὰν μὴ ταῖς προτέραις ἡμέραις εἰς μὴ καθαρὸν
δεδυκὼς ᾖ ἐξ εὐδιῶν· οὕτω δὲ ἄδηλον. καὶ ἐὰν χει-
μάζοντος ἡ δύσις γένηται εἰς καθαρὸν εὐδιεινόν· καὶ
51 ἐὰν δύνων χειμῶνος ὠχρὸς ᾖ εὐδίαν σημαίνει. καὶ ὁ
μεὶς ἐὰν τριταῖος ὢν λαμπρὸς ᾖ εὐδιεινόν. καὶ ἡ τοῦ
ὄνου φάτνη ὅτε ἂν καθαρὰ καὶ λαμπρὰ φαίνηται εὐ-
διεινόν. ἅλως δὲ ἐὰν ὁμαλῶς παγῇ καὶ μαρανθῇ εὐ-
δίαν σημαίνει. αἱ κοιλάδες νεφέλαι χειμῶνος εὐδιειναί.
Ὄλυμπος δὲ καὶ Ἄθως καὶ ὅλως τὰ ὄρη τὰ σημαντικὰ
ὅταν τὰς κορυφὰς καθαρὰς ἔχωσιν εὐδίαν σημαίνει.
καὶ ὅταν τὰ νέφη πρὸς τὴν θάλασσαν αὐτὴν παρα-
ζωννύῃ εὐδιεινόν. καὶ ὅταν ὕσαντος πρὸς δυσμὰς
χαλκῶδες τὰ νέφη χρῶμα ἔχῃ· εὐδία γὰρ ὡς τὰ πολλὰ
52 τῇ ὑστεραίᾳ. ὅταν δὲ ὁμίχλη γένηται ὕδωρ οὐ γίνε-
ται ἢ ἔλαττον. ὅταν γέρανοι πέτωνται καὶ μὴ ἀνα-

Digitized by Google

κάμπτωσιν εὐδίαν σημαίνει· οὐ γὰρ πέτονται πρὶν ἢ
ἂν πετόμενοι καθαρὰ ἴδωσι. γλαῦξ ἡσυχαῖον φθεγγο-
μένη ἐν χειμῶνι εὐδίαν προσημαίνει· καὶ νύκτωρ χει-
μῶνος ἡσυχαῖον ᾄδουσα. θαλαττία δὲ γλαῦξ ᾄδουσα
χειμῶνος μὲν εὐδίαν σημαίνει, εὐδίας δὲ χειμῶνα.
καὶ κόραξ δὲ μόνος μὲν ἡσυχαῖον κράζων, καὶ ἐὰν τρὶς
κράξῃ μετὰ τοῦτο πολλάκις κράξῃ εὐδιεινός. καὶ κορώνη 53
ἕωθεν εὐθὺς ἐὰν κράξῃ τρὶς εὐδίαν σημαίνει καὶ ἑσπέ-
ρας χειμῶνος ἡσυχαῖον ᾄδουσα. καὶ ὄρχιλος ἐξ ὀπῆς ἐκ-
πετόμενος καὶ ἐξ ἑρκίων καὶ ἐξ οἰκίας ἔξωθεν εὐδίαν
σημαίνει. καὶ ἐὰν χειμῶνος βορεύοντος βορρᾶθεν ὑπό-
λαμψις γένηται λευκὴ νοτόθεν δὲ ἐναντία τεταγμένη ᾖ
νεφέλη ὀγκώδης, ὡς ἐπὶ τὸ πολὺ εἰς εὐδίαν σημαίνει
μεταβολήν. καὶ ὅταν βορέας νεφέλας πολλὰς κινῇ ἐκ-
πνέων μέγας εὐδίαν σημαίνει. πρόβατα ὀψὲ ὀχευόμενα 54
εὐδιεινὸν ἀποτελοῦσι τὸ σημεῖον. καὶ βοῦς ἐπὶ τὸ
ἀρίστερον ἰσχίον κατακλινόμενος εὐδίαν σημαίνει· καὶ
κύων ὡσαύτως· ἐπὶ δεξιὸν δὲ χειμῶνα. τέττιγες πολ-
λοὶ γινόμενοι νοσῶδες τὸ ἔτος σημαίνουσι. λύχνος
χειμῶνος καιόμενος ἡσυχαῖος εὐδίαν σημαίνει. καὶ ἐὰν
ἐπ᾽ ἄκρῳ οἷον κέγχρους ἔχῃ λαμπράς· καὶ ἐὰν ἐν κύ-
κλῳ τὴν μύξαν περιγράφῃ λαμπρὰ γραμμή. ὁ τῆς 55
σχίνου καρπὸς σημαίνει τοὺς ἀρότους· ἔχει δὲ τρία
μέρη καὶ ἔστιν ὁ πρῶτος τοῦ πρώτου ἀρότου σημεῖον,
ὁ δεύτερος τοῦ δευτέρου, ὁ τρίτος τοῦ τρίτου· καὶ ὡς
ἂν τούτων κλίνῃ κάλλιστα καὶ γένηται ἁδρότατος οὕ-
τως ἕξει καὶ ὁ κατὰ τοῦτον ἄροτος. λέγεται δὲ καὶ 56
τοιάδε σημεῖα ὅλων τε τῶν ἐνιαυτῶν γίνεσθαι καὶ τῶν
μορίων. ἐὰν ἀρχομένου τοῦ χειμῶνος ζόφος ᾖ καὶ
καύματα γίνηται καὶ ταῦτα ἄνευ ὕδατος ὑπ᾽ ἀνέμων
διαλυθῇ, πρὸς τὸ ἔαρ σημαίνει χάλαζαν ἐσομένην. καὶ
ἐὰν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν ὁμίχλαι πίπτωσι,

Digitized by Google

πνεύματα καὶ ἀνέμους σημαίνουσιν εἰς ἕβδομον μῆνα ἀμφοτέρων ἀριθμουμένων. ὅσαι μὲν ἅμα μηνοειδεῖ τῇ σελήνῃ πίπτουσιν, αὗται μὲν πνεύματα σημαίνουσιν εἰς ἐκεῖνον τὸν χρόνον, ὅσαι δ' ἀμφικύρτου οὔσης τῆς σελήνης ὕδατα. καὶ ὅσῳ ἂν μᾶλλον ἐφ' ἑκατέρῳ τῷ σχήματι ὁμίχλαι πίπτωσι μᾶλλον τὰ εἰρημένα σημαί-
57 νει. σημαίνει δὲ καὶ τὰ πνεύματα ἅμα ταῖς ὁμίχλαις ἐπιπιπτούσαις γινόμενα· καὶ ἐὰν μὲν ἀπ' ἠοῦς καὶ μεσημβρίας γίνηται τὰ πνεύματα, ὕδατα σημαίνει· ἐὰν δ' ἀφ' ἑσπέρας καὶ ἀπὸ τῆς ἄρκτου πνεύματα καὶ ψύχη. οὓς δὲ κομήτας Αἰγύπτιοι λέγουσιν οὐ μόνον τὰ προειρημένα σημαίνουσιν ὅταν φαίνωνται ἀλλὰ καὶ ψύχη· ἐπὶ δὲ τοῖς ἄστροις εἴωθεν ὡς ἐπὶ τὸ πολὺ σημαίνειν καὶ ταῖς ἰσημερίαις καὶ τροπαῖς, οὐκ ἐπ' αὐταῖς ἀλλ' ἢ πρὸ αὐτῶν ἢ ὕστερον μικρῷ.

Fr. VII. ΠΕΡΙ ΚΟΠΩΝ.

Ἐν τίνι ποθ' ὁ κόπος (ἢ) τίσιν ὡς πρώτῳ, πότερον ὡς Ἐπιγένης ὑπέλαβεν ἐν φλεβὶ καὶ νεύρῳ ἢ μόνον ἐν νεύρῳ, τούτου γὰρ καὶ ἡ κίνησις, ἢ ὑπερβολῇ συντήξεως διὰ κίνησιν, ἢ ἁπλῶς οὗπερ πόνος ταύτῃ καὶ ὁ κόπος, διὸ καὶ ἀεὶ βαρύνεται ὁ κοπιῶν; εἰ οὖν τὸ νεῦρον μὴ δεκτικὸν ὑγρότητος οὐκ ἂν ἐνταῦθα ὁ κόπος ἐνείη κατὰ φύσιν· εἰ δὲ ὁ κόπος ἐξαλλαγή τις, ἄτοπον εἰ μὴ δι' ὧν ἡ κίνησις καὶ ὁ πόνος ἐν τούτοις καὶ ὁ κόπος ἀλλ' ἐκ τῆς κινήσεως ἐπιρροῇ τῆς συντήξεως εἰς αὐτὰ ταῦτα καὶ τὰς καμπὰς ἅπερ
2 μάλιστα βαρύνονται καὶ κοπιῶσι. λέγουσι δὲ καὶ τὰς

Digitized by Google

σάρκας καὶ ὅλον τὸ σῶμα κοπιᾶν, ὅθεν καὶ τοὺς ὀστεο-
κόπους (καὶ) ὀστάγρας καλοῦσιν. εἰ δ' ἐν ὀστοῖς ὁ κό-
πος, πότερον ὡς κινοῦσιν ἢ κινουμένοις ἢ ὡς ἐπιρροὴν
δεχομένοις; ἢ οὐδὲν κωλύει τρόπον τινὰ ἀμφοτέρως,
καὶ κινούμενά πως καὶ δεχόμενα τὴν ἐπιρροήν. ὅταν γὰρ
εἰς τὸ ἐντὸς διίκηται διὰ πλῆθος τοῦ πόνου τοῦτ' ἐν
τοῖς ὀστοῖς κόπος· ἐπεὶ καὶ ἐν τῇ σαρκὶ καὶ ἐν ὅλοις
τοῖς σώμασιν, ὃ δὴ καλοῦσι συγκεκόφθαι· ὃ διαδοθέντος
συμβαίνει τοῦ πόνου πρὸς ἅπαντα τὰ μέρη καὶ μά-
λισθ' οἷς ἄν τις ἐνεργῇ καθάπερ τοῖς ἄνω καὶ κάτω,
καὶ αὐτῶν τούτων μορίοις τισὶν ὥσπερ καὶ ἐν ταῖς
σκληροκοιτίαις. ὡς δ' ἁπλῶς εἰπεῖν ἐν τοῖς καμπτο- 3
μένοις μέρεσι μάλιστα καὶ νευρωδεστάτοις ὅταν τις
σύντηξις ἐπὶ τὰ νεῦρα καὶ τὰς καμπὰς ἔλθῃ· καὶ ἡ
βαρύτης ἀπὸ ταύτης. διὸ καὶ οὐδεὶς πώποτε τὴν γα-
στέρα ἐκοπίασεν οὐδὲ τὴν κεφαλήν. ἆρα δὲ ὅταν καὶ
ἄλλως πως ἡ ὑγρότης ἐπιρρυῇ πάντως κόπος; οὐ γὰρ
ἂν ἔτι διὰ τὴν κίνησιν. ἢ τοῦτο μὲν οὐκ ἀναγκαῖον *
ἀλλὰ μᾶλλον πόνος τις ἀκολουθεῖ· καὶ γὰρ καθήμενοι
καὶ ἑστῶτες καὶ κατακείμενοί φασι κοπιᾶν καὶ ἐν τῷ
αὐτῷ σχήματι· καὶ ἡ πίεσις ἐπίπονον, οἷον γὰρ
θλίψις καὶ πληγή τις. ἀλλ' ἐνίοτε δὴ καὶ ὑπὸ πλη- 4
σμονῆς καὶ ἀγρυπνίας καὶ ὑπὸ κατάρρου φασὶ κο-
πιᾶν· ἅπαντα δέ πως καὶ ταῦτα πλῆθος ὑγρότητος. ἥ
τε γὰρ πλησμονὴ (μὴ) κρατοῦντος τοῦ σώματος, ἥ τε
ἀγρυπνία κωλύει τὴν πέψιν, ὅ τε κατάρρους φανερά
τις σύντηξις ἢ ἁπλῶς εἰπεῖν ὑγρότης. πότερον οὖν
κόπος ταῦτα ἢ ὠμότης ἢ διάθεσις, ὥσπερ καὶ ἐκ τῶν
ὕπνων συμβαίνει; βαρύνονται γὰρ διὰ τὴν σύντηξιν.
ἢ οὐδὲν κωλύει διὰ πλείους αἰτίας γίνεσθαι τὸν κό- 5
πον. ἐπεὶ ἐνίοτε καὶ κατεξηραμμένου τοῦ σώματος
καὶ οὐδεμιᾶς ὑγρότητος ὑπαρχούσης οὐδαμοῦ κοπιῶσι

Digitized by Google

καὶ μάλιστά γ' ὡς εἰπεῖν οὗτοι. πλὴν εἴ τις * ἐν τούτοις τοῖς μέρεσι λέγοι τὴν σύντηξιν ὑπάρχειν· ἐπεὶ ὅταν γ' ἁπλῶς ὑγρότητος ἐπιρροὴ γένηταί τις οὐ πάντως κόπος ὥσπερ τοῖς ὑδρωπιῶσι τοῖς ἐπὶ καθέδρας ὧν τὰ γόνατα καὶ οἱ πόδες οἰδοῦσιν. οὐδὲ γὰρ ὅλως ὅταν ὑγρανθῇ καὶ βαρυνθῇ τὸ σῶμα· σχεδὸν γὰρ
6 πᾶσι τοῦτο συμβαίνει ἐν τοῖς νοτίοις. ταῦτα μὲν οὖν ἄγαν διορίσαι χαλεπὸν, αἱ δὲ θεραπεῖαι δόξαιεν (ἂν) ἐναντίαι πως εἶναι καὶ τῶν παθῶν καὶ ἑαυταῖς, οἷον ἥ τε καθυγραίνουσα καὶ λουτροῖς καὶ ποτοῖς εἴπερ ἐν ὑγρότητι καὶ συντήξει τὸ πάθος καὶ (ἡ) τῷ κόπῳ λύουσα τὸν κόπον κατὰ τὴν παροιμίαν. οὐκ εἰσὶ δ' ἐναντίαι· καὶ γὰρ μαλάξεως δεῖται τὸ κατάξηρον καὶ συντετηγμένον καὶ πλείοσι τόποις ἔκκρισιν ἐποίησε τοῦ λυποῦντος καὶ κατὰ σάρκα καὶ κατὰ κύστιν· ἥ τε κίνησις καὶ ὁ πόνος ἅπαν ἐξήρανε τὸ σύντηγμα καὶ ἐξέπεψε. οὐχ ἅπασι δὲ οὐδὲ πάντως αἱ τοιαῦται τῶν θεραπειῶν ἀλλ' οἷς μὴ μεγάλαι μηδ' ἀπὸ μεγάλων αἱ
7 ἀρχαί. τὰ δ' ἀντίτυπα καὶ σκληρὰ μᾶλλον ποιεῖ κόπον καὶ ἐν πορείᾳ καὶ ἐν δρόμῳ καὶ ἐν κατακλίσει καὶ ἐν καθέδρᾳ διὰ τὸ μᾶλλον ποιεῖν πληγὴν καὶ πίεσιν. τάχα δ' ἴσως καὶ τὴν συντονίαν πλείω· κοπιαρώτερον δ' ἂν τὸ τοιοῦτο δόξειεν. ἀλλ' ἔν γε ταῖς καθέδραις καὶ ταῖς κατακλίσεσι τὸ ὑπεῖκον καὶ ἐνδιδὸν ὅταν ἅπαξ λάβῃ τὸ βάρος οὐκέτι ὑπείκει· ὥστε
8 καὶ τοῦτο ἐχρῆν ὁμοίως ἀποπιέξειν. οὐκ ἔστι δὲ τοῦτ' ἀληθές. ἀεὶ γὰρ ἔχει πως τὰ τοιαῦτα ἔνδοσιν ὡς πιεστὰ τῇ φύσει· ἐπεὶ καὶ δῆλον ἐν τῷ πλείονι χρόνῳ ποιεῖ τὸ ὑποκείμενον ὅτι τοιοῦτον. τὰ δ' ἀπίεστα καὶ μηδὲν ἐνδιδόντα τῇ θλίψει ποιεῖ τὸν κόπον. ἔτι κατὰ τὴν κίνησιν καὶ τὴν τροπὴν τἄλλ' ἐνδίδωσι καὶ ποιεῖ
9 τινὰ μεταβολὴν, τὰ δὲ οὔ. διὰ ταῦτα δέ πως καὶ τὰ

Digitized by Google

ἐπίπεδα τῶν κοίλων κοπιαρώτερα καὶ τὰ κυρτὰ τῶν
ἐπιπέδων· ἡ γὰρ θλίψις σφοδρότερον ποιεῖ καὶ μείζω
τὸν πόνον ἐφ' ἕνα τόπον ἀθροιζομένου τοῦ βάρους.
τὸ μὲν οὖν κυρτὸν τοῦ εὐθέος τοῦτο δὲ μᾶλλον τοῦ
κοίλου. διότι δὲ τοὺς μηροὺς ἢ τὰς κνήμας μᾶλλον 10
κοπιῶσιν; ὅτι μάλισθ' ὁ πόνος τῇ τοῦ συνεχοῦς δια-
στάσει· συνεχέστερος δὲ καὶ συμφυέστερος ὁ μηρός,
ἅμα δὲ καὶ ἡ τῶν νεύρων διάστασις [καὶ] ἐν τούτῳ,
καὶ ἐγγυτέρω τοῦ τόπου τοῦ ἔχοντος τὸ περίττωμα.
διόπερ ἂν ὑπερβάλλῃ τῇ θερμότητι διὰ τὴν κίνησιν
(ἐπισπῶσιν οἱ μηροὶ) μᾶλλον καὶ πλεῖον. ὅτι δὲ ἡ ἀνάρ-
τησις ποιεῖ συμπάθειαν τῶν νεύρων καὶ φλεβῶν καὶ
ἐκ τῶν βουβώνων δῆλον· πληγέντων γὰρ τῶν κάτω-
θεν ἐνταῦθα βουβῶνες. διότι δὲ καταβαίνοντες μὲν 11
κατάντη τοὺς μηροὺς μάλιστα πονοῦσιν, ἀναβαίνοντες
δὲ τὰς κνήμας; ὅτι κατὰ μὲν τὴν ἀνάβασιν ὁ πόνος
τῷ αἴρειν τὸ σῶμα· φορτίον γὰρ γίνεται ἱκανόν· ᾧ
οὖν ἅπαν ἐπίκειται τὸ βάρος καὶ ᾧ αἴρομεν τούτου
μάλισθ' ὁ πόνος, ἡ δὲ κνήμη τοιοῦτον· ἔσχατον γὰρ
ἔχει μῆκος καὶ οὐχ ὥσπερ ὁ πούς πλάτος, διόπερ σα-
λεύεται. καθάπερ οὖν ὑπὸ τοῦ βάρους τὸν ὦμον μά-
λιστα πονοῦσιν * ὥστε ἐπὶ τούτῳ ἔχουσι τὸ βάρος
ὁμοίως καὶ τὰς κνήμας. ἐν δὲ τῷ καταβαίνειν ὁ πόνος 12
τῷ ἐπιπίπτειν τὸ σῶμα καὶ προωθεῖν παρὰ φύσιν,
ὥστε καὶ ᾧ μάλιστα ἐπιπίπτει καὶ σαλεύει τούτῳ μά-
λιστα καὶ ποιεῖ τὸν πόνον. ὡς οὖν ἡ κνήμη μᾶλλον
ἐν τῷ ἀναβαίνειν κακοπαθεῖ, οὕτως ὁ μηρὸς ἐν τῷ κα-
ταβαίνειν ἐξαίρων τὸ σῶμα ὅλον. ἁπλῶς δὲ τὰ βάρη
κάτω φέρεται ὥστε χαλεπώτερον τὸ ἀναβαίνειν τοῦ
καταβαίνειν. χαλεπώτεροι δ' οἱ περὶ τὸν θώρακα τό-
ποι τῶν κάτω, διότι ἐγγυτέρω τοῦ πνευματικοῦ τόπου·
συμβαίνει οὖν ταχὺ συνεκφλεγμαίνειν, τοῦτο δὲ ὁ

Digitized by Google

πυρετός· ἡ δ' ἀπὸ τῶν σκελῶν φλεγμονὴ πόρρω διὰ
13 τὸ ἀπομαραίνεσθαι θᾶττον. τῷ δὲ βραχίονι κοπιαρώτερον διὰ κενῆς ῥίπτειν (ἢ) λίθον ἢ ἄλλο τι βάρος διότι σπασματωδέστερον καὶ καματωδέστερον. οὐ γὰρ ἀπερείδεται καθάπερ ὁ βάλλων πρὸς τὸν ἐν τῇ χειρὶ ὄγκον καὶ ὥσπερ ὁ πένταθλος πρὸς τοὺς ἁλτῆρας (καὶ ὁ θέων παρασείων [πρὸς] τὰς χεῖρας) καὶ τοὺς καρπούς. διὸ ὁ μὲν μεῖζον ἅλλεται ἢ μὴ ἔχων, ὁ δὲ θᾶττον δεῖ ἢ μὴ παρασείων, ὁ δὲ ἧττον σπᾶται προ-
14 πετῶς διὰ τὸ βάρος. οἱ δὲ βραχεῖς περίπατοι κοπιαρώτεροι τῶν μακρῶν καὶ οἱ ὁμαλοὶ τῶν ἀνωμάλων, ὅτι πολλάκις ἵστασθαι συμβαίνει· τὸ δ' ἐν τῷ αὐτῷ σχήματι χαλεπὸν καὶ κοπῶδες. [οὐδέν] οὐδ' ἐκεῖνο ὑπεναντίον ὡς κοπιῶσί τε μᾶλλον ἐν τοῖς ὁμαλέσι χωρίοις καὶ θᾶττον βαδίζουσιν ἢ ἐν τοῖς ἀνωμάλοις. κοπιαρώτερον μὲν γὰρ τὸ ἐν (τῷ) αὐτῷ σχήματι, θᾶττον δ' ἡ βάδισις ἡ ἐν τῷ ἴσῳ χρόνῳ ἐλάττω τὴν ἀναφορὰν ἔχουσα. τοιαύτη δ' ἡ ἐν τῷ ὁμαλῷ. τὸ δὲ παρ' ἑκάστην πορείαν γινόμενον (μικρὸν πολὺ) γίγνεται παρὰ τὰς πολλάς.
15 διότι δὲ μακροὶ μὲν ὄντες οἱ περίπατοι ἐν τοῖς ὁμαλέσι κοπιαρώτεροι τῶν ἀνωμάλων οἱ δὲ βραχεῖς ἀκοπώτεροι; ἢ ὅτι ἥ τε πολλὴ κίνησις ποιεῖ κόπον καὶ (ἡ) ἰσχυρά· τοιαύτη (δὲ ἡ) σπασματώδης· πολλὴ δ' ἡ συνεχὴς καὶ ὁμοία. ἐν μὲν οὖν τοῖς ἀνάντεσιν ἂν ἔχωσι μῆκος αἱ μεταβολαὶ ποιοῦσιν ἀνάπαυσιν, ἐν δὲ τοῖς ὁμαλέσιν ἡ ὁμοιότης τοῦ σχήματος οὐ διαλαμβάνει ἀλλὰ συνεργάζεται πρὸς τὸ συνεχῆ τὴν κίνησιν εἶναι. ὅταν δ' ᾖ βραχεῖα διὰ μὲν τὸ πλῆθος τῆς κινήσεως οὐ γίνεται κόπος, διὰ δὲ τὸ τὴν μεταβολὴν ἰσχυρὰν εἶναι καὶ ἐναντίαν τῶν κάτω καὶ ἄνω ποιεῖ κόπον. τοιαύτη δὲ ἡ ἐν τοῖς ἀνάντεσιν· ἐν δὲ τοῖς πεδίοις τοὐναντίον.
16 διότι ἐξονειρωκτικοὶ οἱ κοπιῶντες; ὅτι θερμά τε καὶ

Digitized by Google

κάθυγρα τὰ σώματα διὰ τὴν σύντηξιν, ἡ δὲ τοιαύτη διάθεσις σπερματική. κατάκεινται δ' ὕπτιοι διὰ τὴν ἔκλυσιν· ἐν τούτῳ γὰρ τῷ σχήματι μάλιστ' ἄνισον καὶ πρὸς τὸν ἐξονειρωγμὸν συνεργεῖ. συμβαίνει δ' αὐτοῖς καθεύδειν μὲν μᾶλλον τὴν δ' ἴσην τροφὴν ἧττον πέττειν — καίτοι ὁ ὕπνος πεπτικόν — ὅτι ἅμα τῇ τροφῇ περιττώματος ἔχουσι πλῆθος· ὃ καὶ αὐτὸ μέτριον ὂν δυσπεπτότερόν ἐστι πολλῆς τροφῆς. διὸ καὶ ἀναμιγνύμενον κωλύει πέττεσθαι τὴν τροφήν. ὁ δὲ ὕπνος μᾶλλον γίνεται ἀπὸ τοῦ πλείονος ὑγροῦ καὶ θερμοῦ καθάπερ τοῖς μεθύουσι. κελεύουσι δέ τινες τοὺς μὲν 17
χειμερινοὺς (κόπους) ἀλείμματι τοὺς δὲ θερινοὺς λουτρῷ θεραπεύειν, τοὺς μὲν διὰ τὰς μεταβολὰς καὶ φρίκας τοὺς δὲ διὰ τὴν ξηρότητα τῆς ὥρας καθυγραίνειν· διὸ καὶ τοῖς ποτοῖς τοῦ θέρους μᾶλλον. ἡ δ' ὀλιγοσιτία κοινὸν μὲν οἰκειότερον δὲ τῷ θέρει· διὰ γὰρ τὴν ὥραν ὑπὸ τῶν σιτίων θερμαίνεται. διότι δὲ τὰ ὑγρὰ 18
σώματα κοπιαρώτερα τῶν μὴ ὑγρῶν; ἀσθενέστερα γάρ· τὸ δὲ σκληρὸν ἰσχυρότερον μὲν ἀπαθέστερον δέ, οὐ πρὸς ἅπασαν ἀπάθειαν οἷον πρὸς θραῦσιν ἢ κάταξιν ἢ θλάσιν ἢ διάσπασιν ἀλλὰ τὰ γλισχρότερα, ὧν ἔνια μαλακὰ καὶ ὑγρὰ τὴν φύσιν. ὁ δὲ κόπος ἐκ σπαστικῆς καὶ ἐκ πληκτικῆς κινήσεως· ἐν μὲν γὰρ τῇ μεταβολῇ τῆς πορείας πάντ' ἔχει καὶ τὴν συνέχειαν παρὰ τὰ μέρη· ἐν δὲ τῇ θέσει τῶν μερῶν τύπτει διὰ τὰ ὑγρὰ τῶν σωμάτων. καὶ γάρ τοι . . . μᾶλλον καὶ τύπτεται ἧττον διὰ . . . τὰ δὲ σκληρὰ τοὐναντίον.

Fr. VIII. *ΠΕΡΙ ΙΛΙΓΓΩΝ.*

Οἱ ἴλιγγοι γίνονται ὅταν ἢ πνεῦμα ἀλλότριον περὶ τὴν κεφαλὴν ἢ ὑγρότης περιττωματικὴ . . . ἢ ἀπὸ τροφῆς ἐνίας οἷον . . . ἢ τοῦ οἴνου ἢ καὶ ἄλλου τινὸς χυλοῦ, ἢ τρίτον ὅταν κινῇ τις κύκλῳ τὴν κεφαλήν· ὁ γὰρ τόπος ὁ περὶ τὸν ἐγκέφαλον φύσει μὲν ὑγρός ἐστιν ὅταν δ' ἔλθῃ τι πνεῦμα ἀλλότριον βιάζεται διαδυόμενον πρὸς τὰς φλέβας καὶ ὠθεῖ κύκλῳ τὸ προϋπάρχον ὑγρὸν, ὥστε τρόπον τινὰ τὸ αὐτὸ συμβαίνει καὶ ἐάν τις προαιρέσει κύκλῳ κινῇ τὴν κεφαλήν. οὐδὲν γὰρ διαφέρει ἔξωθεν ἢ ἔσωθεν εἶναι τὸ κινοῦν. οὔσης δὲ οἷον δίνης τινὸς τῆς φορᾶς καὶ τοῦ ὑγροῦ μὴ συνεχοῦς ὁμοίως ἀλλ' ἐν τῇ κινήσει τοῦ μὲν ὑστεροῦντος τοῦ δὲ προτεροῦντος τὸ ὑφιστάμενον ἀντικροῦον ἵστησι, τὸ δ' ἱστάμενον διὰ τὸ μὴ ἰσορροπεῖν ὁμοίως αὐτῇ ᾗ ἂν ῥέπῃ ταύτῃ φέρεται καὶ τὸν ἴλιγγον
2 *ποιεῖ καὶ καταβάλλει πολλάκις. αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὰ ὑγρὰ ῥᾳδίως στρέφεσθαι καὶ δινεῖσθαι διὰ τὴν λεχθεῖσαν * αἰτίαν, ὅτι οὐ συνεχῆ· παραπλήσιον γὰρ τὸ συμβαῖνον ὥσπερ ἐν τοῖς ᾠοῖς τοῖς ὠμοῖς· οὐδὲ γὰρ ταῦτα δύναται δινεῖσθαι διὰ τὴν ὑγρότητα, τὰ δ' ἑφθὰ δύναται. (διότι τὰ μὲν ὑπὸ ὑγρότητος ἀνωμάλου καὶ οὐκ ἰσορρόπου οὔσης σφάλλεται τὰ δ' οὔ); διὰ τὸ μὴ ἔχειν τὸ σφάλλον ὑφιστάμενον*
3 *ἑνὸς ὄντος καὶ συνεχοῦς (τοῦ ἐντός.) αἱ μὲν οὖν αἰτίαι σχεδὸν αὗται καὶ τοιαῦται τοῦ πάθους. ἀφ' ὧν δὲ συμβαίνει γίνεσθαι τὰ καθ' ἕκαστα περὶ ὧν ἀποροῦσι πρὸς ταῦτα ἀνάγειν πειρατέον. οἷον διότι κύκλῳ περιπατοῦντες ἰλιγγιῶσι καὶ ἔτι μᾶλλον [καὶ] ὅσῳ ἂν ἐλάττω κύκλον, κἂν θᾶττον θέωσι σφοδρότερον· κἂν μετὰ πολλῶν ἢ μόνοι, καὶ ἐπ' ἀρίστερα θέοντες*

Digitized by Google

μᾶλλον (ἢ ἐπὶ δεξιά), καὶ οἱ μακρότατοι δὲ μάλιστα.
πάντων γὰρ τούτων καὶ εἴ τι ἄλλο τοιοῦτον ἐν τοῖς
πρότερον εἰρημένοις αἰτιᾶται. εἴπερ γὰρ ὁ ἴλιγγος 4
γίνεται εἴ τις ἐν τῷ αὐτῷ στρέφοιτο τάχιστ' ἂν καὶ
μάλιστα τῶν λοιπῶν ἰλιγγιώη ὁ ἐγγυτάτω ἢ ὁ ἐν ἐλάτ-
τονι κύκλῳ στρέφων, καὶ ὅσῳ ἂν θᾶττον μᾶλλον. δι-
όπερ (καὶ) οἱ θέοντες τῶν περιπατούντων καὶ οἱ
ταχέως τῶν βραδέως· θέουσι γὰρ (ἐγκεκλικότες) πρὸς
τὸ κέντρον· ὡς ὅταν κατ' εὐθὺ τὰ μήκη αὐτῶν ἐκ-
πίπτη πρὸς μίαν κορυφὴν συνάπτειν καὶ γίνεσθαι κῶ-
νον βάσιν δ' εἶναι τὸν κύκλον. διόπερ συμβαίνει καθ- 5
άπερ ἐν τῷ αὐτῷ στρέφειν τὴν κεφαλὴν καὶ ὅσῳ ἂν
ἐλάττω κύκλον μᾶλλον, ὀξύτερος γὰρ ὁ κῶνος, καὶ ἐὰν
θᾶττον πλεονάκις ἐν τῷ αὐτῷ γίνεσθαι κατὰ τὸν ἴσον
χρόνον· καὶ τοῖς μακροτέροις δὲ μᾶλλον ὅσῳ ἐγκλίνου-
σιν· ἐγγυτέρω γὰρ ἔχει τὴν κεφαλὴν ὁ μείζων τῆς τοῦ
κώνου κορυφῆς. διὸ σχεδὸν ὥσπερ ἐν τῷ αὐτῷ συμ-
βαίνει [ἴσην] ἔχοντα τὴν κεφαλήν· οὕτω δὲ μάλιστα ὁ
ἴλιγγος. καὶ οἱ εἰς τὰ ἀρίστερα θέοντες ἔτι μᾶλλον 6
ἔσω νεύουσι καὶ ὀξυτέραν ποιοῦσι γωνίαν πρὸς τὸν
κύκλον· ἐμβριθέστερα γὰρ ὄντα τὰ δεξιὰ προσβιάζεται
μᾶλλον ἐντὸς διὰ τὴν ἀσθένειαν τῶν ἀριστερῶν. καὶ
ἐὰν μετὰ πολλῶν θέωσι μᾶλλον καὶ θᾶττον ἢ μόνοι·
πρὸς γὰρ τῇ κύκλῳ περιφορᾷ καὶ ἡ ὄψις αὐτὴ προσ-
βάλλουσα τοῖς θέουσι καὶ συνεχὴς οὖσα ἐν τῷ ἐγκε-
φάλῳ ποιεῖ τινὰ κίνησιν ἑτέραν καὶ ταραχήν· ἀπὸ γὰρ
τῶν ἔξω διαδίδοται καὶ πρὸς τὰ ἐντός· ὥστ' ἐπεὶ καὶ
ἑκάτερον ποιεῖ τὸν ἴλιγγον, οἷον ἥ τε κύκλῳ κίνησις
τῆς κεφαλῆς καὶ ἡ ὄψις συνεχῶς βλέπουσα τὸ κύκλῳ
κινούμενον ἐξ ἀμφοτέρων εὔλογον θᾶττον καὶ μᾶλλον
γίνεσθαι τὸ πάθος. ὅτι δὲ διὰ τὴν τῆς ὄψεως κίνησιν 7
ἰλιγγιᾶν συμβαίνει φανερὸν ἐκ πολλῶν. οἵ τε γὰρ

Digitized by Google

*πλέοντες θᾶττον καὶ μᾶλλον ἰλιγγιῶσιν ὅταν ἐμβλέπωσι
τοῖς κύμασι καὶ τῇ τῶν * ὅλων ἄστρων κινήσει διὸ καὶ
ἐγκαλύπτονται τοῦτ᾽ εὐλαβούμενοι· καὶ οἱ τὰς αἰώρας
καὶ τοὺς τροχοὺς θεωροῦντες ἢ καὶ συμπεριφέροντες
τὴν ὄψιν ταχὺ σκοτοῦνται· συμβαίνει γὰρ κινουμένην
κύκλῳ τὴν ὄψιν κινεῖν τὰ ἐντὸς ἀνωμάλως καὶ ταράτ-
8 τειν. ἰλιγγιῶσι δὲ καὶ οἱ τὰ ὑψηλὰ καὶ τὰ μεγάλα καὶ
ἀπότομα ἀποβλέποντες διὰ τὸ συμβαίνειν μακρὰν
ἀποτεινομένην σείεσθαι καὶ κραδαίνεσθαι τὴν ὄψιν·
σειομένη δὲ οὕτως καὶ κινουμένη ταράττει καὶ κινεῖ
τὰ ἐντός. ἀναβλέπουσι δ᾽ οὐ συμβαίνει τοῦτο διὰ τὸ
μὴ [ὡς] ἀποτείνειν μακρὰν ἀλλ᾽ ἀποτέμνεσθαι ἐν τῷ
9 φωτί. γίνεται δ᾽ ἴλιγγος καὶ ὅταν εἰς τὸ αὐτὸ βλέπωσι
καὶ ἐπατενίζωσιν. ὃ καὶ ἐπαπορεῖται διὰ τί ποτε
κινουμένης κύκλῳ τῆς ὄψεως καὶ ἠρεμούσης συμβαίνει
τὸ αὐτὸ πάθος· ἄτοπον γὰρ τὸ ὑπ᾽ ἐναντίων. αἴτιον
δὲ τοῦ μὲν ἐν τῇ κυκλοφορίᾳ τὸ εἰρημένον, τοῦ δ᾽ ἐν
τῇ ἐπιστάσει καὶ τῷ ἀτενισμῷ, διότι τὰ ἐν τῷ κινεῖ-
σθαι σωζόμενα διίστησι καὶ ἡ στάσις· τῆς ὄψεως δὲ
στάσης, ἑνὸς μορίου, καὶ τἄλλα τὰ συνεχῆ ἐν τῷ ἐγκε-
φάλῳ ἵσταται· διιστάμενα δὲ καὶ χωριζόμενα τὰ βαρέα
καταβαρύνει καὶ ποιεῖ τὸν ἴλιγγον. τὰ γὰρ πεφυκότα
κινεῖσθαι τήνδε τὴν κίνησιν σώζεται καὶ συμμένει διὰ
ταύτην· εἰ δὲ μή, καθάπερ Ἡράκλειτός φησι, καὶ ὁ
10 κυκεὼν διίσταται μὴ κινούμενος. εἴη δ᾽ ἂν καὶ τῇ
κυκλοφορίᾳ αὐτὸ τοῦτ᾽ ἀποδιδόναι· διίστησι γὰρ ἡ
δίνη τά τε βαρέα καὶ κοῦφα δέον ἅμα εἶναι τὰ μὲν
εἰς τὸ μέσον ἄγουσα τὰ δ᾽ εἰς τὸ ἔσχατον. ποιεῖ δὲ
καὶ τὸ κύπτειν ἰλίγγους διὰ τοῦτο· χωρίζεται γὰρ τὰ
βαρέα καὶ ἐλαφρά, τὰ μὲν ἄνω τὰ δὲ κάτω· δεῖ δὲ
11 ἅμα εἶναι καθάπερ ἐλέχθη. ποιεῖ δὲ καὶ ἄλλη τις
ἐναντίωσις ὡς δοκεῖ, οἷον ἡ τῆς ἐνδείας καὶ τῆς πληρώ-*

Digitized by Google

σεως· ἡ μὲν γὰρ ἔνδεια σύντηξιν ἡ δὲ πλησμονὴ περίτ-
τωσιν ἐποίησεν ὥστε πλήρεις γίνεσθαι τοὺς πόρους·
ἀμφότερα γὰρ ταῦτα καταβαρύνει καὶ ἐφίστησι τὰς
περιόδους, ὅπερ ἐστὶν ὁ ἴλιγγος· ἐπεὶ καὶ αἵ μέθαι
καὶ αἵ φαρμακεῖαι καὶ ὅσα ἄλλα τούτοις παραπλήσια
διὰ τοῦτο ποιεῖ τοὺς ἰλίγγους. ὅθεν καὶ τὸ σημεῖόν 12
τινες ἐπ᾽ ἀμφοῖν κοινὸν λαμβάνουσιν· ὅταν γὰρ μὴ
δύνηταί τις τοὺς στρωτῆρας ἢ (τὰς) δοκοὺς ἀριθμεῖν,
τὸν μὲν οὔπω κεκαθάρθαι τὸν δὲ μεθύειν φασίν. ἡ
ὑγρότης γὰρ ἡ ἀλλοτρία ἐμπεπτωκυῖα ποιεῖ τὴν ταρα-
χήν· διὸ καὶ ἐφ᾽ ὅσων ἄλλων συμβαίνει πνεύματος ἢ
ὑγρότητος γίνεσθαι πλῆθος ἢ καὶ τῶν ὑπαρχόντων
διάστασιν ἀπὸ πάντων συμβαίνει τοῦτο τὸ πάθος. ἀν-
ιστάμενοι δὲ μᾶλλον ἢ καθίζοντες ἰλιγγιῶσιν ὅτι ἠρε-
μούντων συνίσταται τὸ ὑγρὸν ἐν τῇ κεφαλῇ πλέον,
ὅταν δὲ κινῶνται σφαλερὸν γίνεται καὶ εἰς ἓν μόριον
ἀθρόον ἀποκλῖνον ποιεῖ τὸν ἴλιγγον.

Fr. IX. *ΠΕΡΙ ΙΔΡΩΤΩΝ.*

Ὁ ἱδρὼς πότερον ἐξ ὑγρότητος εὐθὺς ἐκκρινομέ-
νης γίνεται ἢ πνεύματος συμφύτου διιόντος διὰ τῆς
σαρκὸς εἶτ᾽ γ᾽ ἔξω πήγνυται καὶ συνίσταται καταψυχό-
μενον ἕτερος ἔστω ἐν ἄλλοις λόγος. διότι δὲ ἁλμυρὸς
ἢ ὀξὺς ἢ κακώδης ἢ τὰς ἄλλας ἔχων διαφορὰς νῦν
πειρατέον θεωρεῖν. ἁλμυρὸς μὲν οὖν γίνεται διότι τὸ 2
ἀλλότριον ἐκκρίνεται, ἐν τῇ προσφύσει τῆς σαρκὸς
ἐξανηλωμένου τοῦ γλυκυτάτου καὶ κουφοτάτου· τὸ γὰρ
τοιοῦτον ἐν μὲν τῇ ὑποστάσει τῇ κατὰ τὴν κύστιν

Digitized by Google

οὖρον ἐν δὲ τῇ σαρκὶ ἱδρὼς καλεῖται· πλὴν ὅτι συμ-
βαίνει τὸ μὲν αὐτομάτως καὶ οἷον αὐτῆς τῆς φύσεως
ἐργαζομένης ὑφίστασθαι τὸν ἱδρῶτα δ' ἐκκρίνεσθαι
διὰ τὴν κίνησιν ἢ πόνον ἢ ἁπλῶς τὴν τοῦ θερμοῦ καὶ
πνεύματος δύναμιν, διὸ καὶ τὸ μὲν ἀεὶ τὸ δ' οὐκ ἀεί.
συνεχὴς δ' οὐχ ἧττον ἡ τοῦ πνεύματος ἔκκρισις ἄφαν-
τος δὲ τῇ αἰσθήσει καθάπερ ἀτμίζοντος ἀεὶ τοῦ σώ-
3 ματος. ἁλμυρὸς δὲ ὅτι ἄπεπτος, τὸ δὲ πεπεμμένον
γλυκὺ, τὸ δ' ἐπιπολῆς ὑδατῶδες ὥσπερ τὸ φλέγμα καὶ
δάκρυον. τάχα δὲ ταῦτα μὲν εὐλόγως τὸ μὲν ὅτι ἀπὸ
τῆς τροφῆς τὸ δ' ὅτι ἀπὸ τῶν περὶ τὸν ἐγκέφαλον. ὁ δ'
ἱδρὼς καθάπερ ἐκ σαρκὸς καὶ φλεβὸς ἐν οἷς ἤδη μετα-
βολὴ τῆς τροφῆς, καὶ τύπῳ τοιαύτη καὶ οὕτως ὥσπερ
κατὰ τὸν ἐγκέφαλον. ἐπεὶ καὶ ἐνταῦθ' ὅταν ἐκ συντή-
ξεως (ἢ) ἄλλου τινὸς πάθους (γένηται) ἁλμυρὸν τὸ πτύε-
4 λον καὶ τὸ δάκρυον. ἢ τούτῳ μὲν μαρτυρεῖ τῷ λόγῳ τὸ
πρότερον ὅτι ἱδρὼς πᾶς ἁλμυρός. εἰ δὲ πορρωτέρωθεν
ἁλυκώτερος * οὗτος δὲ μᾶλλον τῇ προσφύσει δόξειεν,
οὐκ ἂν τοῦ ἀλυσιτελοῦς ἡ ἔκκρισις εἴη. τὸ δὲ ἁλμυρὸν
πᾶν ἀλλότριον. ὑπὲρ μὲν οὖν τούτων σκεπτέον· ἔοικε
γὰρ ὁ μέν τις τοιοῦτος ὁ δ' οὐ τοιοῦτος εἶναι τῶν
5 ἱδρώτων. ἢ τό γε μᾶλλον καὶ ἧττον φανερῶς. ἀκό-
λουθον δέ πως τούτοις ἐστὶ καὶ αἰτίας σχεδὸν τῆς αὐ-
τῆς καὶ ὅτι ὁ μὲν κακώδης ὁ δ' ἄοσμος ἐνίοις δ' ὀξὺς
τῇ ὀσμῇ, καὶ ἄλλοι δὲ τρόποι τῆς κακωδίας· ἅπτον-
ται γὰρ ταῦτα ὡς γένει λαβεῖν ἀπεψίας. τῆς δ' ἀπε-
ψίας ὁτὲ μὲν ἀκαθαρσία τῆς κοιλίας ὁτὲ δὲ ὅλως καχ-
εξία τις αἰτία. πολλάκις δὲ καὶ βρωμάτων τινὲς
προσφοραί· καὶ γὰρ ταῦτα ποιεῖ τινὰ δυσωδίαν ὥσπερ
6 καὶ τὸ πήγανόν φασι. τάχα δὴ ταῦτα μὲν ὡς συμ-
βαλλόμενα θετέον τὴν δ' αἰτίαν τοῖς πρότερον ἀποδο-
τέον καί τι ἂν τῇ ὅλῃ τοῦ σώματος κράσει· πολλοὶ γὰρ

Digitized by Google

τῶν γυμναζομένων καὶ δοκούντων εὖ ἔχειν βαρεῖς καὶ
κακώδεις τοῖς ἱδρῶσιν· ἐπεὶ ὅτι γε τῇ καχεξίᾳ πολλα-
χόθεν φανερὸν, ἔκ τε τῶν καμνόντων καὶ ἐκ τῶν
ἀφροδισιαζόντων πλείω ἕξιν ἐχόντων ἤδη και τῶν θε-
ραπευτῶν ἤδη ὅλως. ἄτοπον δ' ἂν δόξειε τοῦτο εἶναι 7
καὶ ἐναντίωσίν τιν' ἔχον πρὸς ταῦτα καὶ πρὸς τὸ καθό-
λου λεχθὲν, ὅτι οἱ περὶ ἥβην μάλιστα κακώδεις τοῖς
ἱδρῶσι, προϊούσης δὲ τῆς ἡλικίας ἧττον, καὶ οἱ γέρον-
τες οὐδαμῶς· * ἀλλ' ἡ βαρύτης τοῦ χρώματος. καίτοι
πεπτικωτάτη ἡ ἡλικία τῶν ἐν ἥβῃ· σημεῖον δὲ τὸ τῆς αὐ-
ξήσεως· ἡ δὲ τῶν πρεσβυτέρων ἧττον· τῶν δ' ἤδη γερόν-
των παντελῶς. αἴτιον δ' ὅτι πρὸς τὰ ἀφροδίσια μάλιστ' 8
ἐν ὁρμῇ οἱ ἐν ἥβῃ καὶ τῶν πόρων ἄνοιξις καὶ μεταβο-
λὴ, πάντα δὲ ταῦτα σύνεργα πρὸς κακωδίαν· ἡ δὲ τῶν
πρεσβυτέρων . . . οἷά τις ἕξις ἤδη καὶ μένουσα· ἡ δὲ
τῶν γερόντων διὰ μανότητα καὶ εὔπνοιαν . . . διὸ καὶ
οὐδὲ περιττωματική· ἅμα δὲ καὶ εὔπνουν (ἔχουσι τὸ σῶ-
μα καὶ) ἀπερίττωτον οὐδ(ὲν ἐκκρίν)εται τοιοῦτον ἀφ'
οὗ γίγνοιτ' ἂν τὸ κακῶδες. ἐπεὶ καὶ διὰ τοῦτο καὶ ἐκ 9
τῆς κεφαλῆς ἄοσμος ἢ ἧττόν γε τοῦ ἐκ τοῦ σώματος ὅτι
εὔπνους ἡ κεφαλή· δηλοῖ δὲ ἡ τῶν τριχῶν ἔκφυσις τὴν
μανότητα. δυσώδεις δὲ οἱ τόποι καὶ τὰ ἐν αὐτοῖς ὅσα
μὴ εὔπνοα· σήπεται γὰρ, ἡ δὲ κακωδία σῆψίς τις. διὸ
ὁ ἐκ τῶν μασχαλῶν ἱδρὼς καὶ ὅλως ὁ ἐκ τῶν κοίλων
κακωδέστατος· καίτοι μανοί γε οἱ τόποι, ἀλλ' ἡ κα-
τάπνιξις καὶ ἡ κοιλία ποιεῖ τὴν κακωδίαν. ταὐτὸ δὲ
πέπονθεν ὁ τόπος ὁ τοιοῦτος καὶ ὅλον τὸ σῶμα πρὸς
τὴν κακωδίαν· ἀπεψία γὰρ κἀκεῖ γίνεται. τὴν δὲ διὰ 10
τὸ πήγανον κακωδίαν καὶ ὑπὸ μύρων ἐνίων ὅταν ἀνα-
διδῶσι, καὶ γὰρ τοῦτο συμβαίνει, λεκτέον· ὑπὲρ ὧν . . .
γίγνεται δὲ καὶ ὁ μὲν θερμὸς ὁ δὲ ψυχρὸς ἱδρὼς, ὁ
μὲν ὥσπερ πεπεμμένος ὁ δ' ἄπεπτος. ἡ δ' ἀπεψία

Digitized by Google

διαφέρει τῆς εἰς τὴν κακωδίαν· αὕτη μὲν γὰρ ἔοικε κατεργασίᾳ τινὶ καὶ μεταβολῇ τῆς ὑγρότητος, ἐκείνη δὲ μεταβολῇ μέν τινι καὶ ἀλλοιώσει οὐ φυσικῇ δὲ οὐδὲ κατακεκρατημένῃ . . . καθάπερ οὐδὲ τὰ τῆς κοιλίας
11 περιττώματα δυσώδη. Διότιμος δ' ἔλεγεν ὁ γυμναστὴς ὅτι τρεῖς τινὲς διαφοραὶ τῶν ἱδρώτων εἰσὶν ἀρχομένων τε καὶ μεσούντων καὶ ληγόντων· αὗται μὲν οὖν αἱ διαφοραὶ γίγνονται τῇ τε τῶν πόνων ἐπιτάσει καὶ τῇ τοῦ σώματος ἀλλοιώσει. δῆλον γὰρ ὡς ἀπὸ τῆς ἀνομοίας διαθέσεως ἀνόμοιον καὶ τὸ αἴτιον· ἐπεὶ καὶ λεπτότης τις καὶ παχύτης ἐστὶν ἐν τοῖς ἱδρῶσιν· ὁ μὲν γὰρ ἐπιπολαῖος καὶ πρῶτος ὑδατώδης τις καὶ λεπτὸς, ὁ δ' ἐκ βάθους μᾶλλον βαρύτερος ὥσπερ συντηκομέ-
12 νης τῆς σαρκός. ἤδη δέ τινές φασι καὶ αἵματι εἰκάσθει, καθάπερ Μονᾶς ἔλεγεν ὁ ἰατρὸς, δῆλον ὡς ἐπισπασθείσης πλείονος ὑγρότητος ἐκ τῶν φλεβῶν, ἀπέπτου δὲ, ὥσπερ ἀνακεχρωσμένης ταύτης· ἐνίοτε γὰρ καὶ αὐτὸ τὸ αἷμα γίνεται ἄπεπτον. ἁπλῶς δὲ τοῦτό γε ὥσπερ πολλάκις εἴρηται καὶ ἐπὶ πάντων ἐστὶν ἀληθὲς ὅτι κατὰ τὰς ἕξεις τῶν σωμάτων ἡ ἔκκρισις ἀεὶ
13 τῶν περιττωμάτων γίγνεται. ἐπεὶ διὰ τοῦτο ἔνιοι ὅταν πλείω πονήσωσιν ἕλκη ἔχουσι· διὰ γὰρ τὴν ἀκαθαρσίαν τοῦ σώματος ἡ κίνησις προσοῦσα καὶ θερμαίνουσα συνεξικμάζει τὰ περιττώματα μετὰ τοῦ ἱδρῶτος ἅπερ ἐνίοτε παχέα ὄντα καὶ χυλοὺς ἔχοντα μοχθηροὺς, οἷον ὀξεῖς καὶ ἁλμυροὺς καὶ πικροὺς, ἐκκρίνεσθαι μὲν οὐ δύναται διὰ τὸ πάχος ἐξαίρεται δὲ καὶ ἐξελκοῖ τὴν
14 σάρκα διὰ τὴν πικρότητα τοῦ χυλοῦ. παραπλήσιον δὲ τρόπον τινὰ τούτῳ καὶ τὸ περὶ τὴν ψώραν καὶ τοὺς λειχῆνας καὶ λέπραν καὶ ὅλως ὅσα ἐκφύματα γίγνεται· καὶ γὰρ ἐν τούτοις ἀπέπτου τινὸς χυλοῦ καὶ περιττώματος ἔκκρισις τὸ ἐπιπολῆς ἐστὶν ὧν πειρῶνται καθάρ-

Digitized by Google

σει κατ' ἄλλον τόπον ἀντισπῶντες καὶ ἀντικαθιστάντες παῦλάν τινα ποιεῖν. ἀλλὰ περὶ μὲν τούτων καὶ πόσα καὶ ποῖα καὶ τί διαφέροντα καθ' αὐτὰ χρὴ θεωρεῖν. ὅτι δὲ διὰ καχεξίαν τινὰ καὶ ἡ τῶν τοιούτων 15
ἔκκρισις φανερὸν ἐκ τῶν εἰρημένων· οὐ γὰρ ὅτι ταῦτα πόνου προσδεῖται καὶ τῆς ἔξωθεν κινήσεως ἀλλὰ τὰ μὲν αὐτῶν διωθεῖται ὑπὸ τῶν κρατούντων· συμβαίνει γὰρ τὰ μὲν τῇ ὥρᾳ κρινόμενα τὰ δὲ τῇ κινήσει καὶ τῇ ἐκ ταύτης θερμότητι ποιεῖσθαι τὴν ἔκκρισιν, τὰ δ' ἤδη διὰ πλῆθος ἀπέπτων ἢ τοῦ αἰτίου γέ τι χυλοῦ καθ' ἕκαστον. ὅτι δὲ κινήσεις καὶ οἱ πόνοι ποιοῦσιν ἐνίοις τὰ τοιαῦτα φανερὸν καὶ ἐκ τῶν ἐνοδίων καλουμένων, ἃ γίνεται πολλοῖς ὅταν εἰς ὁδὸν ἐμπέσωσι, μάλιστα μὲν ἐπὶ τοὺς μηροὺς ὁτὲ δὲ καὶ ἐπὶ πλεῖον· ἔστι δὲ οἷς καὶ αἱ κνῆμαι παραπίμπρανται. πρὸς ἅπαντα δὲ 16
τοιαῦτα συμφέρει τὸ μὴ ἐρεθίζειν μηδὲ κινεῖν ἀλλ' ἐᾶν ἀποκαταστῆναι· συνεκκαλεῖσθαι γάρ ἐστι κινοῦντα τὴν ὁρμήν, ὅπερ καὶ πρὸς τὰ ἐξαιρόμενα συμβαίνει. πολλάκις γὰρ διὰ τὴν ἁλμυρίδα τὴν ἀπὸ τοῦ ἱδρῶτος γινομένην ἐρεθισμῷ τινὶ κνησμώδει καὶ ἐπάρσεις τινὲς ἰονθώδεις γίνονται πρὸς ἃς οὐ συμφέρει τὸ κινεῖν οὔτε * ταύτῃ ποιούμενον τὴν ἔκκρισιν οὔτε δριμύτητι χυλῶν οἷον ὀξεῖ καὶ στρυφνῷ καὶ ἁλυκῷ κατέχειν πειρώμενον οὐδὲ θερμολουσίᾳ ἢ ψυχρολουσίᾳ χρώμενον ἀλλὰ πυριάσει χλιαρῇ μὴ πολλῇ. καθίστησι γὰρ αὕτη μάλιστα τἆλλα δὲ ἐρεθίζει καὶ κινεῖ. ταῦτα μὲν 17
οὖν ὥσπερ εἴρηται διὰ καχεξίαν καὶ δι' ὑπερβολὴν ἐνίοτε πόνων γίνεται· καὶ γὰρ ἐνταῦθα συμμετρία τίς ἐστι τῆς ἐκκρίσεως ὥσπερ καὶ κατὰ τοὺς ἄλλους πόνους. οἱ δ' ἄγαν ἐνδιδόντες ἑαυτοὺς ὥσπερ συντήκουσι τοῦτο ποιοῦσιν, ὡς Ἀντιφάνης ὁ Δήλιος καὶ Ὑριάδας. διά τι δ' οἱ παῖδες δυσιδρῶτες τῶν ἀνδρῶν μᾶλλον 18

Digitized by Google

καὶ μάλιστα δὴ τὰ παιδία καίπερ θερμὰ τὴν φύσιν ὄντα καὶ ὑγρὰ καὶ τοῦ ἱδρῶτος ἐκ τούτων πως γινομένου τήνδε τὴν αἰτίαν ὑποληπτέον, ὅτι πυκνὸς ὁ χρὼς τῶν παίδων, πυκνότατος δ' ὁ τῶν παιδίων, ὥσπερ
19 συγκεκλειμένους ἔχων τοὺς πόρους. ἔτι δὲ ἡ θερμότης ἐπικρατοῦσα πέττει διὰ τὴν αὔξησιν· ἐὰν δέ τι καὶ γίνηται περίττωμα τοῦτο ἐκκρίνεται κατὰ κοιλίαν· εὔρους γὰρ καὶ ὡς ἐπίπαν ὑγροτέρα ἡ τῶν παιδίων, οἱ δὲ γέροντες μανόχροοι μὲν ἀλλὰ ξηροί. δεῖ δὲ τῷ ἱδρῶτι καθάπερ ὕλην τινὰ ὑπάρχειν τὸ ὑγρόν· ἄλλως τε καὶ αὐτὸ τὸ εὔπνουν καὶ μανὸν ἱκανὴν ποιεῖ τὴν ἔκκρισιν ἀεί τε συνεχὲς ὂν καὶ μὴ πολλῶν ἐνυπαρχόντων (τῶν ὑγρῶν). ὥστε πλείων ἡ ξηρότης καὶ τὸ μὴ εὔϊδρον· ἢ γὰρ κατ' ἄλλον τρόπον ἀπέρασις ἢ κατὰ
20 τὸν αὐτόν, ἑκατέρα δὲ κωλύει τοὺς ἱδρῶτας. διὰ τοῦτο γὰρ καὶ ὧν αἱ κοιλίαι ὑγραί, καὶ οἷς εἰς κύστιν ἡ ἐπίρροια πλείων δυσίδρωτες ὅτι πᾶν τὸ ὑγρὸν ἐνταῦθ' ὥρμηκεν· οἷς δὲ πάλιν ἐπίσχεται τὸ τῆς κοιλίας καὶ κύστεως οὗτοι δὲ εὐΐδρωτες μᾶλλον. ἡ γὰρ ἐνταῦθα μεριζομένη περίττωσις ἀναφέρεται πρὸς τὰς σάρκας καὶ εἰς τοὺς ἄνω τόπους· ἐπεὶ καὶ ἀπέπτων τῶν σιτίων ὄντων καὶ ἀγρυπνήσαντες εὐΐδρωτες μᾶλλον, ὅτι συμβαίνει τὴν πέψιν διαμερίζειν τὴν ὑγρότητα καὶ τὸν
21 ὕπνον ἐκπέττειν· ἐκ ξηροῦ δ' οὐκ ἔστιν ἱδρώς. ἄτοπον δ' ἂν ἐκεῖνο δόξειε καὶ ὥσπερ ὑπεναντίον εἰ οἱ γυμναζόμενοι καὶ εὖ ἔχοντες εὐΐδρωτες καὶ πάλιν οἱ ἀγύμναστοι καὶ κακῶς ἔχοντες καὶ οἱ πεπεμμένην τε καὶ οἱ ἄπεπτον ἔχοντες τὴν τροφήν. οὐκ ἔστι δ' ἄτοπον· οἱ γὰρ γεγυμνασμένοι τῷ μανὰ τὰ σώματα καὶ ἀνεῳγμένους ἔχειν τοὺς πόρους, ἔτι δὲ (τῷ συνήθεις
22 εἶναι πρὸς) τοὺς ἱδρῶτας (εὐΐδρωτες). διὰ τοῦτο γὰρ καὶ οἱ μὴ χρονίως ποιούμενοι τὰς ἀφιδρώσεις εὐΐδρω-

Digitized by Google

τες ὅτι τῶν μὲν ἀνεῳγμένοι τῶν δὲ συμμεμυκότες οἱ πόροι διὰ τὸ μὴ χρῆσθαι. συμβαίνει δὲ τοῦτο καταπεπεμμένης τῆς τροφῆς διὰ τὴν αὐτὴν αἰτίαν· οἱ δὲ κακῶς ἔχοντες· καὶ μὴ πεπεμμένην τὴν τροφὴν τῷ πλήθει τῆς ὑγρότητος εὐΐδρωτες, διότι οὔτ' ἀπὸ τῶν αὐτῶν οὔθ' ὡσαύτως. ἀλλ' ἐκεῖνοι μὲν μετὰ πόνου καὶ ἀεὶ τὸ σύμμετρον ἀφαιροῦντες οὗτοι δὲ καὶ αὐτομάτως καὶ ὡς ἂν τύχῃ καὶ τὸ ὅλον ἀεὶ περιττώματος ἔχοντες πλῆθος. δοκοῦσι δέ τινες καὶ ἐν τῷ χειμῶνι 23
μᾶλλον εὐΐδρωτες ἢ ἐν τῷ θέρει εἶναι μὴ τὰς ὑπερβολὰς ἑκατέρου λαμβανόντων οἷον ψύχους τε καὶ καύματος, — ἡ μὲν γὰρ οἷον ῥῖγος ἂν ποιήσειεν ἡ δὲ τοῦ καύματος σύντηξιν — ἀλλὰ τὸ μέσον ἐν ἑκατέρῳ. τὴν δ' αἰτίαν ταύτην ὑποληπτέον, εἴπερ ἀληθὲς, ὅτι ἡ μὲν ξηρὰ τῶν ὑγρῶν, ἡ δὲ ψυχρὰ ἀντιπερίστασίν τινα τοῦ θερμοῦ (ποιεῖ) καὶ κατάστασιν. ὁ δὲ ἱδρὼς ἐξ ἀμφοῖν τοῦ μὲν ὡς ποιοῦντος τοῦ δὲ ὡς πάσχοντος. ἔτι δὲ τοῦ θέρους καὶ διαιτήσονται τὸ πολὺ τοῦ ὑγροῦ.
διότι δὲ καὶ (τὰ) ἄνω μᾶλλον ἱδρῶσι τρόπον τινὰ 24
φανερόν· καὶ γὰρ τὸ ὑγρὸν καὶ τὸ πνεῦμα καὶ τὸ θερμὸν ἐνταῦθα μᾶλλον, ἐξ ὧν καὶ δι' ὧν ὁ ἱδρώς. καὶ 25
ὅτι οὐ πονοῦντες ἀλλ' ὅταν παύσωνται μᾶλλον ἱδρῶσι οὐδὲ συντείνοντες οὐδὲ κατέχοντες τὸ πνεῦμα, ἀλλ' ὅταν ἀνῶσιν, ἐν τούτοις ἡ αἰτία· πονούντων μὲν γὰρ ὑπὸ πνεύματος αἱ φλέβες ἐμφυσώμεναι συμμύειν ποιοῦσι τοὺς πόρους, παυσαμένων δὲ συνίζουσιν, ὥστε δι' εὐρυτέρων καθάπερ ἀνεῳγμένων μᾶλλον ἐξέρχεται τὸ ὑγρόν. καὶ ἡ κάθεξις δὲ τοῦ πνεύματος πληροῖ τὰς 26
φλέβας ὥστε κωλύει ἐξιέναι καθάπερ τὸ ὕδωρ τὸ ἐκ τῶν κλεψύδρων ὅταν γε πλήρεις οὔσας τις ἐπιλάβῃ, ὅταν δ' ἀφεθῇ τοτ' ἐξέρχεται μηδενὸς ἐμφράττοντος. ἔπειτα δὲ ἡ ἀπόκρισις ἡ ὑπὸ τῆς θερμότητος γινομένη

Digitized by Google

τοῦ ὑγροῦ πνεύματος διὰ τῶν πόρων ἐξάγεται πρὸς τὸ ἐπιπολῆς· ὅταν δὲ παύσηται πονῶν ἥ τε θερμότης ἅμα λήγει καὶ ἐκ τοῦ πνεύματος ἀποψυχομένου γίνεται ὑγρότης ὁ καλούμενος ἱδρὼς, ὥστε καὶ πλεῖον καὶ
27 ῥᾷον ἐκπίπτειν. μετὰ δὲ τοὺς δρόμους καὶ τοὺς πόνους ἐν τῇ σκιᾷ μᾶλλον ἱδροῦσιν ἢ ἐν τῷ ἡλίῳ διὰ τὸ τὸν ἥλιον ἀναξηραίνειν καὶ πυκνοῦν τοὺς πόρους· ὅλως γὰρ οὔτε πολὺ τὸ θερμὸν ἄγαν οὔτε ὀλίγον δεῖ τὸ ἐκτὸς εἶναι· τὸ μὲν γὰρ οὐ κινεῖ τὸ δ' ἀναξηραίνει.
28 διὸ καὶ εἴ τις ἄγαν ἐγγὺς ἵσταται τοῦ πυρὸς ἧττον ἂν ἰδίσειεν, καὶ ἐν τοῖς ἀλειπτηρίοις ἐὰν μὲν εὐθὺς ποιήσῃ τις πολὺ πῦρ ἧττον ἱδρώσειεν, ἐὰν δ' ὕστερον εἰσενέγκῃ μᾶλλον· προοδοποιουμένου μὲν γὰρ καὶ παρορμῶντος τοῦ σώματος συνεργεῖ καὶ τὸ ἐπεισελθὸν,
29 ἐκεῖνο δ' οὐ δύναται τὸ πλεῖον δι' ἀσθένειαν. ταὐτὸ δέ πως καὶ τοῖς διῃρημένοις καὶ ὅτι τρέχοντες ἧττον ἱδρῶσιν ἢ παυσάμενοι· τὸ μὲν γὰρ ἥ τε τοῦ πνεύματος κάθεξις καὶ ἡ τοῦ ἀέρος κίνησις κωλύει· ποιεῖ μὲν γὰρ οἷον . . . μον αὐτὸς αὑτῷ. παυσαμένου δὲ καὶ
30 στάντος ἀμφότερα θήγει καὶ οὐθὲν κωλύει· οἱ δὲ τὰ κάτω μέρη τοῦ σώματος θερμῷ ὕδατι ἐμβαλόντες οὐχ ἱδρῶσιν ὅτι κωλύει τὸ ὕδωρ τὴν τῆξιν· ὁ δὲ ἱδρὼς τῆξίς τίς ἐστι τῶν οἷον κακῶς προσῳκοδομημένων ταῖς
31 σαρξὶν ὅταν ἐκκρίνηται διὰ τὸ θερμόν. οἱ δὲ γυμναζόμενοι διαλιπόντες τὸ τρέχειν ἢ παλαίειν μᾶλλον ἱδροῦσιν ἢ ἐὰν συνεχῶς, ὅτι συναθροίζεται διαπαυομένων ἡ ὑγρότης. εἶτα ταύτην ἐξάγει ὕστερον ἡ πάλη καὶ ὁ δρόμος· ἡ δὲ συνεχὴς ἀναξηραίνει καθάπερ ὁ
32 ἥλιος καὶ τὰ πνεύματα. διότι μᾶλλον ἱδροῦσι τὰ ὄπισθεν τῶν ἔμπροσθεν, καίτοι θερμότης καὶ ὑγρότης πλείων ἐν τοῖς ἔμπροσθεν . . . ὅτι διά τε τὴν πάλην καὶ τὴν τρίψιν ἧττον κωλύεται καὶ διάτασις ἐκ τῶν

Digitized by Google

ἄνω μᾶλλον· ὅτι ὅπου πόνος ἐνταῦθα καὶ ἱδρώς. ἅμα
δὲ καὶ ἡ διάτασις τοῦ πνεύματος ἐξωθεῖ μᾶλλον, ὥσθ'
ὅταν ἀνεθῇ πλεῖον καὶ ἀθροωτέρως ἐκεῖθεν. τὸ δὲ 33
πρόσωπον μάλισθ' ἱδρῶσιν ἀσαρκότερον ὂν καὶ ἥκιστα
πονοῦν ὅτι καὶ ἡ κεφαλὴ ὑγρὰ καὶ μανή· ὑγρότητος
δὲ καὶ μανότητος ἄλλα τε πολλὰ σημεῖα καὶ ὁ ἐγκέ-
φαλος καὶ ἡ τριχῶν ἔκφυσις, ὁ μὲν τὸ ὑγρὸν αἱ δὲ τὸ
μανὸν ἀποδηλοῦσαι, διὸ καὶ πρῶτον καὶ μάλισθ' ἱδρῶ-
σι τὸ μετῶπον· τοῦτο γὰρ ὑπὸ τὸν ἐγκέφαλον. ἔτι δ'
ἡ τοῦ πνεύματος κάθεξις διατείνεταί πως εἰς τὴν κε-
φαλήν. ὅτι δὲ τὰς χεῖρας τρίβοντες μάλισθ' ἱδροῦσιν 34
ἂν τἆλλα ὁμοιοσχημονῶσιν κατὰ συμβεβηκός πως τὴν
αἰτίαν ληπτέον. ἰσχύουσι γὰρ μάλιστα τῷ τόπῳ· τὸ
γὰρ πνεῦμα τούτῳ κατέχουσι τῷ ἐγγυτάτῳ τοῦ ἰσχύον-
τος· πονοῦντες δὲ μᾶλλον ἰσχύουσιν· οὕτω δ' ἔχοντες
τὸ πνεῦμα μᾶλλον κατέχουσιν. εἶτα καὶ τῇ χειρὶ τρι-
βομένῃ συμπονοῦμεν μᾶλλον ἢ ὅταν ἄλλο τι μέρος
τριβώμεθα· τῇ γὰρ καθέξει τοῦ πνεύματος καὶ τριβό-
μενοι γυμναζόμεθα καὶ τρίβοντες (διὸ καὶ) μᾶλλον
ἱδροῦμεν. καὶ ὅταν τοὺς πόδας καὶ τὰς κνήμας ἐν τῷ 35
ὕδατι ἔχωσιν (ἧττον ἱδροῦσιν) ἢ ὅταν τὸ ἄλλο σῶμα
διὰ τὰ προειρημένα· κωλύει γὰρ τὸ ὕδωρ τὸν ἱδρῶτα
. . . καὶ ὅτι διαθερμαινομένων τούτων καὶ τὰ ἄνω
συνθερμαίνεται· οἱ δ' ἱδρῶτες ὅπου θερμὸν καὶ ὑγρόν.
ἄτοπον δ' ὅτι οἱ ἀγωνιῶντες τοὺς πόδας ἱδρῶσι τὸ δὲ 36
πρόσωπον οὔ. καίτοι μᾶλλον εὔλογον τὸ μάλισθ' ἱδρω-
τικὸν καὶ μὴ τὸ ἥκιστα. τὸ δ' αἴτιον ὅτι ἡ ἀγωνία
ἐστὶν οὐ μετάστασις θερμότητος ὥσπερ ἐν τοῖς φόβοις,
ἀλλὰ μᾶλλον αὔξησις καθάπερ ἐν τῷ θυμῷ· καὶ γὰρ
ὁ θυμὸς ζέσις τοῦ περὶ (τὴν) καρδίαν θερμοῦ· καὶ
ἀγωνιῶντες δὲ οὐ διὰ φόβον τοῦτο πάσχουσιν ἀλλὰ
διὰ τὸ μᾶλλον ἐκθερμαίνεσθαι. (διὸ τὸ μὲν πρόσωπον 37

Digitized by Google

*ἐξέρυθροι γίνονται;) ξηραίνει γὰρ ἡ θερμότης ἐπιπο-
λάζουσα (τὸ ἐν τῷ προσώπῳ ὑγρὸν) τὸ δ' ἐν τοῖς ποσὶ
συντήκει διὰ τὸ ἐλάττω μὲν εἶναι ὥστε ξηρᾶναι πλείω*
38 *δὲ τῆς ἐμφύτου καὶ προϋπαρχούσης. ἐνίοις δ' ἱδροῦ-
σιν ἂν ψυχθῶσιν ἢ πνεύματι ἢ ὕδατι συμβαίνει ναυ-
τιᾶν οὐκ ἀλόγως· καὶ ὅτι τὸ ὑγρὸν ψυχθὲν ἀθρόον
ἔστη πρότερον οὐκ ἠρεμοῦν, καὶ ὅτι τὸ πνεῦμα τὸ
διιὸν ἔξω καὶ γινόμενον (ἱδρὼς διὰ τὴν ψύξιν, τοῦτο
ἔσω ψυχθὲν πρὶν ἐξελθεῖν ὑγρὸν ἐγένετο καὶ) προσπε-*
39 *σὸν τῷ ἀναπνευστικῷ τόπῳ ποιεῖ τὴν ναυτίαν. οἱ δ'
ἐν ἱματίῳ δρόμοι καὶ ἱδρῶτες καὶ ἐλαίου ἀλείψεις εἰς
ἱμάτιον ἄχρους ποιοῦσι διότι ἡ εὔχροια γίνεται δι' εὔ-
πνοιαν, ἡ δ' ἄχροια διὰ τὴν κατάπνιξιν· συνθερμαινό-
μενον γὰρ καὶ μὴ διαψυχόμενον τὸ ἐπιπολῆς ὑγρὸν
ἄχροιαν ποιεῖ. τοῦτο δὲ συμβαίνει καὶ ἐκ τῶν δρόμων
καὶ ἐκ τῆς ὑπαλείψεως· οἱ δὲ γυμνοὶ δρόμοι διὰ τοὐ-
ναντίον εὔχροιαν· καταψύχει γὰρ ὁ ἀὴρ τὰς συνισταμέ-*
40 *νας ἐκκρίσεις καὶ διαπνεῖ. ἐν δὲ τοῖς ὕπνοις οἱ ἱδρῶ-
τες μᾶλλον ἢ ἐγρηγορόσιν ὅτι ὑγρότατα καὶ θερμότατα
πάντα διὰ τὴν ἀντιπερίστασιν· ἐξ ἀμφοῖν δὲ τούτοιν
ἱδρὼς ὥσπερ εἴρηται πολλάκις.*

Fr. X. *ΠΕΡΙ ΛΕΙΠΟΨΥΧΙΑΣ.*

*Ὅτι ἡ λειποψυχία στέρησις ἢ κατάψυξις τοῦ θερ-
μοῦ περὶ τὸν ἀναπνευστικὸν τόπον· τοῦτο δὲ συμβαί-
νει ἢ ὑπὸ τοῦ ψυχροῦ ἢ καὶ ὑπ' αὐτοῦ τοῦ θερμοῦ·
τὸ γὰρ πλέον πῦρ ἀναιρεῖ τὸ ἔλαττον· μαρτυρεῖ δὲ*

Digitized by Google

καὶ ἡ πεῖρα· ὑπὸ γὰρ πνίγους ἢ ἄλλης θέρμης καὶ
μάλιστα πολλῆς, ἀθρόον τούτων προσπεσόντων ἡμῖν
ἐκλυόμεθα καὶ λειποθυμοῦμεν· καταμαραίνεται γὰρ
τὸ ἐν ἡμῖν (θερμὸν) κατάψυξιν οὐ λαμβάνον. τάχα δὲ
καὶ τὴν ἀναπνοὴν ὅλως τὸ πνῖγος κωλύει, ὅθεν καὶ
πνῖγος ὠνομάσθη· πνίγεται γὰρ ἢ καὶ πνιγομένῳ ὅμοιός
ἐστιν ὁ μὴ δυνάμενος ἀναπνεῖν. μαρτυρεῖ δὲ καὶ ἡ
διὰ τῶν λουτρῶν καὶ πυριάσεων ἔκλυσις· δῆλον γὰρ
ὡς αἱ τοιαῦται ἐκλύσεις τῷ θερμῷ καὶ διὰ τὸ θερμὸν
γίνονται μαραίνοντος τοῦ ἔξωθεν θερμοῦ τὸ ἐν ἡμῖν
σύμφυτον. γίνεται δὲ λειποψυχία καὶ τῶν ἐν οἷς πέ- 3
φυκεν ἡ θερμότης ἐκλιπόντων οἷον αἵματος ἢ τῆς
φυσικῆς ἁπλῶς ὑγρότητος, ὥσπερ ἐν ταῖς αἱμορρα-
γίαις καὶ ἐν ταῖς τῆς γαστρὸς φοραῖς ὁρῶμεν λειποψυ-
χοῦντας. καὶ διὰ πόνους δὲ γίνονται ἐκλύσεις. ὅτι
τὸ πλέον θερμὸν λειποψυχίαν ποιεῖ καὶ ὡς μαραῖνον
τὸ ἔλαττον καὶ ὡς κωλύον τὴν ἀναπνοὴν καὶ ἔτι ὡς
μὴ παραχωροῦν τῇ καταψύξει εἴσοδον. ὅτι διὰ τοῦτο
ὡς ἐπὶ τὸ πολὺ λουόμενοι μὲν οὐ λειποψυχοῦσι παυ-
σάμενοι δὲ μᾶλλον, διότι τὴν ὑγρότητα τὴν γινομένην
ἀπὸ τῆς συντήξεως λουομένων μὲν θερμὴν εἶναι συμ-
βαίνει λουσαμένων δὲ ψύχεσθαι· ψυχρὰ δὲ οὖσα καὶ
ἐμπίπτουσα κυρίοις τόποις ποιεῖ λειποψυχίαν. εἰ μὴ 5
ἄρα καὶ ἡ ἄνεσις αὐτὴ τοῦ πνεύματος προεκλύει· διότι
καὶ κατέχειν κελεύουσιν ἐν ταῖς λειποψυχίαις τὸ πνεῦ-
μα· κωλύει γὰρ ὁ κατέχων ἐξιέναι τὸ θερμόν, ὁ δ'
ἀνιεὶς ἐνδίδωσιν. ὅτι ὁ ῥαίνων ὕδατι τοὺς λειποψυ- 6
χοῦντας συμφράττων καὶ πυκνῶν τοὺς πόρους καὶ συνα-
θροίζων ἐντὸς τὸ θερμὸν — ἀντιπεριΐσταται γὰρ —,
ὠφελεῖ. ὅτι ἡδοναὶ καὶ λῦπαι ποιοῦσι λειποψυχίαν· 7
καὶ γὰρ ἀμφότεραι πλῆθος ὑγρότητος ἐπάγουσιν, ἡ μὲν
ἡδονὴ τῷ συντήκειν καὶ διαχεῖν ἡ λύπη δὲ τῷ πηγνύειν·

Digitized by Google

ὅταν οὖν ἡ ὑγρότης ῥυῇ πρὸς τὸν πνευματικὸν τόπον ποιεῖ λειποψυχεῖν.

Fr. XI. *ΠΕΡΙ ΠΑΡΑΛΥΣΕΩΣ.*

Ὅτι ὑπὸ καταψύξεώς φησιν, ὡς κοινῷ λόγῳ φάναι τὴν παράλυσιν γίνεσθαι· καὶ ταύτην οἱ μὲν ὑπὸ πνεύματος (καταψυχομένου) — πνευματικὸν γὰρ τὸ πάθος —, οἱ δὲ ἐκλείψει καὶ στερήσει τοῦ πνεύματος. τοῦτο γὰρ εἶναι τὸ τὴν θερμότητα καὶ τὴν κίνησιν ὅλως ποιοῦν· ἀκινησίας δὲ γινομένης κατάψυξις γίνεται τοῦ αἵματος ἢ ἁπλῶς εἰπεῖν τῆς ὑγρότητος. διὰ τοῦτο γὰρ καὶ ἡ νάρκη γίνεται ἐν τοῖς ποσὶν ἢ καὶ ἐν τοῖς ἄνω μέρεσιν ὅταν ἀποπιεσθῶσιν ἀπὸ καθέδρας ἢ ἄλλῳ τινὶ τρόπῳ. τότε γὰρ διαλαμβάνει τῇ πιέσει τὸ πνεῦμα καὶ οὐ δυνάμενον τὴν οἰκείαν κίνησιν κινεῖσθαι ἵστησι καὶ ἀποψύχει τὸ αἷμα.

Fr. XII. *ΕΚ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.*

Πῶς ἀφορίσαι δεῖ καὶ ποίοις τὴν ὑπὲρ τῶν πρώτων θεωρίαν; ἡ γὰρ δὴ τῆς φύσεως πολυχουστέρα, καὶ ὥς γε δή τινές φασι ἀτακτοτέρα μεταβολὰς ἔχουσα παντοίας· ἡ δὲ τῶν πρώτων ὡρισμένη καὶ ἀεὶ κατὰ ταὐτά. διὸ δὴ καὶ ἐν νοητοῖς, οὐκ αἰσθητοῖς, αὐτὴν τιθέασιν ὡς ἀκινήτοις καὶ ἀμεταβλήτοις. καὶ τὸ ὅλον
2 δὲ σεμνοτέραν καὶ μείζω νομίζουσιν αὐτήν. ἀρχὴ δὲ ποτέρα συναφή τις καὶ οἷον κοινωνία πρὸς ἄλληλα τοῖς τε νοητοῖς καὶ τοῖς τῆς φύσεως, ἢ οὐδεμία, ἀλλ' ὥσπερ ἑκάτερα κεχωρισμένα συνεργοῦντα δέ πως εἰς

Digitized by Google

τὴν πᾶσαν οὐσίαν. εὐλογώτερον οὖν εἶναί τινα συναφὴν καὶ μὴ ἐπεισοδιῶδες τὸ πᾶν, ἀλλ' οἷον τὰ μὲν πρότερα τὰ δὲ ὕστερα, καὶ ἀρχὰς τὰ δ' ὑπὸ τὰς ἀρχάς, ὥσπερ καὶ τὰ ἀΐδια τῶν φθαρτῶν. εἰ δ' οὖν οὕτω, τίς ἡ φύσις αὐτῶν καὶ ἐν ποίοις; εἰ μὲν γὰρ 3
ἐν τοῖς μαθηματικοῖς μόνοις τὰ νοητὰ καθάπερ τινές φασιν, οὔτ' ἄγαν εὔσημος ἡ συναφὴ τοῖς αἰσθητοῖς, οὔθ' ὅλως ἀξιοχρέα φαίνεται παντός· οἷον γὰρ μεμηχανημένα δοκεῖ δι' ἡμῶν εἶναι σχήματά τε καὶ μορφὰς καὶ λόγους περιτιθέντων, αὐτὰ δὲ δι' αὑτῶν οὐδεμίαν ἔχειν φύσιν. εἰ δὲ μὴ οὐχ ὥστε συνάπτειν τοῖς τῆς φύσεως ὥστ' ἐμποιῆσαι καθάπερ ζωὴν καὶ κίνησιν αὐτοῖς. οὐδὲ γὰρ αὐτὸς ὁ ἀριθμὸς ὅνπερ δὴ πρῶτον καὶ κυριώτατόν τινες τιθέασιν. εἰ δὲ ἑτέρα 4
τις οὐσία προτέρα καὶ κρείττων ἐστὶ ταύτην πειρατέον λέγειν, πότερον μία τις κατ' ἀριθμὸν ἢ κατ' εἶδος ἢ κατὰ γένος. εὐλογώτερον δ' οὖν ἀρχῆς φύσιν ἔχουσαν ἐν ὀλίγοις εἶναι καὶ περιττοῖς εἰ μὴ ἄρα καὶ πρώτοις καὶ ἐν τῷ πρώτῳ. τίς δ' οὖν αὕτη καὶ τίνες, εἰ πλείους, πειρατέον ἐμφαίνειν ἀμωσγέπως εἴτε κατ' ἀναλογίαν εἴτε κατ' ἄλλην ὁμοίωσιν. ἀνάγκη δ' ἴσως δυνάμει τινὶ καὶ ὑπεροχῇ τῶν ἄλλων λαμβάνειν ὥσπερ ἂν εἰ τὸν θεόν· θεία γὰρ ἡ πάντων ἀρχὴ δι' ἧς ἅπαντα καὶ ἔστι καὶ διαμένει. τάχα μὲν οὖν ῥᾴδιον τὸ οὕτως ἀποδοῦναι, χαλεπὸν δὲ σαφεστέρως ἢ πειστικωτέρως.
τοιαύτης δ' οὔσης τῆς ἀρχῆς ἐπείπερ συνάπτει τοῖς 5
αἰσθητοῖς ἡ δὲ φύσις ὡς ἁπλῶς εἰπεῖν ἐν κινήσει καὶ τοῦτ' αὐτῆς τὸ ἴδιον, δῆλον ὡς αἰτίαν θετέον ταύτην τῆς κινήσεως· ἐπεὶ δ' ἀκίνητος καθ' αὑτὴν φανερὸν ὡς οὐκ ἂν εἴη τῷ κινεῖσθαι τοῖς τῆς φύσεως αἰτία ἀλλὰ λοιπὸν ἄλλῃ τινὶ δυνάμει κρείττονι καὶ προτέρᾳ· τοιαύτη δ' ἡ τοῦ ὀρεκτοῦ φύσις, ἀφ' ἧς ἡ κυκλικὴ ἡ συνε-

Digitized by Google

χῆς καὶ ἄπαυστος. ὥστε κατ' ἐκεῖνο λύοιτο ἂν τὸ μὴ
6 εἶναι κινήσεως ἀρχὴν ἢ εἰ κινούμενον κινήσει. μέχρι
μὲν δὴ τούτων οἷον ἄρτιος ὁ λόγος ἀρχήν τε ποιῶν
μίαν πάντων καὶ τὴν ἐνέργειαν καὶ τὴν οὐσίαν ἀποδιδοὺς, ἔτι δὲ μὴ διαιρετὸν μηδὲ ποσόν τι λέγων ἀλλ' ἁπλῶς ἐξαίρων εἰς κρείττω τινὰ μερίδα καὶ θειοτέραν· οὕτω γὰρ μᾶλλον ἀποδοτέον ἢ τὸ διαιρετὸν καὶ μεριστὸν ἀραιρετέον· ἅμα γὰρ ἐν ὑψηλοτέρῳ τε καὶ ἀλη-
7 θινωτέρῳ λόγῳ τοῖς λέγουσιν ἡ ἀπόφασις. τὸ δὲ μετὰ
ταῦτ' ἤδη λόγου δεῖται πλείονος περὶ τῆς ἐφέσεως, ποία καὶ τίνων. ἐπειδὴ πλείω τὰ κυκλικὰ καὶ αἱ φοραὶ τρόπον τινὰ ὑπεναντίαι, καὶ τὸ ἀνήνυτον καὶ οὗ χάριν ἀφανές. εἴτε γὰρ ἓν τὸ κινοῦν, ἄτοπον τὸ μὴ πάντα τὴν αὐτήν· εἴτε καθ' ἕκαστον ἕτερον αἵ τ' ἀρχαὶ πλείους ὥστε τὸ σύμφωνον αὐτῶν εἰς ὄρεξιν ἰόν-
8 των τὴν ἀρίστην οὐδαμῶς φανερόν. τὸ δὲ κατὰ τὸ
πλῆθος τῶν σφαιρῶν τῆς αἰτίας μείζονα ζητεῖ λόγον· οὐ γὰρ ὅ γε τῶν ἀστρολόγων. ἄπορον δὲ καὶ πῶς ποτὲ φυσικὴν ὄρεξιν ἐχόντων οὐ τὴν ἠρεμίαν διώκουσιν ἀλλὰ τὴν κίνησιν. τί οὖν ἅμα τῇ μιμήσει φασὶν ἐκεῖνο ὅσοι τε τὸ ἓν καὶ ὅσοι τοὺς ἀριθμοὺς λέγουσιν; καὶ γὰρ αὐτοὶ τοὺς ἀριθμούς φασι τὸ ἕν. εἰ δὴ ἔφεσις, ἄλλως τε καὶ τοῦ ἀρίστου, μετὰ ψυχῆς. εἰ μή τις λέγοι καθ' ὁμοιότητα καὶ διαφορὰν ἔμψυχα εἶναι τὰ κινούμενα. ψυχὴ δ' ἅμα δοκεῖ καὶ κίνησις ὑπάρχειν· ζωὴ γὰρ τοῖς ἔχουσιν, ἀφ' ἧς καὶ αἱ ὀρέξεις πρὸς ἕκαστον, ὥσπερ καὶ τοῖς ζῴοις, ἐπεὶ καὶ αἱ αἰσθήσεις καίπερ ἐν τῷ πάσχειν οὖσαι δι' ἑτέρων ὅμως ἔμψυχοι
9 γίγνονται. εἰ δ' οὖν τῆς κυκλικῆς αἴτιον τὸ πρῶτον
οὐ τῆς ἀρίστης ἂν εἴη· κρείττων γὰρ ἡ τῆς ψυχῆς καὶ πρώτη δὴ καὶ μάλιστα ἡ τῆς διανοίας ἀφ' ἧς καὶ ἡ ὄρεξις. τάχα δὲ καὶ τοῦτ' ἄν τις ἐπιζητήσειε

Digitized by Google

*διὰ τί τὰ κυκλικὰ μόνον ἐφετικὰ, τῶν δὲ περὶ τὸ μέ-
σον οὐθὲν καίπερ κινητῶν ὄντων, πότερον ὡς ἀδύ-
νατα ἢ ὡς οὐ διικνουμένου τοῦ πρώτου. ἀλλὰ τοῦτό
γ᾽ ἄτοπον εἰ δι᾽ ἀσθένειαν· ἰσχυρότερον γὰρ ἄν τις
ἀξιώσειε τοῦ Ὁμήρου Διὸς ὅς φησιν ‚αὐτῇ κεν γαίῃ
ἐρύσαιμ᾽ αὐτῇ τε θαλάσσῃ.‘ ἀλλὰ λοιπὸν ὥσπερ ἄδε-
κτόν τι καὶ ἀσύνθετον εἶναι. τάχα δὲ πρότερον ζητή-* 10
*σειεν ἄν τις πῶς ἔχει, πότερα μέρη ταῦτα ἢ οὐ μέρη
τοῦ οὐρανοῦ, καὶ εἰ μέρη, πῶς μέρη. νῦν γὰρ οἷον
ἀπεωσμένα τῶν ἐντιμοτάτων οὐ μόνον κατὰ τὰς χώρας
ἀλλὰ καὶ κατὰ τὴν ἐνέργειαν, εἴπερ ἡ κυκλικὴ τοιαύ-
τη. συμβαίνει γὰρ οἷον κατὰ συμβεβηκὸς ὑπὸ τῆς
κυκλικῆς περιφορᾶς καὶ εἰς τοὺς τόπους καὶ εἰς ἄλ-
ληλα τὰς μεταβολάς. εἰ δὲ καὶ τὸ ἄριστον ἀπὸ τοῦ
ἀρίστου κάλλιον ἄν τι παρὰ τοῦ πρώτου δέοι τῆς κυ-
κλοφορίας, εἰ μὴ ἄρ᾽ ἐκωλύετο τῷ μὴ δύνασθαι δέχε-
σθαι. τὸ γὰρ δὴ πρῶτον καὶ θειότατον πάντα τὰ
ἄριστα βουλόμενον. τάχα δὲ τοῦτο μὲν οἷον ὑπέρβατόν
τι καὶ ἀζήτητον. ἀξιοῖ γὰρ ὁ τοῦτο λέγων ἅπανθ᾽
ὅμοια, καὶ ἐν τοῖς ἀρίστοις εἶναι μικράν τινα ἢ μηδε-
μίαν ἔχοντα διαφοράν. τόδε δ᾽ ἄν τις ἴσως ἀπορή-* 11
*σειε πρὸς αὐτὸν τὸν πρῶτον οὐρανὸν ἀναφέρων πότε-
ρον ἡ περιφορὰ τῆς οὐσίας ἐστὶν αὐτοῦ καὶ ἅμα τῷ
πεπαῦσθαι φθείροιτ᾽ ἄν, ἢ εἴπερ ἐφέσει τινὶ καὶ ὀρέ-
ξει κατὰ συμβεβηκὸς· εἰ μὴ ἄρα σύμφυτον αὐτῷ τὸ
ὀρέγεσθαι καὶ οὐδὲν κωλύει τοιαῦτ᾽ ἄττα τῶν ὄντων
ὑπάρχειν. ἴσως δ᾽ ἂν εἴη καὶ ἀφελόντα τὴν ὄρεξιν
ὑπὲρ αὐτῆς τῆς κινήσεως ἀπορεῖν εἰ ἀφαιρεθεῖσα
φθείροι [ἂν] τὸν οὐρανόν. καὶ τοῦτο μὲν ὥσπερ
ἑτέρων λόγων. ἀπὸ δ᾽ οὖν ταύτης ἢ τούτων τῶν ἀρ-
χῶν ἀξιώσειεν ἄν τις. τάχα δὲ καὶ ἀπὸ τῶν ἄλλων
ἀρ(χῶν) ἄν τις τιθῆται τὰ ἐφεξῆς εὐθὺς ἀποδιδόναι*

Digitized by Google

καὶ μὴ μέχρι του προελθόντα παύεσθαι· τοῦτο γὰρ τελέου καὶ φρονοῦντος, ὅπερ Ἀρχύτας ποτ' ἔφη ποιεῖν Εὔρυτον διατιθέντα τινὰς ψήφους. λέγειν γὰρ ὡς ὅδε μὲν ἀνθρώπου ὁ ἀριθμὸς, ὅδε δὲ ἵππου, ὅδε δ' ἄλλου τινὸς τυγχάνει. νῦν δ' οἵ γε πολλοὶ μέχρι τινὸς
12 ἐλθόντες καταπαύονται. καθάπερ καὶ οἱ τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ποιοῦντες. τοὺς γὰρ ἀριθμοὺς γεννήσαντες καὶ τὰ ἐπίπεδα καὶ τὰ σώματα σχεδὸν τἆλλα παραλείπουσι πλὴν ὅσον ἐφαπτόμενοι καὶ τοσοῦτο μόνον δηλοῦντες ὅτι τὰ μὲν ἀπὸ τῆς ἀορίστου δυάδος οἷον τόπος καὶ κενὸν καὶ ἄπειρον, τὰ δ' ἀπὸ τῶν ἀριθμῶν καὶ τοῦ ἑνὸς οἷον ψυχὴ καὶ ἄλλ' ἄττα, χρόνον δ' ἅμα καὶ οὐρανὸν καὶ ἕτερα δὴ πλείω· τοῦ δ' οὐρανοῦ πέρι καὶ τῶν λοιπῶν οὐδεμίαν ἔτι ποιοῦνται μνείαν. ὡσαύτως δ' οὐδὲ οἱ περὶ Σπεύσιππον οὐδὲ τῶν ἄλλων οὐθεὶς πλὴν Ξενοκράτης· οὗτος γὰρ ἅπαντά πως περιτίθησι περὶ τὸν κόσμον ὁμοίως αἰσθητὰ
13 καὶ νοητὰ καὶ μαθηματικὰ καὶ ἔτι δὴ τὰ θεῖα. πειρᾶται δὲ καὶ Ἑστιαῖος μέχρι τινὸς, οὐχ ὥσπερ εἴρηται περὶ τῶν πρώτων μόνον. Πλάτων μὲν οὖν ἐν τῷ ἀνάγειν εἰς τὰς ἀρχὰς δόξειεν ἂν ἅπτεσθαι τῶν ἄλλων εἰς τὰς ἰδέας ἀνάπτων, ταύτας δ' εἰς τοὺς ἀριθμοὺς, ἐκ δὲ τούτων εἰς τὰς ἀρχὰς, εἶτα κατὰ τὴν γένεσιν μέχρι τῶν εἰρημένων. οἱ δὲ τῶν ἀρχῶν μόνον. ἔνιοι δὲ καὶ τὴν ἀλήθειαν ἐν τούτοις· τὰ γὰρ ὄντα μόνον περὶ τὰς ἀρχάς. συμβαίνει δὲ τοὐναντίον ἢ ἐν ταῖς ἄλλαις μεθόδοις· ἐν ἐκείνοις γὰρ τὰ μετὰ τὰς ἀρχὰς ἰσχυρότερα καὶ οἷον τελεώτερα τῶν ἐπιστημῶν· τάχα δὲ καὶ εὐλόγως. ἔνθα μὲν γὰρ τῶν ἀρχῶν ἐν δὲ
14 ταῖς λοιπαῖς ἀπὸ τῶν ἀρχῶν ἡ ζήτησις. πῶς δέ ποτε χρὴ καὶ ποίας τὰς ἀρχὰς ὑποθέσθαι τάχ' ἂν ἀπορήσειέ τις, πότερον ἀμόρφους καὶ οἷον δυναμικὰς ὥσπερ

Digitized by Google

ὅσοι πῦρ καὶ γῆν, ἢ μεμορφωμένας ὡς μάλιστα δέον ταύτας ὡρίσθαι καθάπερ ἐν τῷ Τιμαίῳ φησίν· τοῖς γὰρ τιμιωτάτοις οἰκειότατον ἡ τάξις καὶ τὸ ὡρίσθαι. φαίνεται δὲ καὶ ἐν ταῖς λοιπαῖς σχεδὸν ἔχειν οὕτω καθάπερ τῇ γραμματικῇ καὶ μουσικῇ καὶ ταῖς μαθηματικαῖς. συνακολουθεῖ δὲ καὶ τὰ μετὰ τὰς ἀρχάς. ἔτι δὲ καὶ κατὰ τὰς τέχνας ὁμοίως αἵπερ τὴν φύσιν μιμοῦνται· καὶ τὰ ὄργανα καὶ τὰ ἄλλα κατὰ τὰς ἀρχάς. οἱ μὲν οὖν ἀμόρφους πάσας, οἱ δὲ μόνον τὰς ὑλικάς· οἱ δ' ἀμφοτέρας ἐμμόρφους, καὶ τὰς τῆς ὕλης, ὡς ἐν ἀμφοῖν τὸ τέλεον· οἷον γὰρ ἐξ ἀντικειμένων τὴν ἅπα- 15
σαν οὐσίαν. ἄλογον δὲ κἀκεῖνο δόξειεν ἂν εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν ἅπαντ' ἐν τάξει καὶ λόγῳ καὶ μορφαῖς καὶ δυνάμεσι καὶ περιόδοις, ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον ἀλλ' ὥσπερ σάρξ εἰκῇ κεχυμένων ὁ κάλλιστος, φησὶν Ἡράκλειτος, [ὁ] κόσμος. καὶ κατὰ τοὐλάχιστον δ' ὡς εἰπεῖν λαμβάνουσιν ὁμοίως ἐν ἀψύχοις καὶ ἐμψύχοις. ὡρισμέναι γὰρ ἑκάστων αἱ φύσεις ὡς εἰπεῖν καίπερ αὐτομάτως γινομένων, τὰς δ' ἀρχὰς ἀορίστους εἶναι. χαλεπὸν δὲ πάλιν αὐτὸ (τὸ) τοὺς λόγους ἑκάστοις περιθεῖναι πρὸς τὸ ἕνεκά του συνάγοντας ἐν ἅπασι καὶ ἐν ζώοις καὶ φυτοῖς καὶ ἐν αὐτῇ πομφόλυγι· πλὴν εἰ συμβαίνει τῇ ἑτέρων τάξει καὶ μεταβολῇ μορφὰς παντοίας καὶ ποικιλίας γίγνεσθαι τῶν τε περὶ τὸν ἀέρα καὶ τὴν γῆν. ὧν δὴ μέγιστόν τινες παράδειγμα ποιοῦνται τὰ περὶ τὰς ὥρας τὰς ἐτείους ἐν αἷς καὶ ζώων καὶ φυτῶν καὶ καρπῶν γενέσεις οἷον γεννῶντος τοῦ ἡλίου. καὶ ταῦτα μὲν ἐνταῦθά που ζητεῖ τὴν σκέψιν, ἀφορισμὸν ἀπαιτοῦντα μέχρι πόσου τὸ τεταγμένον, καὶ διὰ τί πλέον ἀδύνατον ἢ εἰς τὸ χεῖρον μετάβασις. ἐν δὲ ταῖς ἀρ- 16
χαῖς ὅθεν δὴ καὶ ὁ πρῶτος λόγος εἰκότως ἄν τις καὶ

Digitized by Google

τὸ περὶ τῆς ἠρεμίας ἀπορήσειεν. εἰ μὲν γὰρ ὡς βέλτιον ἀνάψειεν ἂν ταῖς ἀρχαῖς, εἰ δ' ὡς ἀργία καὶ στέρησις τῆς κινήσεως οὐκ ἀνάψει. ἀλλ' εἴπερ, τὴν ἐνέργειαν ἀντιμεταλλακτέον ὡς προτέραν καὶ τιμωτέραν τὴν δὲ κίνησιν ἐν τοῖς αἰσθητοῖς· ἐπεὶ τό γε διὰ τοῦτ' ἠρεμεῖν ὡς ἀδύνατον ἀεὶ κινοῦν εἶναι τὸ κινοῦν ἄτοπον· οὐ γὰρ ἂν εἴη κίνδυνος πρῶτον μὴ λογοειδὲς καὶ ἄλλως οὐκ ἀξιόπιστον ἀλλὰ μείζω τινὰ αἰτίαν ζητεῖ. δοκεῖ δὲ καὶ ἡ αἴσθησις τρόπον τινὰ συναυδᾶν ὡς ἐνδεχόμενον μὴ ἀεὶ τὸ κινοῦν ἕτερον εἶναι καὶ ὃ κινεῖ διὰ τὸ ποιεῖν καὶ πάσχειν. ἔστι δὲ ἄν τις ἐπ' αὐτὸν ἄγῃ τὸν νοῦν καὶ τὸν θεόν. ἄτοπον δὲ καὶ τὸ ἕτερον λεχθὲν ὡς οὐ μιμοῦνται τὰ ὀρεγόμενα τοῦ ἠρεμοῦντος· εἰ γὰρ αὐτοῖς οὖσιν ἀκολουθείη τῶν ἄλλων. πλὴν ἴσως οὐχ ὁμοίως ληπτέον ὡς εἰς τὸ ἀμερὲς ἄγοντας ἀλλ' ὅπως ὅτι μάλιστα σύμφωνον ἑαυτῷ καὶ ἀπηρτισμένον ὡς ἂν πόλις ἢ ζῷον ἢ ἄλλο τι τῶν μεριστῶν, ἢ καὶ ὁ ὅλος
17 οὐρανὸς ὃν δή φασιν εἶναι τελεώτατον. ἐπιποθεῖ δέ τινα καὶ τὰ τοιάδε λόγον πῶς ποτὲ τῶν ὄντων ὁ μερισμὸς εἰς ὕλην καὶ μορφήν· πότερον ὡς τὸ μὲν ὂν τὸ δὲ μὴ ὄν, δυνάμει μὲν ὂν καὶ ἀγόμενον εἰς ἐνέργειαν; ἢ ὂν μέν, ἀόριστον δὲ καθάπερ ἐν ταῖς τέχναις, ἡ δὲ γένεσις τῆς οὐσίας ἕνεκα τὸ μορφοῦσθαι κατὰ τοὺς λόγους. ἀλλ' οὕτω γ' εἰς μὲν τὸ βέλτιον τάχ' ἂν ἡ μετάβασις εἴη, τὸ δ' εἶναι οὐθὲν ἂν ἧττον ἀληθὲς ὑπάρχοι κατ' αὐτὴν — οὐ γὰρ ἂν οὐδὲ γίγνοιτο μὴ ὑπαρχούσης —, ἀλλὰ τὸ μήτε τόδε μήτε ποιὸν μήτε ποσὸν, ὡς ἀόριστον τοῖς εἴδεσι δύναμιν δέ τιν' ἔχον. ὅλως δὲ κατ' ἀναλογίαν ληπτέον ἐπὶ τὰς τέχνας καὶ
18 εἴ τις ὁμοιότης ἄλλη. δόξειε δ' ἂν καὶ τοῦτ' ἔχειν ἀπορίαν, εἰ μὴ ἄρα περιεργίαν τοῦ ζητεῖν· τί δή ποτε ἡ φύσις καὶ ἡ ὅλη δ' οὐσία τοῦ παντὸς ἐν ἐναντίοις ἐστὶ,

Digitized by Google

καὶ σχεδὸν ἰσομοιρεῖ τὸ χεῖρον τῷ βελτίονι, μᾶλλον
δὲ καὶ πολλῷ πλέον ἐστίν, ὥστε δοκεῖν καὶ Εὐριπί-
δην καθόλου λέγειν ὡς οὐκ ἂν γένοιτο χωρὶς ἐσθλά.
ὁ δὲ τοιοῦτος λόγος ἐγγὺς τοῦ ζητεῖν ὅτι οὐ πάντ'
ἀγαθὰ οὐδὲ πάντα ὅμοια· καὶ ὅτι κατὰ πάντων μὲν
τὸ εἶναι λέγομεν, οὐθὲν δὲ ὅμοιον ἀλλήλοις καθάπερ
τὰ λευκὰ καὶ μέλανα ἐν αὐτοῖς. ἔτι δὲ τὸ δοκοῦν
παραδοξότερον ὡς οὐχ οἷόν τε τὸ ὂν ἄνευ τῶν ἐναν-
τίων. οἱ δ' ἔτι πλέονι τῷ παραδόξῳ χρώμενοι καὶ
τὸ μὴ ὂν μηδὲ γεγονὸς μηδὲ μέλλον προσκαταριθ-
μοῦσιν εἰς τὴν τοῦ παντὸς φύσιν. ἀλλ' ἥδε μὲν οἷον
ὑπέρβατός τις σοφία. τὸ δὲ ὂν ὅτι πολλαχῶς φανε- 19
ρόν· ἡ γὰρ αἴσθησις καὶ τὰς διαφορὰς θεωρεῖ καὶ
τὰς αἰτίας ζητεῖ· τάχα δ' ἀληθέστερον εἰπεῖν ὡς ὑπο-
βάλλει τῇ διανοίᾳ, τὰ μὲν ἁπλῶς ζητοῦσα, τὰ δ' ἀπο-
ρίαν ἐργαζομένη δι' ἧς κἂν μὴ δύνηται προβαίνειν
ὅμως ἐμφαίνεταί τι φῶς ἐν τῷ μὴ φωτὶ ζητούντων
ἐπὶ πλέον. τὸ ἐπίστασθαι ἄρα οὐκ ἄνευ διαφορᾶς τι-
νός. εἴτε γὰρ ἕτερα ἀλλήλων διαφορά τις· ἔν τε τοῖς
καθόλου πλειόνων ὄντων τῶν ὑπὸ τὰ καθόλου δια-
φέρειν ἀνάγκη καὶ ταῦτα, ἐάν τε γένη τὰ καθόλου
ἐάν τε εἴδη. σχεδὸν δὲ καὶ ἐπιστήμη πᾶσα τῶν ἰδίων· 20
ἥ τε γὰρ οὐσία καὶ τὸ τί ἦν εἶναι καθ' ἕκαστον ἴδιον,
τά τε θεωρούμενα καθ' αὑτὰ καὶ οὐ κατὰ συμβεβη-
κὸς * ἦν ἄν τι κατά τινος. ὅλως δὲ τὸ ἐν πλείοσι τὸ
αὐτὸ συνιδεῖν ἐπιστήμης, ἤτοι κοινῇ καὶ καθόλου λε-
γόμενον, ἢ ἰδίᾳ πως καθ' ἕκαστον, οἷον ἀριθμοῖς
γραμμαῖς ζώοις φυτοῖς. τέλος δ' ἡ ἐξ ἀμφοῖν. ἔστι
δ' ἐνίων μὲν τὸ καθόλου τέλος, ἐν τούτῳ γὰρ τὸ αἴ-
τιον· τῶν δὲ τὸ ἐν μέρει, καθ' ὅσα διαίρεσις εἰς τὰ
ἄτομα καθάπερ ἐν τοῖς πρακτοῖς καὶ ποιητοῖς· οὕτως
γὰρ αὐτῶν ἡ ἐνέργεια. ταὐτὸ δ' ἐπιστάμεθα καὶ οὐ- 21

Digitized by Google

σίᾳ καὶ ἀριθμῷ καὶ εἴδει καὶ γένει καὶ ἀναλογίᾳ καὶ
εἰ ἄρα παρὰ ταῦτα διαιρέσει. διὰ πλείστου δὲ τὸ κατ'
ἀναλογίαν ὡς ἂν ἀπέχοντες πλεῖστον τὰ μὲν δι' ἡμᾶς
αὐτοὺς τὰ δὲ διὰ τὸ ὑποκείμενον τὰ δὲ διὰ τἄμφω.
22 πλεοναχῶς δ' ὄντος τοῦ ἐπίστασθαι πῶς ἕκαστον με-
ταδιωκτέον ἀρχὴ καὶ μέγιστον ὁ οἰκεῖος τρόπος, οἷον
τὰ πρῶτα καὶ νοητὰ καὶ τὰ κινητὰ καὶ ὑπὸ τὴν φύ-
σιν, αὐτῶν δὲ τούτων τὰ ἐν ἀρχῇ καὶ (τὰ) ἑπόμενα
μέχρι ζώων καὶ φυτῶν καὶ ἐσχάτων τῶν ἀψύχων. ἔστι
γάρ τι καθ' ἕκαστον γένος ἴδιον ὥσπερ καὶ ἐν τοῖς
23 μαθηματικοῖς. ἔχει δὲ καὶ αὐτὰ τὰ μαθήματα διαφο-
ρὰν καίπερ ὁμογενῆ πως ὄντα, διῄρηται δ' ἱκανῶς. εἰ
δὲ καὶ ἔνια γνωστὰ τῷ ἄγνωστα εἶναι, καθάπερ τινές
φασιν, ἴδιος ἂν ὁ τρόπος εἴη, διαιρέσεως δέ τινος
δεῖται· τάχα δ' ἐφ' ὧν ἐνδέχεται κατ' ἀναλογίαν οἰ-
κειότερον λέγειν ἢ αὐτῷ τῷ ἀγνώστῳ, καθάπερ εἴ τις
τῷ ἀοράτῳ τὸ ὁρατόν. πόσοι δ' οὖν τρόποι καὶ ποσα-
25 χῶς τὸ εἰδέναι πειρατέον διελεῖν. ἡ δ' ἀρχὴ πρὸς
αὐτὰ ταῦτα καὶ πρῶτον τὸ ἀφορίσαι τί τὸ ἐπίστασθαι.
χαλεπώτερον δ' ἂν δόξειεν· οὐ γὰρ οἷόν τε καθόλου
καὶ κοινόν τι λαβεῖν ἐν τοῖς πλεοναχῶς λεγομένοις.
ἐπεὶ καὶ τοῦτ' ἄπορον ἢ οὐ ῥᾴδιόν γε εἰπεῖν μέχρι πό-
σου καὶ τίνων ζητητέον αἰτίας ὁμοίως ἔν τε τοῖς αἰ-
σθητοῖς καὶ νοητοῖς· ἡ γὰρ εἰς τὸ ἄπειρον ὁδὸς ἐν
ἀμφοῖν ἀλλοτρία καὶ ἀναιροῦσα τὸ φρονεῖν. ἀρχὴ δὲ
τρόπον τινὰ ἄμφω. τάχα δ' ἡ μὲν ἡμῖν ἡ δ' ἁπλῶς,
26 ἢ τὸ μὲν τέλος ἡ δ' ἡμετέρα τις ἀρχή. μέχρι μὲν οὖν
τινὸς δυνάμεθα δι' αἰτίου θεωρεῖν ἀρχὰς ἀπὸ τῶν
αἰσθήσεων λαμβάνοντες. ὅταν δὲ ἐπ' αὐτὰ τὰ ἄκρα
καὶ πρῶτα μεταβαίνωμεν οὐκέτι δυνάμεθα, εἴτε διὰ τὸ
μὴ ἔχειν αἰτίαν εἴτε διὰ τὴν ἡμετέραν ἀσθένειαν ὥσπερ
πρὸς τὰ φωτεινότατα βλέπειν. τάχα δ' ἐκεῖνο ἀληθέστε-

Digitized by Google

ρον ὡς αὐτῷ τῷ νῷ ἡ θεωρία θιγόντι καὶ οἷον ἁψαμένῳ,
διὸ καὶ οὐκ ἔστιν ἀπατὴ περὶ αὐτά. χαλεπὴ δὲ καὶ εἰς 26
αὐτὸ τοῦθ' ἡ σύνεσις καὶ ἡ πίστις, ἐπεὶ καὶ ἄλλως μέγα
καὶ πρὸς τὰς καθ' ἕκαστα πραγματείας ἀναγκαῖον καὶ
μάλιστα τὰς μέγιστας, ἐν τίνι ποιητέον τὸν ὅρον, οἷον
περί τε τῆς φύσεως καὶ περὶ τὰς ἔτι προτέρας. οἱ
γὰρ ἁπάντων ζητοῦντες λόγον ἀναιροῦσι λόγον ἅμα δὲ
καὶ τὸ εἰδέναι. μᾶλλον δ' ἀληθέστερον εἰπεῖν ὅτι ζη-
τοῦσιν ὧν οὐκ ἔστιν οὐδὲ πέφυκεν ὅσοι τὸν οὐρανὸν
ἀΐδιον ὑπολαμβάνουσιν. ἔτι δὲ τὰ κατὰ τὰς φορὰς 27
καὶ τὰ μεγέθη καὶ τὰ σχήματα καὶ τὰς ἀποστάσεις καὶ
ὅσα ἄλλα ἀστρολογία δείκνυσι, τούτοις κατάλοιπον τά
τε πρῶτα κινοῦντα καὶ τὸ τίνος ἕνεκα λέγειν καὶ τίς
ἡ φύσις ἑκάστου καὶ ἡ πρὸς ἄλληλα θέσις καὶ ἡ τοῦ
σύμπαντος οὐσία καὶ ὑποβαίνοντι δὴ πρὸς τὰ ἄλλα
καθ' ἕκαστον τῶν εἰδῶν ἡμέρων ἄχρι ζώων καὶ φυ-
τῶν. εἰ οὖν ἀστρολογία συνεργεῖ μὲν οὐκ ἐν τοῖς
πρώτοις δὲ τῆς φύσεως, ἕτερα τὰ κυριώτατ' ἂν εἴη
καὶ πρότερα· καὶ γὰρ δὴ καὶ ὁ τρόπος ὡς οἴονταί τι-
νες οὐ φύσικὸς ἢ οὐ πᾶς. καίτοι τό γε κινεῖσθαι καὶ
ἁπλῶς τῆς φύσεως οἰκεῖον καὶ μάλιστα τοῦ οὐρανοῦ.
διὸ εἰ ἡ ἐνέργεια τῆς οὐσίας ἑκάστου καὶ τὸ καθ' ἕκα-
στον ὅταν ἐνεργῇ καὶ κινεῖται καθάπερ ἐν τοῖς ζῴοις
καὶ φυτοῖς. εἰ δὲ μὴ, ὁμώνυμα, δῆλον ὅτι κἂν ὁ
οὐρανὸς ἐν τῇ περιφορᾷ κατὰ τὴν οὐσίαν εἴη, χωρι-
ζόμενος δὲ καὶ ἠρεμῶν ὁμώνυμος· οἷον γὰρ ζωή τις ἡ
περιφορὰ τοῦ παντός. ἆρ' οὖν εἴ γε μηδ' ἐν τοῖς ζῴ- 28
οις τὴν ζωὴν ἢ ὡδὶ ζητητέον, οὐδ' ἐν τῷ οὐρανῷ καὶ
τοῖς οὐρανίοις τὴν φορὰν ἢ τρόπον τινὰ ἀφωρισμέ-
νον; συνάπτει δέ πως ἡ νῦν ἀπορία καὶ πρὸς τὴν
ὑπὸ τοῦ ἀκινήτου κίνησιν. ὑπὲρ δὲ τοῦ πάνθ' ἕνεκά
του καὶ μηθὲν μάτην, ἄλλως θ' ὁ ἀφορισμὸς οὐ ῥᾴ-

Digitized by Google

διος καθάπερ πλεονάκις λέγεται — πόθεν δ' ἄρξα-
σθαι χρῆν καὶ εἰς ποῖα τελευτᾶν; — καὶ δὴ τῷ ἔνια
μὴ δοκεῖν ἔχειν οὕτως ἀλλὰ τὰ μὲν συμπτωματικῶς τὰ
δ' ἀνάγκῃ τινὶ καθάπερ ἔν τε τοῖς οὐρανίοις καὶ ἐν
29 τοῖς περὶ τὴν γῆν πλείοσι. τίνος γὰρ ἕνεκα αἱ ἔφο-
δοι καὶ ἀνάρροιαι θαλάττης ἢ τίνος αἱ προχωρήσεις ἢ
ἀναξηράνσεις τῆς ὑγρότητος καὶ ὅλως πρὸς ἄλλοτ' ἄλλο
μεταβολαὶ καὶ φθοραὶ καὶ γενέσεις, ἢ αἱ μὲν ἐν αὐτῇ
τῇ γῇ ἀλλοιώσεις καὶ μεταβολαὶ γίγνονται πρὸς ἄλλοτ'
ἄλλο μεθισταμένων; καὶ ἕτερα δ' οὐκ ὀλίγα παρόμοια
τούτοις. ἔστι δ' ἐν αὐτοῖς τοῖς ζώοις τὰ μὲν ὥσπερ
μάταια καθάπερ τοῖς ἄρρεσιν οἱ μαστοὶ καὶ τοῖς θή-
λεσιν ἡ πρόεσις εἴπερ μὴ συμβάλλεται, καὶ πώγωνος
δ' ἐνίοις ἢ ὅλως τριχῶν ἔκφυσις ἔν τισι τόποις· ἔτι δὲ
κεράτων μεγέθη καθάπερ τῶν ἐλάφων· τοῖς δὲ καὶ
λελωβημένοις κινήσει τε καὶ παραιωρήσει καὶ ἐπιπροσ-
θήσει τῶν ὀμμάτων· καὶ ὡς ἔνια δὴ βίᾳ ἢ παρὰ φύ-
σιν ὥσπερ ὁ ἐρωδιὸς ὀχεύει καὶ τὸ ἡμερόβιον ζῇ καὶ
30 ἕτερα οὐκ ὀλίγα λάβοι τις ἂν τοιαῦτα. καὶ τὸ μέγι-
στον δὴ καὶ μάλιστα δοκοῦν περὶ τὰς τροφὰς καὶ γε-
νέσεις τῶν ζώων· οὐθενὸς γὰρ ταῦθ' ἕνεκα ἀλλὰ
συμπτώματα καὶ δι' ἑτέρας ἀνάγκας. ἔδει γὰρ εἴπερ
τούτων χάριν ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως. ἔτι δ' ἐν
τοῖς φυτοῖς καὶ μᾶλλον τοῖς ἀψύχοις ὡρισμένην τιν'
ἔχουσι φύσιν, ὥσπερ δοκοῦσι καὶ μορφαῖς καὶ εἴδεσι
καὶ δυνάμεσι, τίνος ἕνεκα ταῦτα ζητήσειεν ἄν τις.
αὐτὸ γὰρ τοῦτο ἄπορον τὸ μὴ ἔχειν λόγον καὶ ταῦτ'
ἐν ἑτέροις μὴ ποιοῦσι προτέροις καὶ τιμιωτέροις. ἢ
καὶ ἔοικεν ὁ λόγος ἔχειν τι πιστὸν ὡς ἄρα τῷ αὐτο-
μάτῳ ταῦτα καὶ τῇ τοῦ ὅλου περιφορᾷ λαμβάνει τινὰς
31 ἰδέας ἢ πρὸς ἄλληλα διαφοράς. εἰ δὲ μὴ τοῦθ' ἕνεκά
του, καὶ εἰς τὸ ἄριστον ληπτέον τινὰς ὅρους καὶ οὐκ

Digitized by Google

ἐπὶ πάντων ἁπλῶς θετέον· ἐπεὶ καὶ τὰ τοιάδε ἔχει τινὰ διστασμὸν καὶ ἁπλῶς λέγομεν ἃ καὶ καθ' ἕκαστον. ἁπλῶς μὲν ὅτι τὴν φύσιν ἐν ἅπασιν ὀρέγεσθαι τοῦ ἀρίστου καὶ ἐφ' ὧν ἐνδέχεται μεταδιδόναι τοῦ ἀεὶ καὶ τοῦ τεταγμένου· ὡς δ' αὔτως καὶ ἐπὶ τῶν ζώων ὁμοίως· ὅπου γὰρ οἷόν τε τὸ βέλτιον ἐνταῦθα οὐδαμοῦ παραλείπει, οἷον τὸ ἔμπροσθεν τὴν φάρυγγα τοῦ οἰσοφάγου, τιμιώτερον γάρ, καὶ ἐν τῇ μέσῃ κοιλίᾳ τῆς καρδίας τὴν κρᾶσιν ἀρίστην, ὅτι τὸ μέσον τιμιώτατον. ὡσαύτως δὲ καὶ ὅσα κόσμου χάριν * εἰ γὰρ καὶ 32
ἡ ὄρεξις οὕτως· ἀλλ' ἐκεῖνό γ' ἐμφαίνει διότι πολὺ τὸ οὐχ ὑπακοῦον οὐδὲ δεχόμενον τὸ εὖ, μᾶλλον δὲ πολλῷ πλεῖον· ὀλίγον γάρ τι τὸ ἔμψυχον ἄπειρον δὲ τὸ ἄψυχον· καὶ αὐτῶν τῶν ἐμψύχων ἀκαριαῖον· καὶ βέλτιον τὸ εἶναι· τὸ δ' ὅλον σπάνιόν τε καὶ ἐν ὀλίγοις τὸ ἀγαθὸν πολὺ δὲ πλῆθος [ἢ] τὸ κακόν. οὐκ εἰ ἀοριστίᾳ δὲ μόνον καὶ οἷον ὕλης εἴδη καθάπερ τὰ τῆς φύσεως ἀμαθεστάτου. εἰ γὰρ καὶ οἱ περὶ τῆς ὅλης οὐσίας λέγοντες ὥσπερ Σπεύσιππος σπάνιόν τι τὸ τίμιον ποιεῖ τὸ περὶ τὴν τοῦ μέσου χώραν· τὰ δ' ἄκρα καὶ ἑκατέρωθεν. τὰ μὲν οὖν ὄντα καλῶς ἔτυχεν ὄντα.
Πλάτων δὲ καὶ οἱ Πυθαγόρειοι μακρὰν τὴν ἀπόστα- 33
σιν ἐπιμιμεῖσθαί γε θέλειν ἅπαντα· καίτοι καθάπερ ἀντίθεσίν τινα ποιοῦσι τῆς ἀορίστου δυάδος καὶ τοῦ ἑνός· ἐν ᾗ καὶ τὸ ἄπειρον καὶ τὸ ἄτακτον καὶ πᾶσα ὡς εἰπεῖν ἀμορφία καθ' αὑτήν. ὅλως δὲ οὐχ οἷόν τε ἄνευ ταύτης τὴν τοῦ ὅλου φύσιν, ἀλλ' οἷον ἰσομοιρεῖν ἢ καὶ ὑπερέχειν τὰς ἑτέρας ἢ καὶ τὰς ἀρχὰς ἐναντίας. διὸ καὶ οὐδὲ τὸν θεόν, ὅσοι τῷ θεῷ τὴν αἰτίαν ἀνάπτουσι, δύνασθαι πάντ' εἰς τὸ ἄριστον ἄγειν, ἀλλ' εἴπερ ἐφ' ὅσον ἐνδέχεται· τάχα δ' οὐδ' ἂν προέλοιτ' εἴπερ ἀναιρεῖσθαι συμβήσεται τὴν ὅλην οὐσίαν ἐξ

Digitized by Google

34 ἐναντίων γε καὶ ἐν ἐναντίοις οὖσαν. φαίνεται δὲ καὶ ἐν τοῖς πρώτοις ἐπιθεωρούμενα πολλὰ καὶ ὡς ἔτυχεν οἷον τὰ περὶ τὰς τῆς γῆς λεχθέντα μεταβολάς· οὔτε γὰρ τὸ βέλτιον οὔτε τὸ τίνος χάριν ἀλλ' εἴπερ ἀνάγκῃ τινὶ κατακολουθεῖν· πολλὰ δὲ καὶ ἐν τῷ ἀέρι τοιαῦτα καὶ ἐν ἄλλοις. μάλιστα δ' ἂν δόξειεν ἔχειν τὴν τάξιν τῶν μὲν αἰσθητῶν τὰ οὐράνια τῶν δ' ἄλλων εἰ μὴ ἄρα καὶ πρότερα τούτων τὰ μαθηματικά· εἰ γὰρ καὶ μὴ πᾶν ἀλλ' ἐν τούτοις πλέον τὸ τεταγμένον· πλὴν εἴ τις τοιαύτας λαμβάνοι τὰς μορφὰς οἵας Δημόκριτος ὑποτίθεται τῶν ἀτόμων. ἀλλὰ δὴ τούτων μὲν πέρι σκεπτέον. ὃ δ' ἐξ ἀρχῆς ἐλέχθη πειρατέον τινὰ λαμβάνειν ὅρον καὶ ἐν τῇ φύσει καὶ ἐν τῇ τοῦ σύμπαντος οὐσίᾳ καὶ τοῦ ἕνεκά του καὶ τῆς εἰς τὸ βέλτιον ὁρμῆς. αὕτη γὰρ ἀρχὴ τῆς τοῦ σύμπαντος θεωρίας, ἐν τίσι τὰ ὄντα καὶ πῶς ἔχει πρὸς ἄλληλα

Fr. XIII.

Θεόφραστος δὲ τὴν αἴσθησιν ἀρχὴν εἶναι πίστεώς φησιν· ἀπὸ γὰρ ταύτης αἱ ἀρχαὶ πρὸς τὸν λόγον τὸν ἐν ἡμῖν καὶ τὴν διάνοιαν ἐκτείνονται. (Clem. Alex. Strom. I, p. 301 ed. Sylb.)

Fr. XIV.

Ὁ δὲ Ἐρέσιος ἐκεῖνος Θεόφραστος ὁ Ἀριστοτέλους γνώριμος πὴ μὲν οὐρανὸν πὴ δὲ πνεῦμα τὸν θεὸν ὑπονοεῖ. (Clem. Alex. Protrept. p. 44.)

Fr. XV.

Θ. ἐν τοῖς ἑαυτοῦ Τοπικοῖς τάδε γέγραφεν . .

Digitized by Google

ἐπεὶ δὲ ἐναντίαι τῶν ἐναντίων αἱ ἀρχαί, δῆλον ὅτι οὐδὲ ἐν ἑνὶ γένει ταῦτα, καθάπερ οὐδὲ τὸ ἀγαθὸν καὶ κακὸν καὶ κίνησις καὶ στάσις. εἴη δ' ἂν καὶ ὑπεροχὴ καὶ ἔλλειψις ἐναντία γε καὶ ἀρχαί, καὶ εἶδος καὶ στέρησις. (Simpl. in Arist. Categ. f. 105).

Fr. XVI.

Θ. ἐν τρίτῳ τῶν Φυσικῶν ἢ περὶ οὐρανοῦ τὰ γινόμενα διαιρεῖ οὕτως· ἢ γὰρ ὑπὸ ὁμοίου γίνεται ὡς ἄνθρωπος ὑπὸ ἀνθρώπου καὶ θερμὸν ὑπὸ θερμοῦ, ἢ ὑπὸ ἐναντίου ὡς ὁρῶμεν τοὺς κεραυνοὺς καὶ τὰς ἀστραπάς· ὑπὸ γὰρ ψυχρότητος ἡ τούτου τοῦ πυρὸς ἐν τῷ ἀέρι γένεσις ἀθροίζοντος εἰς ἓν τὸ ἐν αὐτοῖς θερμὸν ἐκπυροῦντος· ἢ τρίτον ὑπὸ ἐντελεχείᾳ ὅλως ὄντος ὡς καὶ ὁ μώλωψ· ὑπὸ γὰρ ἐντελεχείᾳ οὔσης τῆς μάστιγος γίνεται, οὔτε δὲ ὁμοίας ἔτι οὔτε ἐναντίας τῷ γινομένῳ· καὶ τὰ ὑπὸ τοῦ ἡλίου δέ φησι γινόμενα ὑπὸ ἐντελεχείας γίνεται· καὶ γὰρ αὐτὸς οὔτε ὅμοιος οὔτε ἐναντίος τοῖς γινομένοις. (Simpl. in Arist. Phys. f. 187.)

Fr. XVII.

Θ. ἐν ἀρχῇ τῶν αὐτοῦ Φυσικῶν καὶ ταύτην (τὴν πρότασιν) ἀπέδειξε λέγων· τὸ μέντοι τῶν φυσικῶν ἀρχὰς εἶναι δῆλον ἐκ τοῦ τὰ μὲν φυσικὰ σώματα σύνθετα εἶναι, πᾶν δὲ σύνθετον ἀρχὰς ἔχειν τὰ ἐξ ὧν σύγκειται· ἅπαν γὰρ τὸ φύσει ἢ σῶμά ἐστιν ἢ ἔχει γε σῶμα· ἄμφω δὲ σύνθετα. (Simpl. in Arist. Phys. f. 1[b]).

Fr. XVIII.

Ὅλως δὲ ὡς κοινῶς εἰπεῖν ἀπὸ τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν τῶν περὶ τῶν φυσικῶν ἀρχῶν ἀλήθειαν ἀνιχνευτέον καὶ Θεοφράστῳ πειθομένοις ὃς

Digitized by Google

περὶ τούτου ζητῶν ἐν πρώτῳ τῶν Φυσικῶν τάδε γέγραφε· ἐπεὶ δὲ οὐκ ἄνευ μὲν κινήσεως οὐδὲ περὶ ἑνὸς λεκτέον· πάντα γὰρ ἐν [τῇ] κινήσει τὰ τῆς φύσεως· ἄνευ δὲ ἀλλοιωτικῆς καὶ παθητικῆς οὐχ ὑπὲρ τῶν περὶ τὸ μέσον, εἰς ταῦτά τε καὶ περὶ τούτων λέγοντας οὐχ οἷόν τε καταλιπεῖν τὴν αἴσθησιν ἀλλ' ἀπὸ ταύτης ἀρχομένους πειρᾶσθαι χρὴ θεωρεῖν ἢ τὰ φαινόμενα λαμβάνοντας καθ' ἑαυτὰ ἢ ἀπὸ τούτων εἴ τινες ἄρα κυριώτεραι καὶ πρότεραι τούτων ἀρχαί· καὶ κάλλιον οἶμαι τοιοῦτόν τινα τρόπον τὴν ἀπὸ τῶν ἡμῖν γνωριμωτέρων ἐπὶ τὰς ἀρχὰς ἐπίβασιν γίνεσθαι. (Simpl. in Arist. Phys. f. 5 [b]).

Fr. XIX.

Θ. ἐν τῷ πρώτῳ τῶν ἑαυτοῦ Φυσικῶν καὶ καθ' ἕκαστον γένος τῶν κατηγοριῶν τὴν κίνησιν θεωρεῖσθαί φησι γράφων οὕτως· περὶ δὲ κινήσεως τὸν μὲν καθόλου καὶ κοινὸν λόγον οὐ χαλεπὸν ἀποδοῦναι καὶ εἰπεῖν, ὡς ἐνέργειά τίς ἐστιν ἀτελὴς τοῦ δυνάμει ὄντος ᾗ τοιοῦτον καθ' ἕκαστον γένος τῶν κατηγοριῶν... διὸ καὶ προελθὼν ὀλίγον ὁ Θ. ζητεῖν δεῖν φησὶ περὶ τῶν κινήσεων, εἰ αἵ μὲν κινήσεις εἰσὶν αἵ δὲ ὥσπερ ἐνέργειαί τινες. (Simpl. in Arist. Phys. f. 201).

Fr. XX.

Ἐν τῷ δευτέρῳ τῶν περὶ κινήσεως· οἰκειότερον δὲ ὅπερ καὶ λέγομεν καὶ ἔστιν, ἐνέργειαν τοῦ δυνάμει κινητοῦ ᾗ κινητὸν κατὰ γένος ἕκαστον τῶν κατηγοριῶν, οἷον οὐσίας ποσοῦ ποιοῦ φορητοῦ τῶν ἄλλων· οὕτω γὰρ ἀλλοίωσις αὔξησις φορὰ γένεσις καὶ αἱ ἐναντίαι ταύταις. ἐν τῷ τρίτῳ δὲ, οἶμαι, σαφέστερον ταῦτα γέγραφεν· ἐν μὲν τῷ ἀφορισμῷ τῆς κινήσεως τοσαῦτα φαμὲν αὐτῆς εἴδη ὅσαι κατηγορίαι· τὴν γὰρ τοῦ δυ-

Digitized by Google

νάμει ὄντος ἡ τοιοῦτον ἐντελέχειαν κίνησιν. καὶ τοῦτο δὲ ἐν τῷ αὐτῷ βιβλίῳ φησί· τοῦ δὲ πρός τι κίνησις τοῦ μὲν κατὰ λόγον οὐκ ἔστι, τοῦ δὲ κατὰ δύναμιν ἔστιν· ἡ γὰρ ἐνέργεια κίνησίς τε καὶ καθ' αὑτό. (Simpl. in Arist. Phys. f. 94.)

Fr. XXI.

Θ. ἐν τοῖς Φυσικοῖς ἀπορεῖ πρὸς τὸν ἀποδοθέντα τοῦ τόπου λόγον ὑπὸ τοῦ Ἀριστοτέλους τοιαῦτα, ὅτι τὸ σῶμα ἔσται ἐν ἐπιφανείᾳ, ὅτι κινούμενος ἔσται ὁ τόπος, ὅτι οὐ πᾶν σῶμα ἐν τόπῳ, οὐδὲ γὰρ ἡ ἀπλανής, ὅτι ἐὰν συναχθῶσιν αἱ σφαῖραι, καὶ ὅλος ὁ οὐρανὸς οὐκ ἔσται ἐν τόπῳ, ὅτι τὰ ἐν τόπῳ ὄντα μηδὲν αὐτὰ μετακινηθέντα, ἐὰν ἀφαιρεθῇ τὰ περιέχοντα αὐτά, οὐκέτι ἔσται ἐν τόπῳ. (Simpl. in Arist. Phys. f. 141.)

Fr. XXII.

Καὶ Θ. ἐν τοῖς Φυσικοῖς φαίνεται τὴν ἔννοιαν ταύτην ἐσχηκὼς περὶ τοῦ τόπου ἐν οἷς φησὶν ὡς ἐν ἀπορίᾳ προάγων τὸν λόγον μήποτε οὐκ ἔστι καθ' αὑτὴν οὐσία τις ὁ τόπος ἀλλὰ τῇ τάξει καὶ θέσει τῶν σωμάτων λέγεται κατὰ τὰς φύσεις καὶ δυνάμεις· ὁμοίως δ' ἐπὶ ζώων καὶ φυτῶν καὶ ὅλως τῶν ἀνομοιομερῶν, εἴτε ἐμψύχων εἴτε ἀψύχων, ἔμμορφον δὲ τὴν φύσιν ἐχόντων· καὶ γὰρ τούτων τάξις τις καὶ θέσις τῶν μερῶν ἐστὶ πρὸς τὴν ὅλην οὐσίαν. διὸ καὶ ἕκαστον ἐν αὑτοῦ χώρᾳ λέγεται τῷ ἔχειν τὴν οἰκείαν τάξιν· ἐπεὶ καὶ τῶν τοῦ σώματος μερῶν ἕκαστον ἐπιποθήσειεν ἂν καὶ ἀπαιτήσειε τὴν ἑαυτοῦ χώραν καὶ θέσιν. (Simpl. in Arist. Phys. f. 149[b]).

Fr. XXIII.

Ἐν τῷ τεσσαρεσκαιδεκάτῳ τῶν Φυσικῶν οὕτως

Digitized by Google

περὶ τῆς κινήσεως· τὸν μὲν κοινὸν καὶ καθόλου λόγον οὐ χαλεπὸν ἀποδοῦναι καὶ εἰπεῖν ὡς ἐνέργειά τίς ἐστιν ἀτελὴς τοῦ δυνάμει ὄντος, ᾗ τοιοῦτον καθ' ἕκαστον γένος τῶν κατηγοριῶν, ὃ καὶ διὰ τῆς αἰσθήσεως σχεδὸν φαίνεται. (Simpl. in Arist. Categ. 110).

Fr. XXIV.

Ἔτι δὲ δεῖ πείθεσθαι Θεοφράστῳ· τούτῳ μὲν γὰρ δοκεῖ μὴ χωρίζεσθαι τὴν κίνησιν τῆς ἐνεργείας, εἶναι δὲ τὴν μὲν κίνησιν καὶ ἐνέργειαν ὡς ἂν ἐν αὐτῇ περιεχομένην, οὐκέτι μέντοι καὶ τὴν ἐνέργειαν κίνησιν· τὴν γὰρ ἑκάστου οὐσίαν καὶ τὸ οἰκεῖον εἶδος ἐνέργειαν εἶναι ἑκάστου, μὴ οὖσαν ταύτην κίνησιν. καὶ γὰρ ἡ τελειότης καὶ ἐν τοῖς νοητοῖς καὶ φύσει ἀκινήτοις εἶναι οὐ κεκώλυται. εἰσὶ δὲ καὶ ἐν τοῖς αἰσθητοῖς πολλαὶ τοιαῦται, οἷον αἱ κατὰ τὸ σχῆμα τοῦ ἀνδριάντος· ἕστηκε δὲ τὸ σχῆμα κατὰ τὴν αὐτὴν τελειότητα. (Simpl. in Arist. Categ. 77[b]).

Fr. XXV.

Καὶ γὰρ ὁ Θ. ἐν τῷ πρώτῳ τῶν περὶ κινήσεως θαυμαστά φησι φαίνεται κατ' αὐτὴν ὄντα τὴν φύσιν τῆς κινήσεως, οἷον εἰ μὴ ἔστιν αὐτῆς ἀρχὴ, πέρας δὲ ἔστι. πῶς δὲ τὸ μὲν πέρας ἀδιαίρετον ἐλαμβάνομεν, τὴν δὲ ἀρχὴν ἐπ' ἄπειρον διαιρετήν. δυνατὸν γὰρ τοῖς αὐτοῖς χρώμενον λόγοις καὶ τὸ πέρας τοῦ συνεχοῦς ἐπ' ἄπειρον διαιρετὸν λαβεῖν καὶ τὴν ἀρχὴν ἀδιαίρετον· ἔοικεν οὖν καὶ τὸ πέρας διττὸν εἶναι καὶ ἡ ἀρχὴ διττὴ τῆς τε κινήσεως καὶ τοῦ χρόνου καὶ παντὸς συνεχοῦς, τὸ μὲν ὡς τὸ πρῶτον ἢ τὸ ἔσχατον μέρος τοῦ συνεχοῦς, τὸ δὲ ὡς ἀρχὴ καὶ πέρας, τὰ μηκέτι μέρη μηδὲ ὅμοια τῷ ὅλῳ. (Simpl. in Arist. Phys. 230.)

Digitized by Google

Fr. XXVI.

Θαυμαστὸν τοίνυν, καθάπερ φησὶν ὁ Θ., καὶ λίαν παρὰ τὰς ἐννοίας, εἰ μὴ ἔστιν ἀρχὴ τῆς κινήσεως, πέρας δὲ ἔστιν, καὶ ὅλως εἰ μὴ ἄμφω πεπερασμένα, ἀλλὰ τέλος μέν ἐστι τοῦ βαδίζειν, ἀρχὴ δὲ οὐ, καὶ τέλος μὲν τοῦ πλεῖν, ἀρχὴ δὲ οὐκ ἔστιν, καὶ ἡνίκα μὲν ἐπαύσατο τοῦ τρέχειν ὁ ἵππος ἔστιν εἰπεῖν, ἡνίκα δὲ ἤρξατο οὐκ ἔστιν. ἢ οὐ τοῦτό φησιν ὡς οὐκ ἔστιν ἀρχὴ τῆς κινήσεως, ἀλλ' ὡς οὐκ ἔστιν αὐτὴν λαβεῖν. (Themist. in Arist. Phys, p. 411 Bk.)

Fr. XXVII.

Οἱ περὶ τὸν Ἀριστοτέλη καὶ Θεόφραστον καὶ ὅλως οἱ Περιπατητικοὶ διττῆς οὔσης κατὰ τὸ ἀνωτάτω τῆς τῶν πραγμάτων φύσεως, ἐπεὶ τὰ μὲν καθῶς προεῖπον αἰσθητά ἐστι τὰ δὲ νοητὰ, διττὸν καὶ αὐτοὶ τὸ κριτήριον ἀπολείπουσιν, αἴσθησιν μὲν τῶν αἰσθητῶν, νόησιν δὲ τῶν νοητῶν, κοινὸν δὲ ἀμφοτέρων, ὡς ἔλεγεν ὁ Θ., τὸ ἐναργές. (Sext. Emp. a. M. 7, 217. p. 415 ed. Fabr. 1718.)

Fr. XXVIII.

Καὶ Θ. μέντοι ἐν τῷ περὶ τῶν φυσικῶν δοξῶν κατὰ Πλάτωνά φησι γεννητὸν τὸν κόσμον καὶ οὕτω ποιεῖται τὰς ἐνστάσεις, παρεμφαίνει δὲ ὅτι ἴσως σαφηνείας χάριν γεννητὸν αὐτὸν ὑποτίθεται. (Taurus ap. Joannem adv. Proclum VI. 8 et 27.)

Fr. XXIX.

Ὁ δὲ Θ. εἰπὼν ὅτι τάχ' ἂν γεννητὸν λέγοι σαφηνείας χάριν ὡς καὶ τοῖς διαγράμμασι παρακολουθοῦμεν γινομένοις, φησὶ, πλὴν ἴσως ἡ γένεσις οὐχ

Digitized by Google

ὁμοίως ἔχει καὶ ἐπὶ τῶν διαγραμμάτων. Taurus l. l. VI. 21 et 27.)

Fr. XXX.

1 Θ. μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ
κόσμου κατηγοροῦντας ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν
μεγίστων, γῆς ἀνωμαλίας, θαλάττης ἀναχωρήσεως,
ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως, χερσαίων
φθορᾶς κατὰ γένη ζώων. κατασκευάζειν δὲ τὸ μὲν πρῶ-
τον οὕτως· εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος
ὑπανεστὼς οὐδὲν ἂν ἐπ' αὐτῆς ἑωρᾶτο· χθαμαλὰ δ'
ἤδη τὰ ὄρη πάντα ἐγεγένητο καὶ οἱ γεωλόφοι πάντες
2 ἰσόπεδοι τῇ πεδιάδι· τοσούτων γὰρ καθ' ἕκαστον ἐνι-
αυτὸν ὄμβρων ἐξ ἀϊδίου φερομένων εἰκὸς ἦν τῶν διηρ-
μένων πρὸς ὕψος τὰ μὲν χειμάρροις ἀπερρῆχθαι τὰ δ'
ὑπονοστήσαντα κεχαλάσθαι, πάντα δὲ διὰ πάντων ἤδη
λελειάνθαι· νυνὶ δὲ συνεχεῖς ἀνωμαλίαι καὶ παμπόλ-
λων ὀρῶν αἱ πρὸς αἰθέριον ὕψος ὑπερβολαὶ μηνύματ'
ἐστὶ τοῦ τὴν γῆν μὴ ἀΐδιον εἶναι· πάλαι γὰρ ὡς ἔφην
ἐν ἀπείρῳ χρόνῳ ταῖς ἐπομβρίαις ἀπὸ περάτων ἐπὶ
πέρατα πᾶσα λεωφόρος ἐγεγένητο. πέφυκε γὰρ ἡ ὕδα-
τος φύσις καὶ μάλιστα ἀπὸ ὑψηλοτάτων καταράττουσα
τὰ μὲν ἐξωθεῖν τῇ βίᾳ τὰ δὲ τῷ συνεχεῖ τῶν ψεκάδων
κολάπτουσα κοιλαίνειν ὑπεργάζεσθαί τε τὴν σκληρό-
3 γεων καὶ λιθωδεστάτην ὀρυκτήρων οὐκ ἔλαττον. καὶ
μὴν ἥ γε θάλασσα, φασίν, ἤδη μεμείωται, μάρτυρες
δὲ αἱ νήσων εὐδοκιμώταται Ῥόδος τε καὶ Δῆλος· αὗ-
ται γὰρ τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάσ-
σης ἐδεδύκεσαν ἐπικλυζόμεναι, χρόνῳ δ' ὕστερον ἐλατ-
τουμένης ἠρέμα κατ' ὀλίγον ἀνίσχουσαι διεφάνησαν
ὡς αἱ περὶ αὐτῶν ἀναγραφεῖσαι μηνύουσιν ἱστορίαι·
τὴν δὲ Δῆλον καὶ Ἀνάφην ὠνόμασαν δι' ἀμφοτέρων

Digitized by Google

*ὀνομάτων πιστούμενοι τὸ λεγόμενον, ἐπειδὴ ἀναφα-
νεῖσα δήλη ἐγένετο ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ
πάλαι. πρὸς δὲ τούτοις μεγάλων πελαγῶν μεγάλους
κόλπους καὶ βαθεῖς ἀναξηρανθέντας ἠπειρῶσθαι καὶ
γεγενῆσθαι τῆς παρακειμένης χώρας μοῖραν οὐ λυπρὰν
σπειρομένους καὶ φυτευομένους· οἷς σημεῖα τῆς πα-
λαιᾶς ἐναπολελεῖφθαι θαλαττώσεως ψηφῖδάς τε καὶ
κόγχας καὶ ὅσα ὁμοιότροπα πρὸς αἰγιαλοὺς εἴωθεν
ἀποβράττεσθαι. . . . εἰ δὲ μειοῦται ἡ θάλαττα, μειω-* 4
*θήσεται μὲν ἡ γῆ, μακραῖς δ᾽ ἐνιαυτῶν περιόδοις καὶ
εἰσάπαν ἑκάτερον στοιχεῖον ἀναλωθήσεται, δαπανη-
θήσεται δὲ καὶ ὁ σύμπας ἀὴρ ἐκ τοῦ κατ᾽ ὀλίγον ἐλατ-
τούμενος, ἀποκριθήσεται δὲ τὰ πάντα εἰς μίαν οὐσίαν
τὴν τοῦ πυρός. πρὸς δὲ τὴν τοῦ τρίτου κεφαλαίου* 5
*κατασκευὴν χρήσονται λόγῳ τοιῷδε· φθείρεται πάν-
τως ἐκεῖνο οὗ πάντα τὰ μέρη φθαρτά ἐστι· τοῦ δὲ
κόσμου πάντα τὰ μέρη φθαρτά ἐστι· φθαρτὸς ἄρα ὁ
κόσμος ἐστίν. . . . τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον* 6
*ἀκριβωτέον ὧδέ φασιν. εἰ ὁ κόσμος ἀΐδιος ἦν, ἦν ἂν
καὶ τὰ ζῶα ἀΐδια καὶ πολύ γε μᾶλλον τὸ τῶν ἀνθρώ-
πων γένος, ὅσῳ καὶ τῶν ἄλλων ἄμεινον. ἀλλὰ καὶ
ὀψίγονον φανῆναι τοῖς βουλομένοις ἐρευνᾶν τὰ φύ-
σεως· εἰκὸς γὰρ μᾶλλον δὲ ἀναγκαῖον ἀνθρώποις συν-
υπάρξαι τὰς τέχνας ὡς ἂν ἰσήλικας οὐ μόνον ὅτι λο-
γικῇ φύσει τὸ ἐμμέθοδον οἰκεῖον ἀλλὰ καὶ ὅτι ζῆν
ἄνευ τούτων οὐκ ἔνεστιν· ἴδωμεν οὖν τοὺς ἑκάστων
χρόνους ἀλογήσαντες τῶν ἐπιτραγῳδουμένων θεοῖς
μύθων * * εἰ μὴ ἀΐδιος ἄνθρωπος, οὐδ᾽ ἄλλο τι ζῶον,
ὥστ᾽ οὐδ᾽ αἱ δεδεγμέναι ταῦτα χῶραι, γῆ καὶ ὕδωρ καὶ
ἀήρ. ἐξ ὧν τὸ φθαρτὸν εἶναι τὸν κόσμον δῆλόν ἐστιν.*
(Philo de aetern. mundi II. p. 510 ed. Mang,)

Digitized by Google

Fr. XXXI.

(Ἀριστοτέλης) λέγει οὖν ὅτι ἡ σφαῖρα ἡ τὸ ἓν ἄστρον ἔχουσα τὸ πλανᾶσθαι λεγόμενον ἐν πολλαῖς σφαίραις ταῖς ἀνελιττούσαις καλουμέναις, ἢ ὡς ὁ Θ. αὐτὰς καλεῖ, ταῖς ἀνάστροις, ἐνδεδεμένη φέρεται. (Simpl. ad Arist. de coelo f. 120).

Fr. XXXII.

Διὰ τοῦτο οὖν ἐν τρισὶν αὐτὸν (τὸν ἥλιον) ἔλεγον φέρεσθαι σφαίραις, ἃς Θ. ἀνάστρους ἐκάλει ὡς μηδὲν ἐχούσας ἄστρον. (Simpl. ad Arist. de coelo f. 120.)

Fr. XXXIII.

Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων εἶναι τὸν ἥλιον . . . ἢ ὡς Θ. ἐν τοῖς φυσικοῖς γέγραφεν, ἐκ πυριδίων τῶν συναθροιζομένων μὲν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον. (Jo. Stobae. Ecl. I, 25, 1.)

Fr. XXXIV.

Ἦ γὰρ μόνος ἢ μάλιστα Πλάτων τῇ ἀπὸ τοῦ προνοοῦντος αἰτίᾳ (ut ἕνα εἶναι τὸν κόσμον probaret) κατεχρήσατο; φησὶν ὁ Θ. τοῦτό γε καλῶς αὐτῷ μαρτυρῶν. (Proclus. in Timae. p. 138e ed. Bas.)

Fr. XXXV.

Ὁ δημιουργὸς ἤρχετο τῆς συστάσεως τοῦ κόσμου ἐκ πυρὸς καὶ γῆς· δεῖ δὲ τὸ γενησόμενον σωματοειδὲς ἀντιτυπικὸν εἶναι καὶ ὁρατὸν . . . Θ. φησιν· εἰ τὸ ὁρατὸν καὶ τὸ ἁπτὸν ἐκ γῆς καὶ πυρός ἐστι, τὰ ἄστρα καὶ ὁ οὐρανὸς ἔσται ἐκ τούτων· οὐκ ἔστι δέ. ταῦτα λέγει εἰσάγων τὸ πέμπτον σῶμα τὸ κυκλοφορητικόν. (Taurus l. l. XIII, 15.)

Digitized by Google

Fr. XXXVI.

Hicetas Syracusius, ut ait Theophrastus, caelum solem lunam stellas supera denique omnia stare censet, neque praeter terram rem ullam in mundo moveri: quae cum circum axem se summa celeritate convertat et torqueat, eadem effici omnia, quae si stante terra caelum moveretur. (Cicero Luculli 59, 123).

Fr. XXXVII.

Οἱ μὲν τὴν τοῦ ὅλου κίνησιν καὶ περιφορὰν τὸν χρόνον φασὶν ὡς τὸν Πλάτωνα νομίζουσιν ὅ τε Εὔδημος καὶ ὁ Θεόφραστος καὶ ὁ Ἀλέξανδρος. (Simpl. in Arist. Phys. 165.)

Fr. XXXVIII.

Πλάτων μὲν γὰρ τὸ ποσὸν τῆς κινήσεως εἰπὼν τὸν χρόνον ἀχώριστόν τι αὐτὸν ὑπέθετο τῆς κινήσεως, Θ. δὲ συμβεβηκός τι. (Simpl. in Arist. Categ. p. 79b Bk.)

Fr. XXXIX.

Οἱ μὲν γὰρ αὐτῶν (φυσιολόγων) ὑπόλειμμα λέγουσιν εἶναι τὴν θάλασσαν τῆς πρώτης ὑγρότητος· ὑγροῦ γὰρ ὄντος τοῦ περὶ τὴν γῆν τόπου τὰ πρῶτα τῆς ὑγρότητος ὑπὸ τοῦ ἡλίου ἐξατμίζεσθαι καὶ γίνεσθαι τὰ πνεύματά τε ἐξ αὐτῆς καὶ τροπὰς ἡλίου τε καὶ σελήνης . . . τὸ δέ τι αὐτῆς ὑπολειφθὲν ἐν τοῖς κοίλοις τόποις θάλατταν εἶναι· διὸ καὶ ἐλάττω γίνεσθαι ξηραινομένην ἑκάστοτε ὑπὸ τοῦ ἡλίου καὶ τέλος ἔσεσθαί ποτε ξηράν. ταύτης τῆς δόξης ἐγένοντο, ὡς ἱστορεῖ ὁ Θ., Ἀναξίμανδρός τε καὶ Διογένης. Διογένης δὲ καὶ τῆς ἁλμυρότητος ταύτην αἰτίαν λέγει, ὅτι ἀνάγοντος τοῦ ἡλίου τὸ γλυκὺ τὸ καταλειπόμενον καὶ ὑπομένον ἁλμυρὸν εἶναι συμβαίνει. (Alex. in Arist. Meteor. f. 91.)

Digitized by Google

Fr. XL.

Θαλῆς δὲ πρῶτος παραδέδοται τὴν περὶ φύσεως ἱστορίαν τοῖς Ἕλλησιν ἐκφῆναι, πολλῶν μὲν καὶ ἄλλων προγεγονότων, ὡς καὶ Θεοφράστῳ δοκεῖ, αὐτὸς δὲ πολὺ διενεγκὼν ἐκείνων ὡς ἀποκρύψαι πάντας τοὺς πρὸ αὐτοῦ. (Simpl. in Arist. Phys. 6.)

Fr. XLI.

Καὶ Διογένης δὲ ὁ Ἀπολλωνιάτης σχεδὸν νεώτατος γεγονὼς τῶν περὶ ταῦτα σχολασάντων τὰ μὲν πλεῖστα συμπεφορημένως γέγραφε, τὰ μὲν κατὰ Ἀναξαγόραν τὰ δὲ κατὰ Λεύκιππον λέγων· τὴν δὲ τοῦ παντὸς φύσιν ἀέρα καὶ οὗτός φησιν ἄπειρον εἶναι καὶ ἀΐδιον, ἐξ οὗ πυκνουμένου καὶ μανουμένου καὶ μεταβάλλοντος τοῖς πάθεσι τὴν τῶν ἄλλων γίνεσθαι μορφήν. καὶ ταῦτα μὲν Θ. ἱστορεῖ περὶ τοῦ Διογένους. Simpl. in Arist. Phys. 6.)

Fr. XLII.

Πρῶτος δ' οὗτος (Παρμενίδης) τὴν γῆν ἀπέφηνε σφαιροειδῆ καὶ ἐν μέσῳ κεῖσθαι· δύο τ' εἶναι στοιχεῖα πῦρ καὶ γῆν καὶ τὸ μὲν δημιουργοῦ τάξιν ἔχειν τὴν δὲ ὕλης — γένεσιν τ' ἀνθρώπων ἐξ ἰλύος πρῶτον γενέσθαι — ταὐτὸν δ' ὑπάρχειν τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξ ὧν τὰ πάντα συνεστάναι· καὶ τὸν νοῦν καὶ τὴν ψυχὴν ταὐτὸν εἶναι, καθὰ μέμνηται καὶ Θ. ἐν τοῖς φυσικοῖς πάντων σχεδὸν ἐκτιθέμενος τὰ δόγματα. (Diogen. Laert. 9, 22.)

Fr. XLIII.

Ὡς ὁ Ἀλέξανδρος ἱστορεῖ ὁ μὲν Θ. οὕτως ἐκτίθεται (Παρμενίδου δόξαν) ἐν τῷ πρώτῳ τῆς φυσικῆς

Digitized by Google

ἱστορίας· τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν. (Simpl. in Arist. Phys. f. 25.)

Fr. XLIV.

Περὶ Παρμενίδου καὶ τῆς δόξης αὐτοῦ καὶ Θ. ἐν τῷ πρώτῳ τῶν φυσικῶν οὕτως λέγει· τούτῳ δ' ἐπιγενόμενος Παρμενίδης Πύρητος ὁ Ἐλεάτης — λέγει δὲ καὶ Ξενοφάνην — ἐπ' ἀμφοτέρας ἦλθε τὰς ὁδούς. καὶ γὰρ ὡς ἀΐδιόν ἐστι τὸ πᾶν ἀποφαίνεται καὶ γένεσιν ἀποδιδόναι πειρᾶται τῶν ὄντων οὐχ ὁμοίως περὶ ἀμφοτέρων δοξάζων, ἀλλὰ κατ' ἀλήθειαν μὲν ἓν τὸ πᾶν καὶ ἀγέννητον ·καὶ ἀγέννητον καὶ σφαιροειδὲς ὑπολαμβάνων, κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων δύο ποιῶν τὰς ἀρχὰς πῦρ καὶ γῆν, τὸ μὲν ὡς ὕλην τὸ δ' ὡς αἴτιον καὶ ποιοῦν. (Alex. in Arist. Metaph. p. 536 Bk.)

Fr. XLV.

Μίαν δὲ τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν καὶ οὔτε πεπερασμένον οὔτε ἄπειρον οὔτε κινούμενον οὔτε ἠρεμοῦν Ξενοφάνη τὸν Κολοφώνιον τὸν Παρμενίδου διδάσκαλον ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος. (Simpl. in Arist. Phys. f. 5.)

Fr. XLVI.

Καὶ ταῦτά φησιν ὁ Θ. παραπλησίως τῷ Ἀναξιμάνδρῳ λέγειν τὸν Ἀναξαγόραν· ἐκεῖνος γάρ φησιν ἐν τῇ διακρίσει τοῦ ἀπείρου τὰ συγγενῆ φέρεσθαι πρὸς ἄλληλα καὶ ὅτι μὲν ἐν τῷ παντὶ χρυσὸς ἐνῆν γίνεσθαι χρυσόν, ὅτι δὲ γῆ γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ὡς οὐ γινομένων ἀλλ' ὑπαρχόντων πρότερον· τῆς δὲ κινήσεως καὶ τῆς γενέσεως αἴτιον ἐπέστησε τὸν

Digitized by Google

νοῦν ὁ Ἀναξαγόρας ὑφ' οὗ διακρινόμενα τούς τε κόσμους καὶ τὴν τῶν ἄλλων φύσιν ἐγέννησε. καὶ οὕτω μὲν οὖν, φησὶ, λαμβανόντων δόξειεν ἂν ποιεῖν τὰς μὲν ὑλικὰς ἀρχὰς ἀπείρους, ὥσπερ εἴρηται, τὴν δὲ τῆς κινήσεως καὶ τῆς γενέσεως αἰτίαν μίαν. εἰ δέ τις τὴν μίξιν τῶν ἁπάντων ὑπολάβοι μίαν εἶναι φύσιν ἀόριστον καὶ κατ' εἶδος καὶ κατὰ μέγεθος ὅπερ ἂν δόξειε βούλεσθαι λέγειν, συμβαίνει δύο τὰς ἀρχὰς αὐτὸν λέγειν τήν τε τοῦ ἀπείρου φύσιν καὶ τὸν νοῦν, ὥστε πάντως φαίνεται τὰ σωματικὰ στοιχεῖα παραπλησίως ποιῶν Ἀναξιμάνδρῳ. (Simpl. in Arist. Phys. f. 6, et f. 33.)

Fr. XLVII.

Εἰπόντος τοῦ Ἀναξαγόρου ὅτι οὔτε τοῦ σμικροῦ ἐστὶ τοὐλάχιστον ἀλλὰ τὸ ἔλασσον ἀεὶ, οὔτε τὸ μέγιστον, ὡς καὶ αὐτὴ ἡ λέξις τοῦ Ἀναξαγόρου δηλοῖ, καὶ μέντοι Θ. ἐν τῷ περὶ Ἀναξαγόρου δευτέρῳ τάδε γράφων· 'ἔπειτα τὸ διὰ τοῦτο λέγειν πάντα ἐν παντὶ, διότι καὶ ἐν μεγέθει καὶ ἐν σμικρότητι ἄπειρα, καὶ οὔτε τὸ ἐλάχιστον οὔτε τὸ μέγιστον ἔστι λαβεῖν, οὐχ ἱκανὸν πρὸς πίστιν', ἅμα μὲν ἀναιρεῖ τοῦτο ὁ Ἀριστοτέλης κ.τ.λ. (Simpl. in Arist. Phys. f. 35.)

Fr. XLVIII.

Ὁ μέντοι Θ. τοὺς ἄλλους προϊστορήσας 'Τούτοις' φησὶν 'ἐπιγενόμενος Πλάτων τῇ μὲν δόξῃ καὶ τῇ δυνάμει πρότερος τοῖς δὲ χρόνοις ὕστερος καὶ τὴν πλείστην πραγματείαν περὶ τῆς πρώτης φιλοσοφίας ποιησάμενος ἐπέδωκεν ἑαυτὸν καὶ τοῖς φαινομένοις ἀψάμενος τῆς περὶ φύσεως ἱστορίας, ἐν ᾗ δύο τὰς ἀρχὰς βούλεται ποιεῖν τὸ μὲν ὑποκείμενον ὡς ὕλην ὃ προσαγορεύει πανδεχὲς, τὸ δ' ὡς αἴτιον καὶ κινοῦν ὃ πε-

Digitized by Google

ριάπτει τῇ τοῦ θεοῦ καὶ τῇ τἀγαθοῦ δυνάμει. (Simpl. in Arist. Phys. f. 6.)

Fr. XLXIX.

Καὶ τῶν παλαιῶν τινὲς ἐπέπληξαν τῷ Πλάτωνι λέγοντες ὡς οὐκ ὀρθῶς ἀρχὴν ἀρχῆς ἐπιζητεῖ καὶ γένεσιν ἀγεννήτου πράγματος· εἰ γὰρ καὶ τῶν πρώτων τὰ αἴτια ζητήσομεν καὶ τῶν αὐθυποστάτων γενέσεις ἐπινοήσομεν, εἰς ἄπειρον προϊόντες λησόμεθα καὶ τέλος οὐδὲν ἕξομεν τῆς θεωρίας· ὥσπερ γὰρ ὁ πάντα ἀποδεικτὰ νενομικὼς αὐτὴν μάλιστα τὴν ἀπόδειξιν ἀναιρεῖ, τοῦτον τὸν τρόπον καὶ ὁ πάντων αἰτίας ἐπιζητῶν ἄρδην ἀνατρέπει τὰ ὄντα πάντα καὶ τὴν τάξιν αὐτῶν τὴν ἀπό τινος ὡρισμένης ἀρχῆς προϊοῦσαν. τοιαῦτα μὲν ὁ Θ. ἐπιτιμᾷ τῷ Πλάτωνι περὶ τῆσδε τῆς ψυχογονίας οὐδὲ ἐπὶ τῶν φυσικῶν πάντων λέγων δεῖν ἡμᾶς ἐπιζητεῖν τὸ διὰ τί· γελοῖον γάρ φησιν ἀπορεῖν διὰ τί καίει τὸ πῦρ καὶ διὰ τί πῦρ καὶ διὰ τί ψύχει ἡ χιών. (Procl. in Timae. p. 416 ed. Schneid.)

Fr. L.

Θ. τὸν Προμηθέα φησὶ σοφὸν γενόμενον μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας, ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον ὡς ἄρα πυρὸς μεταδοίη. (Schol. Apoll. Rhod. 2, 1248.)

LI.

Καλῶς ὁ Πλάτων τὴν φυσιολογίαν εἰκοτολογίαν ἔλεγεν εἶναι, ᾧ καὶ Ἀριστοτέλης συμμαρτυρεῖ, τὴν κυρίως ἀπόδειξιν ἐξ ἀμέσων καὶ ἀξιοπίστων ἀρχῶν καὶ ἐκ τῶν κυρίως αἰτίων καὶ τῇ φύσει προτέρων εἶναι βουλόμενος. ἀλλ᾽ οὐκ ἀτιμαστέον διὰ τοῦτο φυ-

Digitized by Google

σιολογίαν. ἀλλ' ἀρκεῖσθαι χρὴ τῷ κατὰ τὴν ἡμετέραν χρῆσιν καὶ δύναμιν ὡς καὶ Θεοφράστῳ δοκεῖ. (Simpl. in Arist. Phys. f. 5.)

F. LII.

Δημόκριτος δὲ, ὡς Θ. ἐν τοῖς φυσικοῖς ἱστορεῖ, ὡς ἰδιωτικῶς ἀποδιδόντων τῶν κατὰ τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὰ τοιαῦτα αἰτιολογούντων, ἐπὶ τὰς ἀτόμους ἀνέβη. (Simpl. in Arist. de coelo p. 510. Bk.)

Fr. LIII.

Ταῦτα δὲ καὶ τῷ κορυφαίῳ ἀρέσκει τῶν Ἀριστοτέλους ἑταίρων Θεοφράστῳ ἐν τῷ πρώτῳ τῶν περὶ κινήσεως αὐτοῦ λέγοντι ὅτι αἱ μὲν ὀρέξεις καὶ αἱ ἐπιθυμίαι καὶ ὀργαὶ σωματικαὶ κινήσεις εἰσὶ καὶ ἀπὸ τούτων ἀρχὴν ἔχουσιν, ὅσαι δὲ κρίσεις καὶ θεωρίαι, ταύτας οὐκ ἔστιν εἰς ἕτερον ἀγαγεῖν ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ καὶ ἡ ἀρχὴ καὶ ἡ ἐνέργεια καὶ τὸ τέλος ἔτι δὲ δὴ καὶ ὁ νοῦς, κρεῖττόν τι μέρος καὶ θειότερον ἅτε δὴ ἔξωθεν ἐπεισιὼν, καὶ παντελῶς. καὶ τούτοις ἐπάγει· ὑπὲρ μὲν οὖν τούτων σκεπτέον εἴ τινα χωρισμὸν ἔχει πρὸς τὸν ὅρον· ἐπεὶ τό γε κινήσεις εἶναι καὶ ταύτας ὁμολογούμενον. (Simpl. in Arist. Phys. f. 225.)

Fr. LIV.

Δοκεῖ δὲ ὁ Θ. ἀπορεῖν εἰ πᾶσα μεταβολὴ ἐν χρόνῳ ὑφορώμενος ἴσως τὰς ἀπὸ σκότους εἰς φῶς μεταβολὰς, ὅταν εἰσκομισθέντος εἰς τὸ δωμάτιον λύχνου πᾶς ἀθρόως ὁ οἶκος ἀναπλησθῇ τοῦ φωτὸς ἄνευ χρόνου. (Simpl. in Arist. Phys. f. 233.)

Fr. LV.

Ἀλέξανδρος μὲν οὖν οἴεται πᾶσαν μεταβολὴν εἶναι

Digitized by Google

ἐν χρόνῳ, Θ. δὲ ἔοικε διαποροῦντι καὶ ἴσως ὑφεωρᾶτο τὰς ἀπὸ σκότους εἰς φῶς μεταβολὰς ὅταν εἰσκομισθέντος εἰς τὸ δωμάτιον λύχνου πᾶς ἀθρόως ὁ οἶκος ἀναπλησθῇ τῆς αὐγῆς καὶ τοῦ φωτὸς ἄνευ χρόνου. (Themist. in Arist. Phys. f. 55b.)

Fr. LVI.

Ὡς δὲ πολλαχῶς λεγομένης τῆς προτάσεως ἔοικε καὶ Θ. ἐν τῷ περὶ Καταφάσεως φρονεῖν. (Alex. in Arist. Anal. pr. f. 55b.)

Fr. LVII.

Ἔστι γάρ τινα ἃ καθ' ἑαυτὰ μὲν λεγόμενα πλείω σημαίνει συντεθέντα δὲ οὐκέτι, ὡς ἐν τῷ περὶ τοῦ Πολλαχῶς Θ. φησίν. (Alex. in Arist. Top. p. 284 Bk.)

Fr. LVIII.

Ὁ γοῦν Θ. ἐν τῷ πρώτῳ τῶν Προτέρων Ἀναλυτικῶν λέγων περὶ τῶν ὑπὸ τοῦ ἀναγκαίου σημαινομένων οὕτως γράφει· 'τρίτον τὸ ὑπάρχον· ὅτε γὰρ ὑπάρχει τότε οὐχ οἷόν τε μὴ ὑπάρχειν. ἴδιον δὲ τοῦ ἐνδεχομένου τὸ τὸ μὴ ὂν ὑποτίθεσθαι εἶναι, ἐπεὶ καὶ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον ἂν λάβῃ τις εἶναι, οὐκ ἀδύνατόν τι ἀκολουθήσει. καὶ ἔσται ἐφαρμόζων ὁ λόγος καὶ τῷ ἀναγκαίῳ καὶ τῷ ὑπάρχοντι· διὸ ἴδιον τοῦ ἐνδεχομένου τὸ μὴ ὑπάρχον αὐτὸ ὡς ὑπάρχον ὑποτεθὲν μηδὲν ἀδύνατον ἔχειν ἑπόμενον.' (Alex. in Arist. Anal. pr. f. 51.)

Fr. LIX.

Ἀνάγονται μέντοι καὶ οἱ δι' ὅλων ὑποθετικοὶ εἰς τὰ τρία τὰ προειρημένα σχήματα ἄλλῳ τρόπῳ, ὡς καὶ Θ. δέδειχεν ἐν τῷ πρώτῳ τῶν Προτέρων Ἀναλυτι-

Digitized by Google

κῶν . . . Θ. μέντοι ἐν τῷ πρώτῳ τῶν Ἀναλυτικῶν δεύτερον σχῆμα λέγει ἐν τοῖς δι' ὅλων εἶναι ὑποθετικοῖς, ἐν ᾧ ἀρχόμεναι ἀπὸ τοῦ αὐτοῦ αἱ προτάσεις λήγουσιν εἰς ἕτερα, τρίτον δὲ ἐν ᾧ ἀπὸ διαφόρων ἀρχόμεναι λήγουσιν εἰς ταὐτόν. (Alex. in Arist. Anal. pr. f. 109 b.)

Fr. LX.

Ἀπορεῖ δὲ ἐν τούτοις ὁ Ἀλέξανδρος περὶ τῶν λε γομένων παρὰ τῷ Θεοφράστῳ δι' ὅλου ὑποθετικῶν... δι' ὅλου δὲ ὑποθετικοὺς ἐκάλει ὁ Θ. τοὺς καὶ τὰς προτάσεις καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως λαμβάνοντας . . . ἔλεγε δὲ ὁ Θ. ὅτι δύνανται καὶ οὗτοι ὑπὸ τὰ τρία σχήματα ἀνάγεσθαι. (Jo. Philop. ad Arist. Anal. pr. f. 75.)

Fr. LXI.

Οὐ ταὐτὸν δέ ἐστιν ἀνάγειν τε λόγους εἰς τὰ σχήματα, ὡς ἔχει τὰ Θεοφράστου δύο τὰ ἐπιγραφόμενα Ἀνηγμένων λόγων εἰς τὰ σχήματα, καὶ μέθοδον ὑπογράψαι δι' ἧς πάντα τὰ προβλήματα ἀναλύειν καὶ ἀνάγειν δυνησόμεθα. . . . ὑπογράφει δὲ τὴν αὐτὴν ταύτην μέθοδον καὶ Θ. ἐν τῷ ἐπιγραφομένῳ περὶ Ἀναλύσεως Συλλογισμῶν. (Alex. in Arist. Anal. pr. f. 115.)

Fr. LXII.

Καὶ Θ. δὲ ἐν τῷ πρώτῳ τῶν Προτέρων Ἀναλυτικῶν λέγει τὸ προσλαμβανόμενον ἢ δι' ἐπαγωγῆς τίθεσθαι ἢ καὶ αὐτὸ ἐξ ὑποθέσεως ἢ δι' ἐνεργείας ἢ διὰ συλλογισμῶν. (Alex. in Arist. Anal. pr. f. 131.)

Fr. LXIII.

Θ. μὲν καὶ Εὔδημος ἁπλούστερον ἔδειξαν τὴν

Digitized by Google

καθόλου ἀποφατικὴν ἀντιστρέφουσαν ἑαυτῇ· τὴν γὰρ καθόλου ἀποφατικὴν ὠνόμασαν καθόλου στερητικήν, τὴν δὲ δεῖξιν οὕτως ποιοῦνται. κείσθω τὸ Α κατὰ μηδενὸς τοῦ Β· εἰ δὲ κατὰ μηδενὸς ἀπέζευκται· καὶ τὸ Β ἄρα παντὸς ἀπέζευκται τοῦ Α, εἰ δὲ τοῦτο κατ' οὐδενὸς αὐτοῦ. (Alex. in Arist. Anal. pr. f. 11.)

Fr. LXIV,

Φησὶν ὁ Θ.· 'τοῦ λόγου σχέσεις ἔχοντος τὴν μὲν πρὸς τοὺς ἀκροατὰς τὴν δὲ πρὸς τὰ πράγματα, τὴν μὲν πρὸς τοὺς ἀκροατὰς ποιηταὶ καὶ ῥήτορες διώκουσι τὴν δὲ πρὸς τὰ πράγματα φιλόσοφοι.' (Anonym. in Arist. de interpr. p. 94, 16 Bk.)

Fr. LXV.

Διττῆς γὰρ οὔσης τῆς τοῦ λόγου σχέσεως, καθὰ διώρισεν ὁ φιλόσοφος Θ., τῆς τε πρὸς τοὺς ἀκροωμένους οἷς καὶ σημαίνει τι, καὶ τῆς πρὸς τὰ πράγματα ὑπὲρ ὧν ὁ λέγων πεῖσαι προτίθεται τοὺς ἀκροωμένους, περὶ μὲν τὴν σχέσιν αὐτοῦ τὴν πρὸς τοὺς ἀκροατὰς καταγίνονται ποιητικὴ καὶ ῥητορική κ. τ. λ. (Ammon. Herm. in Arist. de interpr. fr. 35.)

Fr. LXVI.

Th. de Affirmatione et negatione sic docuit, definitionem unam semper orationem eamque oportere continuatim proferri: illa enim una oratio esse dicitur, quae unius substantiae designatio est. definitio autem, ut v. gr. hominis, animal gressibile bipes, una est oratio per hoc, quoniam unum subiectum i. e. hominem monstrat. sin vero quis dividat et orationem unam rem significantem proferendi intermissione distribuat, multiplex fit oratio. (Boeth. II. p. 318.)

Digitized by Google

Fr. LXVII.

Ὁ μὲν Ἀριστοτέλης . . τὸ αὐτό φησιν εἶναι τὸ καθ' αὑτὸ καὶ τὸ ᾗ αὐτό· εἴ τι μὲν γὰρ ᾗ αὐτὸ, τοῦτο καὶ καθ' αὑτό· οἱ δὲ περὶ τὸν Θεόφραστον διαφέρειν ταῦτα λέγουσι· καθολικώτερον γὰρ εἶναι τὸ καθ' αὑτὸ τοῦ ᾗ αὐτό. εἴ τι μὲν γὰρ ᾗ αὐτὸ, τοῦτο καὶ καθ' αὑτὸ, οὐκ εἴ τι δὲ καθ' αὑτὸ, πάντως καὶ ᾗ αὐτό. τῷ γὰρ τριγώνῳ ᾗ τρίγωνόν ἐστιν ὑπάρχει τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν, ἀλλὰ καὶ καθ' αὑτό· τῷ δὲ ἰσοσκελεῖ καθ' αὑτὸ μὲν ὑπάρχει, οὐκέτι δὲ ᾗ αὐτό. οὐ γὰρ ᾗ ἰσοσκελὲς ὑπάρχει αὐτῷ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν. εἰ γὰρ τοῦτο οὐκ ἂν τῷ ἰσοπλεύρῳ ἢ σκαληνῷ ὑπῆρχεν, ἐπεὶ μὴ ἰσοσκελῆ, ἀλλ' ᾗ ἁπλῶς τρίγωνά ἐστιν. ταῦτα μὲν οἱ περὶ Θεόφραστον. (Jo. Philop. in Arist. Anal. post. fol. 17.)

Fr. LXVIII.

Ἔστιν ὁ τόπος, ὡς λέγει Θ., ἀρχή τις ἢ στοιχεῖον ἀφ' οὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχὰς, ἐπιστήσαντες τὴν διάνοιαν, τῇ περιγραφῇ μὲν ὡρισμένως — ἢ γὰρ περιλαμβάνει τὰ κοινά τε καὶ καθόλου ἅ ἐστι τὰ κύρια τῶν συλλογισμῶν, ἢ δύναταί γε ἐξ αὐτῶν τὰ τοιαῦτα δείκνυσθαί τε καὶ λαμβάνεσθαι —, τοῖς δὲ καθ' ἕκαστα ἀορίστως· ἀπὸ τούτων γὰρ ὁρμώμενον ἔστιν εὐπορεῖν προτάσεως ἐνδόξου πρὸς τὸ προκείμενον· τοῦτο γὰρ ἡ ἀρχή. (Alex. in Arist. Top. 5.)

Fr. LXIX.

Διὸ καὶ ὁρίζεται ὁ Θ. τὸν τόπον, ὡς ἤδη ἡμῖν ἐν τοῖς πρώτοις εἴρηται, οὕτως· 'τόπος ἐστὶν ἀρχή τις ἢ στοιχεῖον, ἀφ' οὗ λαμβάνομεν τὰς περὶ ἕκαστον ἀρχάς, τῇ περιγραφῇ μὲν ὡρισμένος, τοῖς δὲ καθ' ἕκαστα ἀόριστος.' (Alex. in Arist. Top. 67.)

Digitized by Google

Fr. LXX.

Δεῖ μὴ ἀγνοεῖν ὅτι Θ. διαφέρειν λέγει παράγγελμα καὶ τόπον· παράγγελμα μὲν γάρ ἐστι τὸ κοινότερον καὶ καθολικώτερον ἁπλούστερον λεγόμενον ἀφ' οὗ ὁ τόπος εὑρίσκεται· ἀρχὴ γὰρ τόπου τὸ παράγγελμα, ὥσπερ ὁ τόπος ἐπιχειρήματος. (Alex. in Arist. Top. 72.)

Fr. LXXI.

Ὁ Θ. οὕτως ὁρίζεται τὸ ἀξίωμα 'ἀξίωμά ἐστι δόξα τις, ἡ μὲν ἐν τοῖς ὁμογενέσιν ἐὰν ἴσα ἀπὸ ἴσων, ἡ δὲ ἁπλῶς ἐν ἅπασιν.' (Themist. in Arist. Anal. post. f. 2.)

Fr. LXXII.

Τὴν μέμψιν καὶ τὴν ὀργὴν καὶ τὸν θυμὸν ἅπερ φησὶν ὁ Θ. ἐν τῷ περὶ παθῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον ἔχειν τὴν διαφορὰν καὶ μὴ εἶναι ὁμοειδῆ .. (Simpl. in Arist. Categ. f. 7.)

Fr. LXXIII.

Ἄσκοπος ἡ τύχη, φησὶν ὁ Θ., καὶ δεινὴ παρελέσθαι τὰ προπεπονημένα καὶ μεταρρίψαι τὴν δοκοῦσαν εὐημερίαν, οὐθένα καιρὸν ἔχουσα τακτόν. (Plutarch. Cons. ad Apoll. 104d.)

Fr. LXXIV.

Τοὺς ἀλλοτρίους, ὡς ἔλεγε Θ., οὐ φιλοῦντα δεῖ κρίνειν ἀλλὰ κρίναντα φιλεῖν. (Plut. am frat. 482c.)

Fr. LXXV.

Εὖ εἶπε Θ. ὡς, εἰ κοινὰ τὰ φίλων ἐστὶ, μάλιστα δεῖ κοινοὺς τῶν φίλων εἶναι τοὺς φίλους. (Plut. am. frat. 490d.)

Digitized by Google

Fr. LXVI.

Διὸ καὶ Θ. ἄοινα συμπόσια παίζων ἐκάλει τὰ κουρεῖα διὰ τὴν λαλιὰν τῶν προσκαθιζόντων. (Plut. Symp. 678 et 716.)

Fr. LXXVII.

Φιλόσοφος ὁ Θ. ἐν τῇ συγκρίσει τῶν ἁμαρτημάτων ὡς ἄν τις κοινότερον τὰ τοιαῦτα συγκρίνειέ φησι. βαρυτέρα εἶναι τὰ κατ' ἐπιθυμίαν πλημμελούμενα τῶν κατὰ θυμόν· ὁ γὰρ θυμούμενος μετά τινος λύπης καὶ λεληθυίας συστολῆς φαίνεται τὸν λόγον ἀποστρεφόμενος, ὁ δὲ κατ' ἐπιθυμίαν ἁμαρτάνων ὑφ' ἡδονῆς ἡττώμενος ἀκολαστότερός πως φαίνεται καὶ θηλύτερος ἐν ταῖς ἁμαρτίαις. (M. Antonin. 2, 168 ed. Bas.)

Fr. LXXVIII.

Οὐδὲν πλέον ἔχουσιν οἱ πλούσιοι τῶν μέτρια κεκτημένων, ἀλλὰ τυφλὸς ὁ πλοῦτός ἐστιν, ὥς φησι Θ., καὶ ἄζηλος ἀληθῶς, εἰ Καλλίας πλουσιώτατος Ἀθηναίων καὶ Ἰσμηνίας εὐπορώτατος Θηβαίων ἐχρῶντο τούτοις οἷς Σωκράτης καὶ Ἐπαμινώνδας. (Plut. Cupid. divit. p. 527.)

Fr. LXXIX.

Ἀλλ' οὐδὲ τὰ κατὰ τέχνην ἀηδῶς ἐποιεῖτο (ὁ Παρράσιος) ἀλλὰ ῥᾳδίως ὡς καὶ ᾄδειν γράφοντα, ὥς ἱστορεῖ Θ. ἐν τῷ περὶ Εὐδαιμονίας. (Athenae. 12 p. 543.)

Fr. LXXX.

Θεόμανδρον τὸν Κυρηναῖόν φησι Θ. ἐν τῷ περὶ Εὐδαιμονίας περιιόντα ἐπαγγέλλεσθαι διδάσκειν εὐτυχίαν. (Athenae. 13 p. 567.)

Digitized by Google

Fr. LXXXI.

Οὐκ, εἰ δή που τοῦ(το) τῷ γένει τιμιώτερον, ἤδη καὶ, ὁτιοῦν ἂν ᾖ μέρος τούτου, πρὸς τὸ τηλίκον θατέρου συγκρινόμενον, αἱρετὸν ἔσται. λέγω δὲ οἷον, οὐ καὶ χρυσίον τιμιώτερον χαλκοῦ καὶ τηλίκον τοῦ χρυσίου πρὸς τὸ τηλίκον χαλκοῦ μέγεθος ἀντιπαραβαλλόμενον πλέον δόξει; ἀλλὰ ποιήσει τινὰ ῥοπὴν καὶ τὸ πλῆθος καὶ τὸ μέγεθος. (A. Gell. N. A. 1, 3.)

Fr. LXXXII.

Κινδυνεύει τὸ λίαν φιλεῖν, ὥς φησι Θ., αἴτιον τοῦ μισεῖν γίνεσθαι. (Plut. Cato min. 777.)

Fr. LXXXIII.

Θ. ἐν τῷ περὶ κολακείας φησὶν ὡς Μύρτις μύστης ὁ Ἀργεῖος Κλεώνυμον τὸν χορευτὴν ἅμα καὶ κόλακα προσκαθίζοντα πολλάκις αὐτῷ καὶ τοῖς συνδικάζουσι, βουλόμενον δὲ καὶ μετὰ τῶν κατὰ τὴν πόλιν ἐνδόξων ὁρᾶσθαι, λαβόμενος τοῦ ὠτὸς καὶ ἕλκων αὐτὸν ἐκ τοῦ συνεδρίου πολλῶν παρόντων εἶπεν, Οὐ χορεύσει ἐνθάδε οὐδ' ἁμῶν ἀκούσει. (Athenae. 6 p. 254.)

Fr. LXXXIV.

Οὐδεὶς δὲ λέγει τὸν Ἀριστείδου βίον ἡδὺν ἀλλὰ τὸν Σμινδυρίδου τοῦ Συβαρίτου καὶ τὸν Σαρδαναπάλου, καίτοι κατά γε τὴν δόξαν, φησὶν ἐν τῷ περὶ Ἡδονῆς Θ., οὐχ ὁμοίως λαμπρός ἐστιν, ἀλλ' οὐκ ἐτρύφησεν ὥσπερ ἐκεῖνοι. οὐδὲ τὸν Ἀγησιλάου τοῦ Λακεδαιμονίων βασιλέως, ἀλλὰ μᾶλλον εἰ ἔτυχεν τὸν Ἀνάνιος οὕτως ἀοράτου κατὰ δόξαν ὄντος. οὐδὲ τὸν τῶν ἡμιθέων τῶν ἐπὶ Τροίας, ἀλλὰ πολὺ μᾶλλον τῶν νῦν· καὶ τοῦτ' εἰκότως. ὁ μὲν γὰρ ἀκατάσκευος καὶ ὥσπερ

Digitized by Google

ἀνάρτυτος ἦν οὔτ' ἐπιμιξίας οὔσης οὔτε τῶν τεχνῶν διηκριβωμένων· ὁ δὲ πᾶσιν ἐξηρτυμένος πρὸς ῥᾳστώνην καὶ πρὸς ἀπόλαυσιν καὶ πρὸς τὰς ἄλλας διαγωγάς. (Athenae. 12 p. 511.)

Fr. LXXXV.

Ὁ Θ. ἀντιλέγει τῷ Πλάτωνι περὶ τοῦ μὴ εἶναι ἀληθῆ καὶ ψευδῆ ἡδονὴν ἀλλὰ πάσας ἀληθεῖς. εἰ γάρ ἐστί τις, φησὶν, ἡδονὴ ψευδὴς, ἔσται τις ἡδονή οὐχ ἡδονή· ἢ μάλιστα μὲν οὐδὲν συμβήσεται τοιοῦτον· καὶ γὰρ ἡ ψευδὴς δόξα οὐδὲν ἧττον δόξα· εἰ δὲ καὶ συμβαίη τι ἄτοπον τὴν ἐσχάτην ἡδονὴν δοκοῦσαν εἶναι μὴ εἶναι ἡδονήν· ἐπεὶ καὶ ὄντι· ἄλλως οὐκ ὂν ἁπλῶς [*ἐπεὶ καὶ ὄν τι, ἀλλ' ὡς οὐκ ὂν ἁπλῶς* conj. Schneider] *οἷον τὸ γεννητὸν οὐχ ὅπερ ὄν. καὶ γὰρ Ἀριστοτέλης τινὰς ἡδονὰς πρός τι εἶναι ἡδονὰς ἀξιοῖ καὶ οὐχ ἁπλῶς, οἷον τὰς τῶν νοσούντων καὶ τῷ πικρῷ χρωμένων ὡς γλυκεῖ. ἔτι φησὶν ὁ Θ. τριχῶς τὸ ψεῦδος· ἢ γὰρ ὡς ἔθος ἐπίπλαστον ἢ ὡς λόγος ἢ ὡς πρᾶγμά τι ὄν. κατὰ τί οὖν, φησὶν, ἡ ἡδονὴ ψευδής; οὔτε γὰρ ἦθος ἡδονὴ οὔτε λόγος οὔτε ὂν, οὐκ ὄν· τοιοῦτον γὰρ τὸ πρᾶγμα τὸ ψευδὲς ἐν τῷ μὴ εἶναι χαρακτηριζόμενον. ἢ ῥητέον ὅτι κατὰ τοὺς τρεῖς διορισμούς ἐστι ψευδὴς ἡ ἡδονή· καὶ γὰρ ἐπίπλαστος ἡ τοῦ ἐπιπλάστου ἤθους, καὶ ἄλογος ἡ ἀντὶ τοῦ ἀληθοῦς εἰς τὸ ψεῦδος ἀποπλανηθεῖσα δόξα καὶ τούτῳ ἐφηδομένη· καὶ μὴ οὖσα ἡ κατὰ ἀπουσίαν τοῦ λυπηροῦ φανταζομένη* [*ἡ*] *ἡδονὴ καὶ ταῦτα μὴ παρόντος ἡδέος;* (Olympiod. in Plat. Phileb. p. 269.)

Fr. LXXXVI.

Θ. ἐν τῷ περὶ Ἡδονῆς καὶ δὴ καὶ τοὺς Ἴωνας, φησὶ, διὰ τὴν ὑπερβολὴν τῆς τρυφῆς ἔτι καὶ νῦν ἡ χρυσῆ παροιμία διαμεμένηκε. (Athenae. 12 p. 526.)

Digitized by Google

Fr. LXXXVII.

Ὅτι δὲ καὶ νόσους ἰᾶται μουσικὴ Θ. ἱστόρησεν ἐν τῷ περὶ ἐνθουσιασμοῦ, ἰσχιακοὺς φάσκων ἀνόσους διατελεῖν εἰ καταυλήσοι τις τοῦ τόπου τῇ φρυγιστὶ ἁρμονίᾳ. (Athenae. 14 p. 624. cf. Eustath. p. 1078, 41.)

Fr. LXXXVIII.

Θ. ἐν τῷ περὶ ἐνθουσιασμῶν . . φησὶ . . τὴν μουσικὴν πολλὰ τῶν περὶ τὴν ψυχὴν καὶ τὸ σῶμα γιγνομένων παθῶν ἰατρεύειν καθάπερ λιποθυμίαν φόβους καὶ τὰς ἐπὶ μακρὸν γιγνομένας τῆς διανοίας ἐκστάσεις. ἰᾶται γάρ, φησίν, ἡ καταύλησις καὶ ἰσχιάδα καὶ ἐπιληψίαν, καθάπερ . . . λέγεται τὸν μουσικὸν καταστῆσαι τὸν ἐξιστάμενον ἐν Θήβαις ὑπὸ τὴν τῆς σάλπιγγος φωνήν· ἐπὶ τοσοῦτον γὰρ ἐβόησεν ἀκούων ὥστε ἀσχημονεῖν. εἰ δέ ποτε καὶ πολεμικὸν σαλπίσειέ τις πολὺ χεῖρον πάσχειν μαχόμενον. τοῦτον οὖν κατὰ μικρὸν τῷ αὐλῷ προσάγειν καὶ ὡς ἄν τις εἴποι ἐκ προσαγωγῆς ἐποίησε καὶ τὴν τῆς σάλπιγγος φωνὴν ὑπομένειν. (Apollon. Hist. Mirab. c. 49.)

Fr. LXXXIX.

Ἔστι γὰρ τὸ γινόμενον κίνημα μελῳδητικὸν περὶ τὴν ψυχὴν σφόδρα ἀκριβὲς ὁπόταν φωνῇ ἐθελήσῃ ἑρμηνεύειν αὐτό, τρέπει μὲν τήνδε, τρέπει δὲ ἐφ' ὅσον οἷά τέ ἐστι τὴν ἄλογον τρέψαι καθὸ ἐθέλει. ἧς τὴν ἀκρίβειάν τινες ἐπεβάλοντο εἰς τοὺς ἀριθμοὺς ἀναπέμπειν κατὰ τοὺς ἐν τούτοις λόγους τὴν ἀκρίβειαν τῶν διαστημάτων γίνεσθαι φήσαντες. ἕνα γὰρ λόγον εἶναι τοῦ διὰ πασῶν ἔφασαν ὡς καὶ τὸν τοῦ διπλασίονος καὶ τὸν τοῦ διὰ πέντε. ὡς τὸν τοῦ ἡμιολίου καὶ τὸν τοῦ διὰ τεσσάρων ὡς τὸν τοῦ ἐπιτρίτου, καὶ τῶν

Digitized by Google

ἄλλων διαστημάτων ἁπάντων ὁμοίως, ὥσπερ καὶ τῶν ἄλλων ἀριθμῶν ἑκάστου ἴδιον. οὕτω τε ἐν ποσότητι
2 τὴν μουσικὴν εἶναι ἐπειδὴ παρὰ τήνδε αἱ διαφοραί. ἃ δὴ λέγοντες συνετώτεροί τισιν ἐφαίνοντο τῶν ἁρμονικῶν καὶ αἰσθήσει κρινόντων, τοῖς τῶν νοητῶν ἀριθμῶν λόγοις ἐπικρίνοντες. οἳ οὐκ ᾔδεισαν ὅτι, εἰ μέν τι ποσότης ἐστὶν, ἡ διαφορὰ γίγνεται αὕτη παρὰ τὸ ποσότητι διάφορον· κἂν μέλος ἢ μέλους μέρος εἴη· ὥστε καὶ ἡ χρόα χρόας ποσότητι διαφέροι, ὅπερ ἀνάγκη κἂν μέλος ἢ μέλους (μέρος) εἴη, εἴ γε τὸ μέλος καὶ τὸ διάστημα ἀριθμὸς καὶ διὰ τὸν ἀριθμὸν τὸ μέλος καὶ ἡ τοῦδε διαφορά. καὶ γὰρ εἰ πᾶν διάστημα πλῆθός τι, τὸ δὲ μέλος ἐκ διαφόρων φθόγγων, τὸ μέλος
3 ὅτι ἀριθμὸς τοιόνδε ἂν εἴη. ἀλλ' εἰ μηδὲν ἀλλ' ἢ ἀριθμὸς, πᾶν ἀριθμητὸν μετέχοι ἂν καὶ μέλους ὅσον καὶ ἀριθμοῦ. εἰ δ' ὡς τῷ χρώματι συμβέβηκε τὸ πλῆθος ἄλλῳ ὄντι, καὶ τοῖς φθόγγοις, ἔστι τι ἄλλο φθόγγος καὶ ἄλλο τὸ περὶ αὐτὸν πλῆθος. ἀλλ' εἰ ἄλλο τι φθόγγος ὁ ἀκουστὸς καὶ ὁ βαρύτερος καὶ ὁ ὀξύτερος, διαφέρουσιν ἀλλήλων ἢ ὡς φθόγγοι ἢ ὡς τὸ πλήθει. εἰ μὲν (ὡς) τὸ πλήθει, καί ἐστιν ὁ ὀξύτερος τοιοῦτος τῷ πλείονας ἀριθμοὺς κεκινῆσθαι καὶ ὁ βαρύτερος τῷ ἐλάττους, τί ἄλλο τὸ ἴδιον τῆς φωνῆς ἂν εἴη; πᾶσα γὰρ ἀντιληπτικὴ ἢ κατὰ τὸ ὀξὺ ἢ κατὰ τὸ βαρύ ἐστι· πᾶσα γὰρ φωνή ἐστιν ἧς μὲν ὀξυτέρα ἧς δὲ βαρυτέρα, ὥστε ἧς μὲν ἔλαττον τὸ πλῆθος ἧς δὲ πλεῖον, ὥστε ἀριθμός· οὗ αἱρομένου τί τὸ ἀπολειπόμενον εἴη ἄλλο τι καθὸ φωνή; ἡ φωνὴ δὲ ὀξυτέρα τινὸς ἢ βαρυτέρα ἐστίν· ἔχει τὸ ποσὸν ἡ φωνή· εἰ δὲ
4 ἄλλο τι οὐκ ἔτι ἔσται φωνή τις. εἰ δὲ ᾗ φθόγγοι διοίσουσιν οἱ ὀξεῖς καὶ βαρεῖς οὐκέτι τοῦ πλήθους δεησόμεθα· ἡ γὰρ αὐτῶν φύσει διαφορὰ αὐτάρκης ἔσται

Digitized by Google

*εἰς τὴν τῶν μελῶν γένεσιν. καὶ εἴδησις ἔσται τῶν
διαφορῶν. οὐκέτι γὰρ ἔσονται διαφοραὶ παρὰ τὰ πλή-
θη ἀλλὰ παρὰ τὴν ἰδιότητα τῶν φωνῶν ὥσπερ ἐν τοῖς
χρώμασιν. οὐδὲ γὰρ χρῶμα ἁπλοῦν ἁπλοῦ χρώματος
ποσότητι διαφέρει· ἴσαι γὰρ ἂν εἶεν αἱ ποσότητες·
ὥσπερ εἰ συμμιγείη ἢ μέλαν λευκῷ ἴσον ἴσῳ, οὐκ ἂν
οἱ τοῦ λευκοῦ ἀριθμοὶ τῶν τοῦ μέλανος πλείους λέ-
γοιντο οὐδ' ἂν οἱ τοῦ μέλανος τῶν τοῦ λευκοῦ. οὕτως
οὐδὲ τὸ γλυκύπικρον· ἕκαστον γὰρ καθὸ ἐπιτέτακται
ἴσον· ἀλλ' ἔστι τὸ πλῆθος ἐπ' ἴσον ἐπιτεταγμένον κατὰ
τὸ ἴδιον. οὕτως οὐδὲ ἡ ὀξεῖα φωνὴ ἐκ πλειόνων συνέ-* 5
*στηκεν ἢ πλείους ἀριθμοὺς κινεῖται οὐδὲ ἡ βαρεῖα·
οἷόν τε γὰρ ἢ ταύτην λέγειν ἢ κἀκείνην, ἐπειδὴ ἴδιόν
τι μέγεθος βαρείας ἐστὶ φωνῆς. δῆλον δὲ ἐκ τῆς βίας
τῆς γενομένης περὶ τοὺς μελῳδοῦντας· ὡς γάρ τινος
δέονται δυνάμεως εἰς τὸ τὴν ὀξεῖαν ἐκφωνῆσαι οὕτω
εἰς τὸ τὴν βαρεῖαν φθέγξασθαι. ἔνθα μὲν γὰρ συνά-
γουσι τὰ πλευρὰ καὶ τὴν ἀρτηρίαν ἐκτείνουσι [διὸ
βραχύτερον] βίᾳ ἀποστενοῦντες. ἔνθα δὲ διευρύνουσι
τὴν ἀρτηρίαν, διὸ βραχύτερον τὸν τράχηλον ποιοῦσι
τὸ μῆκος τῆς εὐρύτητος συναγούσης. τοιαύτης ἔοικεν* 6
*ἔν τε τοῖς αὐλοῖς εἰς τὸ ἐμπνεῦσαι βίᾳ τῷ στενωτέρῳ
δυνάμεως δεῖν καὶ εἰς τὸ τῷ εὐρυτέρῳ ἵνα πληρωθῇ·
καὶ γὰρ δὴ καὶ μᾶλλον ἐν τοῖς αὐλοῖς· ἀπονώτερον
γὰρ τὸ ὀξὺ τῷ διὰ τῶν ἄνω γίγνεσθαι τρημάτων· βίας
δὲ δεόμενον τὸ βαρὺ καὶ μείζονος εἰ δι' ὅλου τὸ πνεῦ-
μα πέμποιτο, ὥστε ὅσον μήκους προστίθεται τοσόνδε
καὶ πνεύματος ἰσχύος προστίθεται. ἐν δὲ ταῖς χορδαῖς
τὸ ἴσον κατὰ θάτερον δῆλον· ὅσῳ γὰρ εὐτονω-
τέρα ἡ τῆς λεπτοτέρας τάσις τοσῷδε ἡ ἀνεῖσθαι δο-
κοῦσα παχυτέρα, οὕτω τε ὅσῳ ἰσχυρότερος ὁ ἦχος
ἐκ τῆς λεπτοτέρας τοσῷδε βαρύτερος ὁ ἕτερος· ἐκ γὰρ*

Digitized by Google

μείζονος ὁ πλείων καὶ τοῦ πέριξ ἦχος. πῶς γὰρ ἂν
σύμφωνοι ἐγίγνοντό τινες φθόγγοι εἰ μὴ ἰσότης ἦν;
ἀσύγκριτον γὰρ τὸ πλεονάζον, τὸ γὰρ ὑπέρμετρον
ὑπὲρ τὴν μίξιν διάδηλον γίγνεται. διὸ τοῖς κατὰ τὴν
κρᾶσιν ἰσχυροτέροις τὸ ἀνειμένον πλεῖον ἐπιμίγνυται
8 εἰς τὸ ἰσοδυναμῆσαι· ὥστε ἐστί τις συμφωνία καὶ ἰσό-
της τῶν ἐξ ὧν γίνεται. εἰ γὰρ ὁ ὀξὺς πλείους κινοῖτο
ἀριθμοὺς πῶς ἂν συνήχησις γένοιτο; καὶ γάρ, ὥς φασι,
καὶ πορρωτέρω ἀκούεται ὁ ὀξύτερος φθόγγος τῷ πορ-
ρωτέρω διὰ τὴν τῆς κινήσεως ὀξύτητα διικνεῖσθαι. εἰ διὰ
τὸ πλῆθος γίγνεται οὐκ ἄν ποτε γένοιτο σύμφωνος οὗτος
πρὸς τὸν βαρύν, οὔθ' ὅτε ἀκούεται, εἴ γε ἐν ἀμφο-
τέροις ἡ συμφωνία, οὔθ' ὅτε ἐκλείπει ὁ βαρύτερος,
ἀνάγκη γὰρ κατὰ τὴν λεληθυῖαν ἔκλειψιν μηκέτ' ἀκούε-
σθαι· οὔτε μάλιστα ἄμφω ἀκούονται· καὶ τότε γὰρ ὁ
ὀξὺς σφοδρότερός ἐστιν. ἅτε οἷός τε ὢν καὶ πόρρω
διικνεῖσθαι· φθάνει τε οὖν τὸν βαρὺν καὶ κατισχύει
ὥστε σφετερίζεσθαι τὴν αἴσθησιν ἀεὶ [μὴ] μειονεκτοῦν-
9 τος τοῦ βαρυτέρου. ἀλλ' ἐπεί ἐστί τι σύμφωνον ἰσό-
τητα δηλοῦν ἀμφοῖν τοῖν φθόγγοιν, ἰσότης ἐστὶ τῶν
δυνάμεων διαφέρουσα τῇ ἰδιότητι ἑκατέρα. τὸ γὰρ
ὀξύτερον φύσει ὂν ἐκδηλότερον οὐκ ἰσχυρότερον πορ-
ρωτέρω ἀντιληπτόν ἐστι τοῦ βαρυτέρου, ὥσπερ τὸ λευ-
κὸν ἄλλου του χρώματος, ἤ τι ἕτερον ὃ οὐχὶ τῷ θάτε-
ρον ἧττον εἶναι ὃ πέφυκε μᾶλλον ἀντιληπτόν ἐστιν,
ἢ τῷ μὴ διὰ τοὺς ἴσους ἀριθμοὺς κινεῖσθαι, ἀλλὰ τῷ
μᾶλλον τῷδε ἢ τῷδε ἐπιβάλλειν τὴν αἴσθησιν διὰ τὴν
πρὸς τὰ πέριξ ἀνομοιότητα. οὕτως διικνεῖται μὲν καὶ
ὁ βαρύς, ἡ δ' ἀκοὴ θᾶττον ἀντιλαμβάνεται διὰ τὴν
10 ἰδιότητα τοῦ ὀξέος οὐ διὰ τὸ ἐν αὐτῷ πλῆθος. καὶ γὰρ
δή γε εἰ καὶ πορρωτέρω ἐκινεῖτο οὐ διὰ τὸ πλείους
κινεῖσθαι ἀριθμοὺς ὁ ὀξύτερος ἀλλὰ διὰ τὸ σχῆμα·

Digitized by Google

ἐπειδὴ ὁ μὲν ὀξὺς ἦχος πρόσω μᾶλλον φέρεται καὶ ἄνω
ὁ δὲ βαρὺς πέριξ κατ' ἴσον μᾶλλον. δῆλον δὲ καὶ ἐκ
τῶν ὀργάνων· τὸ μὲν γὰρ ὑπόκερας καὶ τὸ σὺν τῷ
χαλκώματι περιηχητικώτερα ἅτε τοῦ ἤχου ἴσου περὶ
πᾶν γιγνομένου. καὶ γὰρ εἴ τις ὀξὺν φθεγγόμενος
φθόγγον ἅπτοιτο τῆς αὑτοῦ πλευρᾶς, ἔπειτα πάλιν
βαρὺν, αἰσθάνοιτο ἂν μᾶλλον ἐπὶ τοῦ βαρέος φθόγ-
γου τῇ χειρὶ τῆς περὶ τὴν πλευρὰν κινήσεως. κἂν τοῦ
ὀργάνου ἅπτηται τῆς χέλυος ἢ τοῦ κέρατος ἢ ἀγκῶνος
ὁπότε τὴν λεπτὴν τύπτοι καὶ τὴν τοῦ βαρέος προετι-
κὴν, πάλιν ἐπαίσθοιτο ἂν μᾶλλον τῆς περὶ τὸ κύτος
κινήσεως ὁπότε τὴν τοῦ βαρυτέρου τύπτοι ἤχου προε-
τικήν. εἰς πᾶν γὰρ ὁ βαρὺς φθόγγος διικνεῖται πέριξ,
ὁ δὲ ὀξὺς πρόσω ἢ εἰς ὃ βιάζεται ὁ φθεγγόμενος. εἰ
οὖν ὅσῳ πρόσω κινεῖται ὁ ὀξὺς τοσόνδε περὶ πᾶν κι- 11
νοῖτο ὁ βαρὺς οὐκ ἂν ἐλάττους κινοῖτο ἀριθμούς· ὅπερ
κἀκ τῶν αὐλητικῶν δῆλον· ὁ γὰρ μακρότερος αὐλὸς
βαρύτερος ἐν ᾧ πλεῖον τὸ πνεῦμα περὶ ὃ πᾶν ἡ κίνη-
σις. ἀλλ' οὐδὲ τάχει ἂν διαφέροι ὁ ὀξύς· προκατε-
λαμβάνετο γὰρ ἂν τὴν ἀκοὴν ὥστε μὴ γίγνεσθαι σύμ-
φωνον· εἰ δὲ γίγνεται ἰσοταχοῦσιν ἄμφω· οὐχὶ οὖν
ἀριθμοί τινες ἄνισοι τὸν τῶν διαφορῶν λόγον ποιοῦ-
σιν. αἱ δὲ φύσει τοιαίδε φωναὶ φύσει συνηρμοσμέναι
οὖσαι· οὐδὲ γὰρ τὰ διαστήματα, ὥς τινές φασιν, αἴ-
τια τῶν διαφορῶν, διὸ καὶ ἀρχαί· ἐπειδὴ καὶ τούτων 12
παραλειπομένων γίγνεται τάδε αἴτια τοῦ εἶναι οὐχ ὡς
ποιοῦντα ἀλλὰ ὡς μὴ κωλύοντα. οὐδὲ γὰρ ἡ ἐκμέλεια
τῆς ἐμμελείας αἰτία· ἐπειδὴ οὐκ ἂν γένοιτο ἐμμέλεια
εἰ μὴ ἡ ἐκμέλεια παραπέμποιτο. οὐδ' ἄν τι ἄλλο ἐπι-
στημονικὸν γένοιτο εἰ μὴ τοὐναντίον ἀνεπίστημον τοῦ
ἐπιστήμονος, ἀλλὰ παραπεμπόμενον, τοῦ μὴ κωλύειν.
ὥστ' οὐδὲ τὰ διαστήματα τοῦ μέλους αἴτια ὡς ποιοῦν- 13

Digitized by Google

τα ἀλλ' ὡς μὴ κωλύοντα. εἰ γάρ τις ἅμα φθέγγοιτο κατὰ τὸ συνεχὲς καὶ τοὺς μεταξὺ τόπους, ἆρ' οὖν ἐκμελῆ ποιοῖτο φωνήν; ὧν οὖν μὴ παραπεμπομένων ἐκμέλεια γίγνοιτο ἂν οὐχὶ τούτων παραλειπομένων ἡ ἐμμέλεια, ὡς εἰ μὴ παραλειφθεῖεν κωλυσόντων. μέγα οὖν ὄφελος τὸ περιίστασθαι ταύταις τὴν μελῳδίαν, ὥστε ἀνευρίσκειν τοὺς συνηρμοσμένους πρὸς ἀλλήλους φθόγγους· ἀλλ' οὗτοι μὲν αἴτιοι τοῦ μέλους ὄντες, τὰ δὲ διαστήματα παραπεμπόμενα ἐπιδηλούμενα ἐκμελείας αἰτιά ἐστιν· ἧς καὶ ἀρχαὶ λέγοιντ' ἂν οὐχὶ τῆς
14 ἐμμελοῦς φωνῆς. οὔτ' οὖν τὰ διαστήματα αἴτια τῆς ἐμμελείας ἀλλὰ βλαπτικὰ αὐτῆς φαινόμενά γε· οὔτε οἱ ἀριθμοὶ αἴτιοι τῇ ποσότητι διαφέρειν ἀλλήλων τοὺς φθόγγους· κατ' ἄλλο γὰρ ἴσοι εὑρίσκονται οἱ βαρεῖς τοῖς ὀξέσι καθὸ καὶ ὁ πόνος ἴσος κατὰ τοὐναντίον· οὐ γὰρ ἧττον τῶν τοὺς ὀξεῖς φθόγγους φθεγγομένων οἱ τοὺς βαρεῖς πονοῦσι βιαζόμενοι εἰς τοὐναντίον πάλιν. μία δὲ φύσις τῆς μουσικῆς, κίνησις τῆς ψυχῆς ἡ κατὰ ἀπόλυσιν γιγνομένη τῶν διὰ τὰ πάθη κακῶν. (Porphyr. ad Ptolemaei Harmonica ed. Wallis p. 241—244.)

Fr. XC.

Θ. περὶ μουσικῆς ἀρχὰς μουσικῆς τρεῖς εἶναι λέγει, λύπην ἡδονὴν ἐνθουσιασμόν, ὡς ἑκάστου τούτων παρατρέποντος ἐκ τοῦ συνήθους καὶ ἐγκλίνοντος τὴν φωνήν. (Plut. Qu. Sympos. P. 623.)

Fr. XCI.

Τὴν ἀκουστικὴν αἴσθησιν Θ. παθητικωτάτην εἶναί φησι πασῶν. (Plut. de audit. p. 37.)

Fr. XCII.

Θ. πρῶτόν φησιν Ἄνδρωνα τὸν Καταναῖον αὐ-

Digitized by Google

λητὴν κινήσεις καὶ ῥυθμοὺς ποιῆσαι τῷ σώματι αὐλοῦντα, ὅθεν σικελίζειν τὸ ὀρχεῖσθαι παρὰ τοῖς παλαιοῖς· μεθ᾽ ὃν Κλεόφαντον Θηβαῖον. (Athenae. I. p. 22.)

Fr. XCIII.

Διόπερ Θ. παράδειγμα ἐκτίθεται μεγαλοπρεπείας τὸ τοιοῦτον κῶλον· τῶν μὲν περὶ τὰ μηδενὸς ἄξια φιλοσοφούντων· οὐ γὰρ ἐκ παιώνων ἀκριβῶς ἀλλὰ παιωνικόν τί ἐστι. (Demetr. Phaler. de elocut. sect. 41.)

Fr. XCIV.

Ὁρίζεται τὸ ψυχρὸν Θ. οὕτω· ψυχρόν ἐστι τὸ ὑπερβάλλον τὴν οἰκείαν ἀπαγγελίαν, οἷον ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ, ἀντὶ τοῦ ἀπύθμενος ἐπὶ τραπέζης κύλιξ οὐ τίθεται· τὸ γὰρ πρᾶγμα σμικρὸν ὂν οὐ δέχεται ὄγκον τοσοῦτον λέξεως. (Demetr. l. l. 114.)

Fr. XCV.

Ὡρίσατο τὸ κάλλος Θ. οὕτω. κάλλος ὀνόματός ἐστι τὸ πρὸς τὴν ἀκοὴν ἢ πρὸς τὴν ὄψιν ἡδὺ ἢ τὸ τῇ διανοίᾳ ἔντιμον. (Demetr. l. l. 173.)

Fr. XCVI.

Ἐν τούτοις τε οὖν τὸ πιθανὸν καὶ ἐν ᾧ Θ. φησιν ὅτι οὐ πάντα ἐπ᾽ ἀκριβείας δεῖ μακρηγορεῖν, ἀλλ᾽ ἔνια καταλείπειν καὶ τῷ ἀκροατῇ συνιέναι καὶ λογίζεσθαι ἐξ αὑτοῦ· συνιεὶς γὰρ τὸ ἐλλειφθὲν ὑπό σου οὐκ ἀκροατὴς μόνον ἀλλὰ καὶ μάρτυς σου γίνεται καὶ ἅμα εὐμενέστερος· συνετὸς γὰρ ἑαυτῷ δοκεῖ διά σε, τὴν ἀφορμὴν αὐτῷ παρεσχηκότα τοῦ συνιέναι· τὸ δὲ πάντα ὡς ἀνοήτῳ λέγειν καταγινώσκοντι ἔοικε τοῦ ἀκροατοῦ. (Demetr. l. l. 222.)

Digitized by Google

Fr. XCVII.

Οἱ μὲν οὖν ὑπὸ κήρυκος κελεύουσι πωλεῖν καὶ προκηρύττειν ἐκ πλειόνων ἡμερῶν· οἱ δὲ παρ' ἀρχῇ τινὶ καθάπερ καὶ Πιττακὸς παρὰ βασιλεῦσι καὶ πρυτάνει· ἔνιοι δὲ προγράφειν παρὰ τῇ ἀρχῇ πρὸ ἡμερῶν μὴ ἐλαττόνων ἢ ἑξήκοντα καθάπερ Ἀθήνησι, καὶ τὸν πριάμενον ἑκατοστὴν τιθέναι τῆς τιμῆς ὅπως διαμφισβητῆσαί τε ἐξῇ καὶ διαμαρτύρεσθαι τῷ βουλομένῳ καὶ ὁ δικαίως ἐωνημένος φανερὸς ᾖ τῷ τέλει· παρὰ δέ τισι προκηρύττειν κελεύουσι πρὸ τοῦ κατακυρωθῆναι πένθ' ἡμέρας συνεχῶς, εἴ τις ἐνίσταται ἢ ἀντιποιῆται τοῦ κτήματος ἢ τῆς οἰκίας· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν
2 *ὑποθέσεων ὥσπερ καὶ ἐν τοῖς Κυζικηνῶν. οἱ δὲ Θουριακοὶ τὰ μὲν τοιαῦτα πάντα ἀφαιροῦσιν οὐδ' ἐν ἀγορᾷ πράττουσι (προστάττουσι* libri) *ὥσπερ τἆλλα, διδόναι δὲ κελεύουσι κοινῇ τῶν γειτόνων τῶν ἐγγυτάτω τρισὶ νόμισμά τι βραχὺ μνήμης ἕνεκα καὶ μαρτυρίας. ἀναγκαῖον δῆλον ὅτι τοῖς μὲν τὰς ἀρχὰς ὑπευθύνους ποιεῖν τοῖς δὲ τοὺς γείτονας ἐὰν μὴ λάβωσι, ἢ δὶς παρὰ τοῦ αὐτοῦ λάβωσιν, ἢ ἔχοντες μὴ λέγωσι τῶν ἐωνημένων. οὐ χρὴ δ' ἀγνοεῖν ὅτι αἱ προγραφαὶ καὶ αἱ προκηρύξεις καὶ ὅλως ὅσα πρὸς τὰς ἀμφισβητήσεις ἐστὶ πάντη τὰ πλεῖστα δι' ἔλλειψιν ἑτέρου νόμου τίθεται. παρ' οἷς γὰρ ἀναγραφὴ τῶν κτημάτων ἐστὶ καὶ τῶν συμβολαίων, ἐξ ἐκείνων ἐστὶ μαθεῖν, εἰ ἐλεύθερα καὶ ἀνέπαφα καὶ τὰ αὑτοῦ πωλεῖ δικαίως· εὐθὺς γὰρ*
3 *καὶ μετεγγράφει ἡ ἀρχὴ τὸν ἐωνημένον. ἐπεὶ δὲ καὶ προστασίας τινὲς ὠνοῦνται καὶ πωλοῦσιν ἀπαλλοτριοῦν ἐθέλοντες ὀρθῶς ἔχει καὶ πρὸς ταῦτα νομοθετεῖν, ὅπερ καὶ ποιοῦσιν, ἅμα ταῦτά τε βουλόμενοι κωλύειν καὶ τὴν ἐμφανῆ ποιεῖν ὥσπερ ἐν τοῖς ἐνίων· κελεύουσι γὰρ ἐάν τις οἰκίαν πρίηται θύειν ἐπὶ τοῦ Ἀπόλλωνος*

Digitized by Google

τοῦ ἐπικωμαίου· ἐὰν δὲ χωρίον ἐπὶ τῆς κώμης ᾗ αὐ-
τὸς οἰκεῖ καὶ ὀμνύειν ἐναντίον τῆς ἀρχῆς ἐγγραφούσης
καὶ κωμητῶν τριῶν ἦ μὴν ὠνεῖσθαι δικαίως ὡς μηδὲν
συγκακουργοῦντα μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ,
τὸν αὐτὸν δὲ τρόπον καὶ τὸν πωλοῦντα πωλεῖν ἀδό-
λως. τὸν δὲ μὴ οἰκοῦντα ἐν ἄστει θύειν τὸν ὅρκον
ἐπὶ τοῦ Διὸς τοῦ ἀγοραίου, τὴν δὲ θυσίαν τῶν ἐλατ-
τόνων εἶναι θυλήμασιν, ἄνευ δὲ τούτων μὴ ἐγγρά-
φειν τὴν ἀρχήν· ἅμα καὶ ἐν τῷ ὅρκῳ προσορμίζειν
αὐτὴν ἐὰν μὴ ὀμνύωσι μηδὲ ἐγγράψειν τὴν ὠνήν. οὗτοι 4
μέντοι πρὸς ἀμφότερα μᾶλλον δὲ πρὸς πάντα βούλονται
πεφυλάχθαι καθάπερ ἴσως καὶ δεῖ· κυρία δὲ ἡ ὠνὴ
καὶ ἡ πρᾶσις εἰς μὲν κτῆσιν ὅταν ἡ τιμὴ δοθῇ καὶ τὰ
ἐκ τῶν νόμων ποιήσωσιν, οἷον ἀναγραφὴν ἢ ὅρκον ἢ
τοῖς γείτοσι τὸ γιγνόμενον, εἰς δὲ τὴν παράδοσιν καὶ
εἰς αὐτὸ τὸ πωλεῖν ὅταν ἀραβῶνα λάβῃ. σχεδὸν γὰρ
οὕτως οἱ πολλοὶ νομοθετοῦσιν· ἀλλὰ τοῦτο προσδιορι-
στέον ἐὰν μὴ παρὰ μεθύοντος μηδ' ἐξ ὀργῆς μηδὲ φι-
λονεικίας μηδὲ παρανομοῦντος ἀλλὰ φρονοῦντος καὶ
τὸ ὅλον δικαίως, ὅπερ κἀκεῖ προσθετέον ὅταν ἀφορίζῃ
παρ' ὧν δεῖ ὠνεῖσθαι. τάττουσι δέ τινες καὶ τὸν ἀρα-
βῶνα πόσον δεῖ διδόναι πρὸς τὸ πλῆθος τῆς τιμῆς με-
ρίζοντες· ἄτοπον γὰρ ἐὰν δακτύλιον δῷ τῶν δέκα τα-
λάντων. ἔοικε γὰρ ἐκ καιροῦ τὰ τοιαῦτα καὶ πάθους
γίγνεσθαι· δεῖ δ' ἐκ προαιρέσεως· οὕτω γὰρ ἔσται τὸ
δίκαιον. ἐὰν δὲ λαβὼν ἀραβῶνα μὴ δέχηται τὴν τι- 5
μὴν ἢ δοὺς μὴ καταβάλῃ ἐν τῷ ὡρισμένῳ χρόνῳ — δεῖ
γὰρ ὡρίσθαι καθάπερ ἐν τοῖς Θουρίων τὸν μὲν ἀρα-
βῶνα παραχρῆμα τὴν δὲ τιμὴν αὐθήμερον· οἱ δὲ καὶ
πλείους ἡμέρας τίθενται τῆς τιμῆς, οἱ δὲ ἁπλῶς ὅσας
ἂν ὁμολογήσωσι — τὸ δὲ ἐπιτίμιον ἑκατέρῳ, πότερον
τῷ μὲν στέρησις τοῦ ἀραβῶνος· οὕτω γὰρ σχεδὸν οἱ

Digitized by Google

τε ἄλλοι κελεύουσι καὶ οἱ Θουριακοί· τῷ δὲ μὴ δεχομένῳ ἔκτισις ὅσου ἂν ἀποδῶται· καὶ γὰρ τοῦτο ἐν τοῖς Θουρίων ἡ ἄνισος ζημία· πολλαπλασία γὰρ ἡ τιμὴ τοῦ ἀραβῶνος· ἔτι δὲ καὶ βλάπτοιτ' ἂν ὁ ἀποδόμενος ἀφεὶς ἑκατέρους ἐπειδή τις ἐφ' ἡμέραν μίαν ὁρίσειεν· οὕτω γὰρ μάλιστ' ἐνδέχεται. παρ' ἐνίοις δεδικάσθαι κελεύουσι τῷ μὴ δεχομένῳ τὴν τιμήν· πότερον δὲ ἕως ἂν κομίσηται κύριον εἶναι τοῦ κτήματος; οὕτω γὰρ οἱ πολλοὶ νομοθετοῦσιν· ἢ ὥσπερ Χαρώνδας καὶ Πλάτων; οὗτοι γὰρ παραχρῆμα κελεύουσι διδόναι καὶ λαμβάνειν· ἐὰν δέ τις πιστεύσῃ μὴ εἶναι δίκην· αὐτὸν γὰρ αἴτιον εἶναι τῆς ἀδικίας. (Stobae. Serm. 42. p. 280. 281.)

Fr. XCVIII.

Θ. ἐν τοῖς περὶ νόμων φησὶ δυοῖν τούτων ἐπιμελεῖσθαι δεῖν τοὺς ἀγορανόμους τῆς τε ἐν τῇ ἀγορᾷ εὐκοσμίας καὶ τοῦ ἀψευδεῖν μὴ μόνον τοὺς πιπράσκοντας ἀλλὰ καὶ τοὺς ὠνουμένους. (Suid. et Harpocrat. sub uu. κατὰ τὴν ἀγοράν.)

Fr. XCIX.

Ὡς Θ. ἱστόρηκε καὶ τῆς ἀργίας νόμον οὐ Σόλων ἔθηκε ἀλλὰ Πεισίστρατος, ᾧ τήν τε χώραν ἐνεργεστέραν καὶ τὴν πόλιν ἠρεμαιοτέραν ἐποίησεν. (Plutarch. Solo extr.)

Fr. C.

Θ. ἐν τῷ περὶ νόμων ὕβρεως καὶ ἀναιδείας παρὰ τοῖς Ἀθηναίοις εἶναι βωμούς φησι. (Zenob. Proverb. 4, 36.)

Fr. CI.

Ἐγίγνοντο δὲ καὶ εἰσαγγελίαι κατὰ τῶν κατα-

Digitized by Google

λυόντων τὸν δῆμον ῥητόρων ἢ μὴ τὰ ἄριστα τῷ δήμῳ λεγόντων ἢ πρὸς τοὺς πολεμίους ἄνευ τοῦ πεμφθῆναι ἀπελθόντων ἢ προδόντων φρούριον ἢ στρατιὰν ἢ ναῦς, ὡς Θ. ἐν τῷ περὶ νόμων. ὅτι δὲ ὁ εἰσαγγείλας καὶ οὐχ ἑλὼν ἀζήμιος ἦν Ὑπερείδης ἐν τῷ ὑπὲρ Λυκόφρονός φησι· καίτοιγε ὁ Θ. τοὺς μὲν ἄλλας γραφὰς γραψαμένους χιλίας τ' ὀφλισκάνειν εἰ τοῦ πέμπτου τῶν ψήφων μὴ καταλάβοιεν καὶ προσατιμοῦσθαι, τοὺς δὲ εἰσαγγέλλοντας μὴ ἀτιμοῦσθαι μὲν, ὀφλεῖν δὲ τὰς χιλίας. (Pollux Onomast. 8. 52. 53.)

Fr. CII.

Ὅτι δὲ καὶ τῶν ἄλλων ὧν ἔπραττον οἱ μέτοικοι ἄφεσιν εἶχον οἱ ἰσοτελεῖς Θ. εἴρηκεν ἐν ἑνδεκάτῃ τῶν νόμων· οὗτος δέ φησιν ὡς ἐνιαχοῦ καὶ πόλεσιν ὅλαις ἐψηφίζοντο τὴν ἀτέλειαν Ἀθηναῖοι ὥσπερ Ὀλυνθίοις τε καὶ Θηβαίοις. (Harpocrat. sub. σκαφηφόρος.)

Fr. CIII.

Συστομώτερον σκάφης τάσσεται ἐπὶ τῶν διὰ τὸ ἀγενὲς σιωπώντων. Θ. γὰρ ἐν τῷ περὶ νόμων εἰρῆσθαι ἀπὸ τοῦ τοὺς μετοίκους Ἀθήνησιν ἐν ταῖς δημοτελέσι πομπαῖς σκάφας φέροντας πομπεύειν καὶ ὁπότε δὲ ἐβούλοντο μέτοικον δηλῶσαι ἢ σκάφην ἔλεγον ἢ σκαφηφόρον· διὰ δὲ τὸ ἀπαρρησίαστον εἶναι συστομώτερον ποιήσειν ἀπειλεῖν σκάφης. (Photii Lexic. p. 558.

Fr. CIV.

Ὅτι οἱ ἁλόντες ἐπ' ἀκουσίῳ φόνῳ ἐξουσίαν εἶχον εἰς διοίκησιν τῶν ἰδίων... καὶ Θ. ἐν τῷ τρισκαιδεκάτῳ τῶν νόμων δηλοῖ. (Harpocr. s. v. ἰσοτελεῖς. Phot. Lex. p 355.)

Digitized by Google

Fr. CV.

Φαρμακῶν δ' ἐστὶν ὁ ὑπὸ φαρμάκων βεβλαμμένος, ὡς καὶ Θ. ἐν πέμπτῳ καὶ δεκάτῳ νόμων ὑποσημαίνει. (Herpocrat. s. u. *φαρμακῶν.* Phot. Lex. p. 640.)

Fr. CVI.

Ὀλίγων οἱ ἀγαθοὶ νόμων δέονται· οὐ γὰρ τὰ πράγματα πρὸς τοὺς νόμους ἀλλ' οἱ νόμοι πρὸς τὰ πράγματα τίθενται. (Stob. Serm. 27. p. 218.)

Fr. CVII.

Θ. ἐν τῷ Ἐρωτικῷ Χαιρήμονά φησι τὸν τραγικὸν λέγειν ὡς τὸν οἶνον τῶν χρωμένων (τοῖς τρόποις) κεράννυσθαι, οὕτως καὶ τὸν ἔρωτα, ὃς μετριάζων μέν ἐστιν εὔχαρις, ἐπιτεινόμενος δὲ καὶ διαταράττων χαλεπώτατος. (Athenae. 13 p. 562.)

Fr. CVIII.

Ἄμασιν τὸν Ἠλεῖον Θ. ἐν τῷ Ἐρωτικῷ περὶ τοὺς ἔρωτας δεινὸν γεγονέναι λέγει. (Athenae. 13 p. 567.)

Fr. CIX.

Ἐν Αἰγίῳ παιδὸς ἠράσθη χήν. τὸν δὲ παῖδα τοῦτον Θ. ἐν τῷ Ἐρωτικῷ Ἀμφίλοχον καλεῖσθαί φησι καὶ τὸ γένος Ὠλένιον εἶναι. (Athenae. 13 p. 606.)

Fr. CX.

Ἡσίοδος ἐν τρίτῳ Μελαμποδίας τὴν ἐν Εὐβοίᾳ Χαλκίδα καλλιγύναικα εἶπεν. εὐπρεπεῖς γὰρ αὐτόθι γυναῖκες, ὡς καὶ Θ. εἴρηκε. (Athenae. 13 p. 609.)

Fr. CXI.

Θ. ἀγῶνα κάλλους φησὶ γενέσθαι παρὰ Ἠλείοις καὶ

Digitized by Google

τὴν κρίσιν ἐπιτελεῖσθαι μετὰ σπουδῆς, λαμβάνειν τε τοὺς νικήσαντας ἆθλα ὅπλα ἅπερ ἀνατίθεσθαί φησι Διονύσιος ὁ Λευκτρικὸς τῇ Ἀθηνᾷ. (Athenae. 13 p. 609.)

Fr. CXII.

Ἐνιαχοῦ φησὶν ὁ αὐτὸς Θ. καὶ κρίσεις γυναικῶν περὶ σωφροσύνης γίνεσθαι καὶ οἰκονομίας ὥσπερ ἐν τοῖς βαρβάροις· ἑτέρωθι δὲ κάλλους ὡς δέον καὶ τοῦτο τιμᾶσθαι, καθάπερ καὶ παρὰ Τενεδίοις καὶ Λεσβίοις. (Athenae. 13 p. 610.)

Fr. CXIII.

Ἐκ Λεβῆνος ἦν Λεοκοκόμας τε καὶ ὁ ἐραστὴς αὐτοῦ Εὐξύνθετος [εὐξίθεος corr. Coraius], οὓς ἱστορεῖ Θ. ἐν τῷ περὶ ἔρωτος λόγῳ· εἶναι (δὲ τῶν) ἄθλων ὧν ὁ Λευκοκόμας τῷ Εὐξυνθέτῳ προσέταξεν ἕνα, φησί, τοῦτον, τὸν ἐν Πραίσῳ κύνα ἀναγαγεῖν αὐτῷ. ὅμοροι δ' εἰσὶν αὐτοῖς οἱ Πραίσιοι. (Strabo 10 pag. 478. Cas.)

Fr. CXIV.

Θ. ἐρωτηθεὶς τί ἐστιν ἔρως, πάθος, ἔφη, ψυχῆς σχολαζούσης. (Stob. Serm. 62 p. 400.)

Fr. CXV.

Ἔρως δέ ἐστιν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολὴ ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον βραδεῖαν δὲ τὴν ἀπόλυσιν. (Stob. Serm. 62 p. 400.)

Fr. CXVI.

Θ. ἐν τῷ περὶ μέθης ζωρότερον φησὶν εἶναι τὸ κεκραμένον παρατιθέμενος Ἐμπεδοκλέους τάδε· 'αἶψα δὲ θνητὰ φύοντο τὰ πρὶν μάθον ἀθάνατ' εἶναι, ζωρά

Digitized by Google

τε τὰ πρὶν ἄκρητα διαλλάσσοντα κελεύθους'. (Athenae. 10 p. 423.)

Fr. CXVII.

Παρὰ Λόκροις τοῖς Ἐπιζεφυρίοις εἴ τις ἄκρατον ἔπιε μὴ προστάξαντος ἰατροῦ θεραπείας ἕνεκα θάνατος ἦν ἡ ζημία Ζαλεύκου τὸν νόμον θέντος. παρὰ δὲ Μασσαλιώταις ἄλλος νόμος τὰς γυναῖκας ὑδροποτεῖν· ἐν δὲ Μιλήτῳ ἔτι καὶ νῦν φησί Θ. τοῦτ' εἶναι τὸ νόμιμον. (Athenae. 10 p. 429.)

Fr. CXVIII.

Ἦσαν δὲ αἱ τῶν ἀκροποτῶν ἐπιχύσεις, ὥς φησι Θ. ἐν τῷ περὶ μέθης, οὐ παλαιαί, ἀλλ' ἦν ἀπ' ἀρχῆς τὸ μὲν σπένδειν ἀποδεδόμενον τοῖς θεοῖς, ὁ δὲ κότταβος τοῖς ἐρωμένοις· ἐχρῶντο γὰρ ἐπιμελῶς τῷ κοτταβίζειν ὄντος τοῦ παιγνίου σικελικοῦ. (Athenae. 10 p. 427.)

Fr. CXIX.

Θ. γοῦν ἐν τῷ περὶ μέθης φησί. 'πυνθάνομαι δ' ἔγωγε καὶ Εὐριπίδην τὸν ποιητὴν οἰνοχοεῖν Ἀθήνησι τοῖς ὀρχησταῖς καλουμένοις· ὠρχοῦντο δ' οὗτοι περὶ τὸν τοῦ Ἀπόλλωνος νεὼν τοῦ Δηλίου τῶν πρωτ... τες Ἀθηναίων καὶ κατεδύοντο ἱμάτια τῶν Θηραϊκῶν. ὁ δὲ Ἀπόλλων οὗτός ἐστιν ᾧ τὰ θαργήλια ἄγουσιν. καὶ διασώζεται Φυλῆσιν ἐν τῷ Δαφνηφορείῳ γραφὴ περὶ τούτων.' (Athenae. 10 p. 424.)

Fr. CXX.

Ἐποιοῦντο δὲ καὶ οἱ ἑπτὰ καλούμενοι σοφοὶ συμποτικὰς ὁμιλίας· 'παραμυθεῖται γὰρ ὁ οἶνος καὶ τὴν τοῦ γήρως δυσθυμίαν' φησὶν ὁ Θ. ἐν τῷ περὶ μέθης. (Athenae. 11 p. 463.)

Digitized by Google

Fr. CXXI.

Θ. δ' ἐν τῷ περὶ μέθης φησὶν ὅτι τοῦ Διονύσου τροφοὶ αἱ νύμφαι κατ' ἀλήθειαν· αἱ γὰρ ἄμπελοι πλεῖστον ὑγρὸν χέουσι τεμνόμεναι καὶ κατὰ φύσιν δακρύουσιν. (Athenae. 11 p. 465.)

Fr. CXXII.

Θ. τὸ ῥυτὸν φησὶν ὀνομαζόμενον ποτήριον τοῖς ἥρωσι μόνοις ἀποδίδοσθαι. (Athenae. 11 p. 497.)

Fr. CXXIII.

Θ. δ' ἐν τῷ περὶ μέθης τὸν ἄκρατον φησὶν οἶνον τὸν ἐπὶ τῷ δείπνῳ διδόμενον, ὃν δὴ λέγουσιν ἀγαθοῦ δαίμονος εἶναι πρόποσιν, ὀλίγον τε προσφέρουσιν ὥσπερ ἀναμιμνήσκοντες μόνον τῇ γεύσει τὴν ἰσχὺν αὐτοῦ καὶ τὴν τοῦ θεοῦ δωρεάν· καὶ μετὰ τὴν πλήρωσιν διδόασιν ὅπως ἐλάχιστον ᾖ τὸ πινόμενον· καὶ τρίτον προσκυνήσαντες λαμβάνουσιν ἀπὸ τῆς τραπέζης καὶ ὥσπερ ἱκετείαν τινὰ ποιούμενοι τοῦ θεοῦ μηδὲν ἀσχημονεῖν μηδὲ ἔχειν ἰσχυρὰν ἐπιθυμίαν τοῦ πότου... καὶ λαμβάνειν ἐξ αὐτοῦ τὰ καλὰ καὶ χρήσιμα. (Athenae. 15 p. 693.)

Fr. CXXIV.

Τιρυνθίους φησὶ Θ. ἐν τῷ περὶ Κωμῳδίας φιλόγελως ὄντας ἀχρείους δὲ πρὸς τὰ σπουδαιότερα τῶν πραγμάτων καταφυγεῖν ἐπὶ τὸ ἐν Δελφοῖς μαντεῖον ἀπαλλαγῆναι βουλομένους τοῦ πάθους καὶ τὸν θεὸν ἀνελεῖν αὐτοῖς, ἢν θύοντες τῷ Ποσειδῶνι ταῦρον ἀγελαστὶ τοῦτον ἐμβάλωσι εἰς τὴν θάλατταν παύσεσθαι. οἱ δὲ δεδιότες μὴ διαμάρτωσι τοῦ λογίου τοὺς παῖδας ἐκώλυσαν παρεῖναι τῇ θυσίᾳ· μαθὼν οὖν εἷς καὶ συγ-

Digitized by Google

καταμιχθεὶς ἐπείπερ ἐβόων ἀπελαύνοντες αὐτόν, τί δῆτ', ἔφη, δεδοίκατε μὴ τὸ σφάγιον ὑμῶν ἀνατρέψω; γελασάντων δὲ ἔμαθον ἔργῳ τὸν θεὸν δείξαντα ὡς ἄρα τὸ πολυχρόνιον ἔθος ἀμήχανόν ἐστι θεραπευθῆναι. (Athenae. 6 p. 261.)

Fr. CXXV.

Θ. ἐν τῷ πρὸς Κάσανδρον περὶ βασιλείας — εἴ γνήσιον τὸ σύγγραμμα· πολλοὶ γὰρ αὐτό φασιν εἶναι Σωσιβίου — τοὺς Περσῶν φησὶ βασιλεῖς ὑπὸ τρυφῆς προκηρύττειν τοῖς ἐφευρίσκουσί τινα καινὴν ἡδονὴν ἀργυρίου πλῆθος. (Athenae. 4 p. 144.)

Fr. CXXVI.

Θ. ἐν τοῖς περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστοκλέα πέμψαντος εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστὰς καὶ σκηνήν τινα κατεσκευασμένην πολυτελῶς στήσαντος εἰπεῖν ἐν τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ τυράννου καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι. (Plut. Themist. c. 25.)

Fr. CXXVII.

Οἱ γὰρ αἰσύμνηται καλούμενοι παρ' Ἕλλησι τὸ ἀρχαῖον, ὡς ἐν τοῖς περὶ βασιλείας ἱστορεῖ Θ., αἱρετοί τινες ἦσαν τύραννοι. (Dionys H. antiq. Rom. p. 1022 ed. Reiske.)

Fr. CXXVIII.

Θ. ἐν τῷ περὶ καιρῶν β' λέγει οὕτως· „Ἕτεροι δ' εἰς ἀνδρωδέστερα καταδαπανῶντες οἷον στρατείας ἐξάγοντες καὶ πολέμους ἐπαναιρούμενοι καθάπερ καὶ Διονύσιος ὁ τύραννος· ἐκεῖνος γὰρ οὐ μόνον ᾤετο δεῖν τὰ τῶν ἄλλων καταναλίσκειν ἀλλὰ καὶ τὰ αὑτοῦ

Digitized by Google

πρὸς τὸ μὴ ὑπάρχειν ἐφόδιον (*ἐφόδια* Phot.) *τοῖς ἐπιβουλεύουσιν· ἐοίκασι δὲ καὶ αἱ πυραμίδες ἐν Αἰγύπτῳ καὶ ὁ τῶν Κυψελιδῶν κολοσσὸς καὶ πάντα τὰ τοιαῦτα τὴν αὐτὴν καὶ παραπλησίαν ἔχειν διάνοιαν.* (Suidas et Phot. Lex. sub u. *κυψελιδῶν ἀνάθημα.*)

Fr. CXXIX.

Θ. ἐν πρώτῳ τῶν πολιτικῶν τῶν πρὸς καιροὺς φησὶν οὕτως· πολλῷ γὰρ κάλλιον κατά γε τὴν τοῦ ὀνόματος θέσιν ὡς οἱ Λάκωνες ἁρμοστὰς φάσκοντες εἰς τὰς πόλεις πέμπειν, οὐκ ἐπισκόπους οὐδὲ φύλακας ὡς Ἀθηναῖοι. (Harpocr. in *ἐπίσκοπος.*)

Fr. CXXX.

Θ. ἐν τῷ περὶ γελοίου λεχθῆναι μέν φησι τὴν παροιμίαν ὑπὸ τοῦ Στρατονίκου ἀλλ' εἰς Σιμμύκαν τὸν ὑποκρίτην, διελόντος τὴν παροιμίαν, μέγας οὐδεὶς σαπρὸς ἰχθύς. (Athenae. 8 p. 348.)

Fr. CXXXI.

Ὀστρακισθῆναι πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θ. ἐν τοῖς πρώτοις καιροῖς. (Suid. s. *ἀρχὴ σκυρία.*)

Fr. CXXXII.

Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται· Αἰσχύλου· τὸ μὲν ἀπόφθεγμα Βίαντος, ὡς παροιμία δὲ λαμβάνεται ὡς μαρτυρεῖ Θ. ἐν τῷ περὶ παροιμιῶν. (Apostol. Adag. 6, 36.)

Fr. CXXXIII.

Δίνων ὁ Ταραντῖνος στρατηγῶν, ἀνὴρ δ' ὢν ἀγαθὸς ἐν τοῖς πολεμικοῖς, ἀποχειροτονησάντων αὐτοῦ τινὰ γνώμην τῶν πολιτῶν, ὡς ὁ κῆρυξ ἀνεῖπε τὴν

Digitized by Google

νικῶσαν, αὐτὸς ἀνατείνας τὴν δεξιὰν, ἅδε, εἶπε, κρείσσων. (Plutarch. Quae. gr. 301 c.)

Fr. CXXXIV.

Εἰ Θεοφράστῳ πιστεύομεν ἀνδρὶ φιληκόῳ καὶ ἱστορικῷ παρ' ὁντινοῦν τῶν φιλοσόφων, εὑρεῖν μὲν ἦν τὰ δέοντα καὶ νοῆσαι πάντων ἱκανώτατος ὁ Ἀλκιβιάδης, ζητῶν δὲ μὴ μόνον ἃ δεῖ λέγειν ἀλλὰ καὶ ὡς δεῖ τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν, οὐκ εὐπορῶν δὲ πολλάκις ἐσφάλλετο καὶ μεταξὺ λέγων ἀπεσιώπα καὶ διέλειπε, λέξεως διαφυγούσης αὐτὸν ἀναλαμβάνων καὶ διασκοπούμενος. (Plutarch. Alcib. c. 10.)

Fr. CXXXV.

Εὐδοκίμησεν Ἐτεοκλῆς ὁ Λακεδαιμόνιος εἰπὼν ὡς οὐκ ἂν Ἑλλὰς δύο Λυσάνδρους ἤνεγκε. τὸ δ' αὐτὸ τοῦτο καὶ περὶ Ἀλκιβιάδου φησὶ Θ. εἰπεῖν Ἀρχέστρατον. (Plut. Lysand. c. 19.)

Fr. CXXXVI.

Θ. φησιν Ἀριστείδην περὶ τὰ οἰκεῖα καὶ τοὺς πολίτας ἄκρως ὄντα δίκαιον ἐν τοῖς κοινοῖς πολλὰ πρᾶξαι πρὸς τὴν ὑπόθεσιν τῆς πατρίδος ὡς συχνῆς ἀδικίας δεομένην. καὶ γὰρ τὰ χρήματά φησιν ἐκ Δήλου βουλευομένῳ Ἀθήναζε κομίσαι παρὰ τὰς συνθήκας καὶ Σαμίων εἰσηγουμένων εἰπεῖν ἐκεῖνον ὡς οὐ δίκαιον μὲν συμφέρον δὲ τοῦτ' ἐστί. καὶ τέλος εἰς τὸ ἄρχειν ἀνθρώπων πάντων καταστήσας τὴν πόλιν αὐτὸς ἐνέμεινε τῇ πενίᾳ καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι δόξαν οὐδὲν ἧττον ἀγαπῶν τῆς ἀπὸ τῶν τροπαίων διετέλεσε. (Plut. Aristid. c. 25.)

Fr. CXXXVII.

Λύσανδρος καλέσας Φιλοκλέα τὸν στρατηγὸν ἠρώ-

Digitized by Google

τησεν αὐτὸν τίνα τιμᾶται ἑαυτῷ δίκην τοιαῦτα περὶ Ἑλλήνων συμβεβουλευκὼς τοῖς πολίταις· ὁ δὲ οὐδέν τι πρὸς τὴν συμφορὰν ἐνδοὺς ἐκέλευσε μὴ κατηγορεῖν ὧν οὐδείς ἐστι δικαστὴς ἀλλὰ νικῶντα πράττειν ἅπερ ἂν νικηθεὶς ἔπασχεν· εἶτα λουσάμενος καὶ λαβὼν χλαμύδα λαμπρὰν πρῶτος ἐπὶ τὴν σφαγὴν ἡγεῖτο τοῖς πολίταις, ὡς ἱστορεῖ Θεόφραστος. (Plut. Lysand. c. 13.)

Fr. CXXXVIII.

Γενομένων δὲ συνθηκῶν ὅπως τὰ χωρία καὶ τὰς πόλεις ἃς εἶχον ἀλλήλων καὶ τοὺς αἰχμαλώτους ἀποδιδῶσι πρότερον ἀποδιδόντων τῶν κλήρῳ λαχόντων ὠνήσατο τόν κλῆρον ὁ Νικίας κρύφα χρήμασιν ὥστε προτέρους ἀποδιδόναι τοὺς Λακεδαιμονίους. καὶ τοῦτο ἱστορεῖ Θεόφραστος. (Plut. Nicias. c. 10.)

Fr. CXXXIX.

Οὐκ ἀγνοῶ ὅτι Θ. ἐξοστρακισθῆναί φησι τὸν Ὑπέρβολον Φαίακος, οὐ Νικίου, πρὸς Ἀλκιβιάδην ἐρίσαντος, ἀλλ' οἱ πλείους οὕτω γεγράφασιν. (Plut. Nic. c. 11.)

Fr. CXL.

Στρατηγοῦ, ὡς ἔφη Θ., δεῖ θάνατον ἀποθνήκειν τὸν στρατηγὸν οὐ πελταστοῦ τοῦ τυχόντος. (Plut. Sertor. c. 13.)

Fr. CXLI.

Ὡς Θ. ἱστορεῖ, τὸν Ἀρχίδαμον ἐζημίωσαν οἱ ἔφοροι γήμαντα γυναῖκα μικράν· οὐ γὰρ βασιλεῖς, ἔφασαν, ἅμμιν ἀλλὰ βασιλείδια γεννάσει. (Plut. Agesil. c. 2.)

Fr. CXLII.

Ξενίων προσκομισθέντων καὶ προσαχθέντων

Digitized by Google

ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο (Agesilaus). *καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζοντας· τῇ μέντοι στεφανωτρίδι βίβλῳ φησὶν αὐτὸν ἡσθέντα Θ. διὰ τὴν λιτότητα τῶν στεφάνων αἰτήσασθαι καὶ λαβεῖν ὅτε ἀπέπλει παρὰ τοῦ βασιλέως* (Aegypti). (Plut. Agesil. c. 36.)

Fr. CXLIII.

Νέῳ ἔτι ὄντι καὶ φιλοτίμῳ δοτέον ἀπὸ τῶν καλῶν ἔργων καὶ δόξῃ τι καλλωπίζεσθαι καὶ κομπάσαι· φυόμεναι γὰρ ἐν τοῖς τηλικούτοις αἱ ἀρεταὶ καὶ βλαστάνουσαι τό τε κατορθούμενον, ὥς φησι Θ., ἐπιβεβαιοῦνται τοῖς ἐπαίνοις καὶ τὸ λοιπὸν αὔξονται μετὰ φρονήματος ἐπαιρόμεναι. (Plut. Agis. c. 2.)

Fr. CXLIV.

Ἀρίστων ὁ Χῖος καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων· ἐρωτηθέντα γὰρ ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν, ἄξιος τῆς πόλεως· ὁποῖος δὲ Δημάδης, ὑπὲρ τὴν πόλιν. (Plut. Demosth. c. 10.)

Fr. CXLV.

Ὅτε καί φησι Θ., ἀξιούντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφορὰς, εἰπεῖν Κρωβύλον τὸν δημαγωγὸν ὡς οὐ τεταγμένα σιτεῖται πόλεμος. (Plut. Demosth. c. 18.)

Fr. CXLVI.

Ὁ Θ. ἐν τοῖς ἠθικοῖς διαπορήσας, εἰ πρὸς τὰς τύχας τρέπεται τὰ ἤθη καὶ κινούμενα τοῖς παθέσι τῶν σωμάτων ἐξίσταται τῆς ἀρετῆς, ἱστόρηκεν ὅτι νοσῶν ὁ Περικλῆς ἐπισκοπουμένῳ τινὶ τῶν φίλων δείξειε πε-

Digitized by Google

ρίαπτον ὑπὸ τῶν γυναικῶν τῷ τραχήλῳ περιηρτημένον, ὡς σφόδρα κακῶς ἔχων ὁπότε καὶ ταύτην ὑπομένοι τὴν ἀβελτηρίαν. (Plut. Pericl. c. 38.)

Fr. CXLVII.

Εὐλαβοῦντο γὰρ μὴ γύνις εἴη (Alexander), *ἐπεὶ οὐκ εὖ διέκειτο πρὸς τὰ ἀφροδίσια, ὡς ἱστορεῖ Θ.* (Eustath. p. 1680, 48. cf. Athenae. 10, 435.)

Fr. CXLVIII.

Ἀλλὰ καὶ τῶν καθ' ἡμᾶς γεγονὼς αὐτὸς ἐκεῖνος ὁ ταῖς καθ' ἡμῶν λαμπρυνόμενος δυσφημίαις ἐν οἷς ἐπέγραψε περὶ τῆς τῶν ἐμψύχων ἀποχῆς καὶ τῶν παλαιῶν ἀρχαιότητος, τὴν μνήμην ὧδέ πως αὐτολεξεὶ Θεοφράστῳ μάρτυρι χρώμενος παρατίθεται· 'ἀνάριθμος μέν τις ἔοικε χρόνος ἀφ' οὗ τό γε πάντων λογιώτατον γένος, ὥς φησι Θεόφραστος, καὶ τὴν ἱερωτάτην ὑπὸ τοῦ Νείλου κτισθεῖσαν χώραν κατοικοῦν, ἤρξαντο οἱ πρῶτοι ἐφ' ἑστίαις τοῖς οὐρανίοις θεοῖς θύειν οὐ σμύρνης οὐδὲ κασίας καὶ λιβανωτοῦ κρόκῳ μιχθέντων ἀπαρχάς.' (Euseb. Praepar. Evang. ed Colon. 1688. p. 28.)

Fr. CXLIX.

Ὁ δὲ τὸν Θεόφραστον μαρτυρόμενος θεοῖς μὲν οὔ φησιν ἁρμόζειν τὴν διὰ ζώων θυσίαν, δαιμόσι δὲ μόνοις· ὥστε κατὰ τὸν αὐτοῦ καὶ Θεοφράστου λόγον δαίμονα εἶναι ἀλλ' οὐ θεὸν τὸν Ἀπόλλωνα. (Euseb. l. l. p. 148.)

Fr. CL.

Ὧν δὴ τοῦτον ἐχόντων τὸν τρόπον εἰκότως ὁ Θ. ἀπαγορεύει μὴ θύειν τὰ ἔμψυχα τοὺς τῷ ὄντι εὐσεβεῖν ἐθέλοντας (verba Apollonii Tyan.) (Euseb. l. l. p. 151.)

Digitized by Google

Fr. CLI.

Καὶ δὴ λαβὼν ἀνάγνωθι τὰ Θεοφράστου ἐν τοῖς Πορφυρίῳ γραφεῖσι περὶ τῆς τῶν ἐμψύχων ἀποχῆς κείμενα τοῦτον τὸν τρόπον· καίτοι διότι Σύρων μὲν Ἰουδαῖοι διὰ τὴν ἐξ ἀρχῆς θυσίαν ἔτι καὶ νῦν, φησὶν ὁ Θ., ζωοθυτοῦσιν, εἰ τὸν αὐτὸν ἡμᾶς τρόπον τις κελεύοι θύειν, ἀποσταίημεν ἂν τῆς πράξεως. (Euseb. l. l. p. 403.)

Fr. CLII.

Χρὴ τοίνυν τὸν μέλλοντα θαυμασθήσεσθαι περὶ τὸ θεῖον φιλοθύτην εἶναι, μὴ τῷ πολλὰ θύειν ἀλλὰ τῷ πυκνὰ τιμᾶν τὸ θεῖον· τὸ μὲν γὰρ εὐπορίας τὸ δ' ὁσιότητος σημεῖον. ἔπειτα γονεῖς γηροτροφεῖν καλῶς, ταῖς τ' ἐκείνων βουλήσεσι τὸν αὐτῶν βίον εὐπειθῆ κατασκευάζειν. ὁ γὰρ μὴ τοιοῦτος ἀλλὰ τῶν τε τῆς φύσεως τῶν τε τῆς πόλεως νόμων ὀλιγωρῶν ἀμφοτέρους τοὺς τῆς δικαιοσύνης τρόπους παραβέβηκεν. καὶ μὴν καὶ γυναικὸς καὶ παίδων ἐπιμελητέον καλῶς καὶ φιλανθρώπως. οἱ μὲν γὰρ εἰς τὸ γῆρας ἀμείβονται ταῖς θεραπείαις ἡ δ' ἐν ταῖς νόσοις καὶ ταῖς καθ' ἡμέραν οἰκονομίαις ἀποδώσει τὴν εὐεργεσίαν. ἐὰν δέ τινι συμβάλλειν ἀνάγκη ᾖ μετὰ τοῦ βεβαίου πειρῶ τοῦτο πράττειν. φρονιμωτάτου γὰρ ἀνδρὸς δανείσαντα φρονίμως ἀπολαβεῖν φιλικῶς οὐ συναλλάξαντα φιλανθρώπως κομίσασθαι φιλαπεχθημόνως. (Stobaei Serm. 3. p. 40 ed. Basil. 1549.)

Fr. CLIII.

Ἐκ διαβολῆς καὶ φθόνου ψεῦδος ἐπ' ὀλίγον ἰσχύσαν ἀπεμαράνθη. (Stob. Serm. 12 p. 138.)

Digitized by Google

Fr. CLIV.

Οὐ μὴν οὐδὲ μετ' ὀργῆς πρακτέον τοῖς φρονίμοις οὐδέν· ἀλόγιστος γὰρ θυμὸς καὶ μετὰ προνοίας οὐδὲν ἄν ποτε ποιήσειεν ἀλλὰ μεθύων ταῖς φιλονεικίαις ὡς ἔτυχε χρῆται ταῖς ὁρμαῖς· ὥστε δεῖ μήτε ἐξ ὑπογυίου τῶν ἁμαρτημάτων τὰς τιμωρίας μήτε παρὰ τῶν οἰκετῶν μήτε παρὰ τῶν ἄλλων λαμβάνειν ἵνα τὸ τῷ λογισμῷ κράτιστον μὴ τὸ τῷ θυμῷ φίλον ἀεὶ πράττῃς· καὶ δίκην παρὰ τῶν ἐχθρῶν (μὴ) λαμβάνῃς ἐξ ἧς μέλλεις σαυτὸν μὴ αὐτοὺς ἐκείνους βλάψειν. τὸ γὰρ τιμωρεῖσθαί τινα κακῶς ἑαυτὸν ποιοῦντα δίκην διδόναι οὐχ ἧττον ἢ λαμβάνειν ἐστίν. ὥστε δεῖ σχολῇ μᾶλλον ἀμύνεσθαι ζητεῖν ἢ ταχέως (καὶ) ἀλυσιτελῶς ἑαυτῷ κολάσαι τὸν ἐχθρόν. (Stob. Serm. 19. p. 166.)

Fr. CLV.

Αἰδοῦ σαυτὸν καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ. (Stob. Serm. 31 p. 210.)

Fr. CLVI.

Τοσοῦτον δέ εἰσιν οἱ φθονεροὶ δυστυχέστεροι τῶν ἄλλων ὅσον οἱ μὲν ἐπὶ ταῖς αὐτῶν συμφοραῖς ἀλγοῦσιν οἱ δὲ φθονοῦντες πρὸς τοῖς ἑαυτῶν κακοῖς καὶ ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς λυπούμενοι διατελοῦσιν. (Stob. Serm. 38 p. 222.)

Fr. CLVII.

Οὔτε ὁρᾶν οὔτε ὁρᾶσθαι γυναῖκα καὶ ταῦτα ἐξησκημένην πρὸς κάλλος· ἐπίσταται γὰρ ἀμφότερα πρὸς ἃ μὴ δεῖ. (Stob. Serm. 72 p. 439.)

Fr. CLVIII.

Οὐ χρὴ δὲ τὴν γυναῖκα δεινὴν ἐν τοῖς πολιτικοῖς ἀλλ' ἐν τοῖς οἰκονομικοῖς εἶναι. (Stob. Serm. 83 p. 481.)

Digitized by Google

Fr. CLIX.

Θ. δέ φησιν ἐν τῷ περὶ ὑδάτων· τὸ Νείλου ὕδωρ πολυγονώτατον καὶ γλυκύτατον· διὸ καὶ λύειν τὰς κοιλίας τῶν πινόντων μίξιν ἔχον λιτρώδη. … καὶ τῶν γλυκέων δὲ, φησίν, ὑδάτων ἔνια ἄγονα ἢ οὐ πολύγονα, ὡς τὸ ἐν Φέτᾳ καὶ τὸ ἐν Πύρρᾳ. αὐχμῶν δέ ποτε γενομένων περὶ τὸν Νεῖλον ἐρρύη τὸ ὕδωρ ἰῶδες καὶ πολλοὶ τῶν Αἰγυπτίων ἀπώλοντο. μεταβάλλειν τέ φησιν οὐ μόνον τὰ πικρὰ τῶν ὑδάτων ἀλλὰ καὶ τὸ ἁλυκόν καὶ ὅλους ποταμοὺς καθὰ τὸν ἐν Κιθαιρῶνι, παρ' ᾧ Ζηνὸς, καὶ τὸν ἐν Καρίᾳ παρ' ᾧ Ποσειδῶνος ἱερόν ἐστιν· αἴτιον δὲ τὸ πολλοὺς κεραυνοὺς πίπτειν περὶ τὸν τόπον. ἄλλα δὲ τῶν ὑδάτων καὶ σωματώδη εἰσὶ καὶ ἔχει ὥσπερ τι βάρος ἐν ἑαυτοῖς, ὡς τὸ ἐν Τροιζῆνι· τοῦτο γὰρ καὶ τῶν γευομένων εὐθὺς ποιεῖ πλῆρες τὸ στόμα. τὰ δὲ πρὸς τοῖς περὶ Πάγγαιον μετάλλοις τοῦ μὲν χειμῶνος τὴν κοτύλην ἄγουσαν ἔχει ἐννενήκοντα ἓξ, θέρους δὲ τεσσαράκοντα ἕξ. συστέλλει δὲ αὐτὸ καὶ πυκνοῖ μᾶλλον τὸ ψύχος, διὸ καὶ ἐν τοῖς γνώμοσι ῥέον οὐκ ἀναδίδωσι τὰς ὥρας ἐν τῷ χειμῶνι ἀλλὰ περιττεύει βραδυτέρας οὔσης τῆς ἐκροῆς διὰ τὸ πάχος. καὶ ταὐτὰ περὶ Αἴγυπτόν φησιν ὅταν μαλακώτερος ὁ ἀήρ. τὸ δὲ ἁλυκὸν ὕδωρ γεωδέστερόν ἐστι καὶ πλείονος δεῖται κατεργασίας, ὡς καὶ τὸ θαλάσσιον θερμοτέραν ἔχον τὴν φύσιν καὶ μὴ ὅμοιον πάσχον. μόνον δ' ἀτέραμνον τῶν ἁλυκῶν τὸ τῆς Ἀρεθούσης. χείρω δ' ἐστὶ τὰ βαρυσταθμότερα καὶ τὰ σκληρότερα καὶ τὰ ψυχρότερα διὰ τὰς αὐτὰς αἰτίας· δυσκατεργαστότερα γάρ ἐστι, τὰ μὲν τῷ πολὺ τὸ γεῶδες ἔχειν τὰ δὲ ψυχρότητος ὑπερβολῇ. τὰ δὲ ταχὺ θερμαινόμενα κοῦφα καὶ ὑγιεινά. ἐν Κρανῶνι δ' ἐστὶν ὕδωρ ἡσυχῇ θερμὸν ὃ θερμαῖνον διατηρεῖ κρα-

Digitized by Google

θέντα τὸν οἶνον ἐπὶ δύο καὶ τρεῖς ἡμέρας. τὰ δ' ἐπίρρυτα καὶ ἐξ ὀχετοῦ ὡς ἐπίπαν βελτίω τῶν στασίμων, κοπτόμενά τε μαλακώτερα γίνονται. διὰ τοῦτο καὶ τὰ ἀπὸ τῆς χιόνος δοκεῖ χρηστὰ εἶναι. καὶ γὰρ ἀνάγεται τὸ ποτιμώτερον. καὶ τοῦτο κεκομμένον ἐστὶ τῷ ἀέρι. διὸ καὶ τῶν ὀμβρίων βελτίω, καὶ τὰ ἐκ κρυστάλλου δὲ διὰ τὸ κουφότερα εἶναι· σημεῖον δὲ ὅτι καὶ ὁ κρύσταλλος αὐτὸς κουφότερος τοῦ ἄλλου ὕδατος. τὰ δὲ ψυχρὰ σκληρὰ διότι γεωδέστερα. τὸ δὲ σωματῶδες καὶ θερμανθὲν θερμότερον καὶ ψυχθὲν ψυχρότερόν ἐστιν. κατὰ τὴν αὐτὴν δ' αἰτίαν καὶ τὰ ἐν τοῖς ὄρεσι ποτιμώτερα τῶν ἐν τοῖς πεδίοις· ἧττον γὰρ μέμικται τῷ γεώδει. ποιεῖ δὲ τὸ γεῶδες καὶ τὰς ἐπιχροὰς τῶν ὑδάτων. τὸ γοῦν τῆς ἐν Βαβυλῶνι λίμνης ἐρυθρὸν γίνεται ἐπί τινας ἡμέρας. τὸ δὲ τοῦ Βορυσθένους κατά τινας χρόνους ἰοβαφὲς, καίπερ ὄντος καθ' ὑπερβολὴν λεπτοῦ· σημεῖον δέ· τοῦ Ὑπάνιος ἐπάνω γίνεται διὰ κουφότητα τοῖς βορείοις. πολλαχοῦ δ' εἰσὶ κρῆναι αἱ μὲν ποτιμώτεραι καὶ οἰνωδέστεραι, ὡς ἡ περὶ Παφλαγονίαν πρὸς ἣν φησι τοὺς ἐγχωρίους ὑποπίνειν προσιόντας. ἁλμώδεις δ' ἅμα τῷ ὄξει ἐν Σικανοῖς τῆς Σικελίας· ἐν τῇ Καρχηδονίων δὲ ἐπικρατείᾳ κρήνη ἐστὶν ᾗ τὸ ἐφιστάμενον ἐλαίῳ ἐστὶν ὅμοιον, μελάντερον τὴν χρόαν, ὃ ἀποσφαιροῦντες χρῶνται πρὸς τὰ πρόβατα καὶ τὰ κτήνη. καὶ παρ' ἄλλοις δ' εἰσὶ λίπος ἔχουσαι τοιοῦτον, ὡς ἡ ἐν Ἀσίᾳ ὑπὲρ ἧς Ἀλέξανδρος ἐπέστειλεν ὡς ἐλαίου κρήνην εὑρηκώς. καὶ τῶν θερμῶν δ' ἐκ φύσεως ὑδάτων ἔνια γλυκέα ἐστὶν, ὡς τὰ ἐν Αἰγαῖς τῆς Κιλικίας καὶ περὶ Παγασὰς, τά τ' ἐν τῇ Τρωικῇ Λαρίσσῃ καὶ περὶ Μαγνησίαν καὶ ἐν Μήλῳ καὶ ἐν Λιπάρᾳ. ἐν δὲ Προύσῃ τῇ πρὸς τὸν Μύσων Ὄλυμπον τὰ βασιλικὰ καλούμενα.

Digitized by Google

τὰ δ' ἐν Ἀσίᾳ περὶ Τράλλεις καὶ τὸν Χαρακωμήτην ποταμὸν, ἔτι δὲ Νύσσαν πόλιν οὕτως ἐστὶ λιπαρὰ ὡς μὴ δεῖσθαι τοὺς ἐναπολουομένους ἐλαίου. τοιαῦτα καὶ τὰ ἐν Δασκύλου κώμῃ· τὰ δ' ἐν Καρούροις κατάξηρα καὶ σφόδρα θερμά· τὰ δὲ περὶ Μηνὸς κώμην, ἥ ἐστι Φρυγίας, τραχύτερά ἐστι καὶ λιτρωδέστερα, ὡς καὶ τὸ ἐν τῇ καλουμένῃ Λέοντος κώμῃ τῆς Φρυγίας· τὰ δὲ περὶ Δορύλαιον καὶ πινόμενά ἐστι ἥδιστα· τὰ γὰρ περὶ Βαΐας ἢ Βαΐου λιμένα τῆς Ἰταλίας παντελῶς ἄποτα. (Athenae. 2 p. 41.)

Fr. CLX.

Περὶ δὲ τῶν ὑδάτων Θεόφραστόν φησι τὸ καλούμενον Στυγὸς ὕδωρ λέγειν, ὅτι ἐστὶν ἐν Φενεῷ, στάζει δ' ἔκ τινος πετριδίου, τοὺς δὲ βουλομένους αὐτοῦ ὑδρεύεσθαι σπόγγοις πρὸς ξύλοις δεδεμένοις λαμβάνειν· διακόπτειν δὲ πάντα τὰ ἀγγεῖα πλὴν τῶν κερατίνων· τὸν δ' ἀπογευσάμενον τελευτᾶν. (Antigon. Caryst. sect. 174.)

Fr. CLXI.

Ἐν δὲ Θράκῃ περὶ τὸ Πάγγαιον ἱστορεῖ Θ. εἶναι κρήνην ἐφ' ἧς ταὐτὸ γέμον ὕδατος σταθμώμενον χειμῶνος ἕλκειν διπλάσιον σταθμὸν ἢ θέρους. (Plut Qu. nat. p. 914.)

Fr. CLXII.

Τὸ ὕδωρ ὁ Κρᾶθις λευκῆς χρόας ποιητικὸν μεθίησι ποταμὸς ὤν· τὰ γοῦν πρόβατα πιόντα αὐτοῦ καὶ οἱ βόες καὶ πᾶσα ἡ τετράπους ἀγέλη, καθά φησι Θ., λευκὰ ἐκ μελάνων ἐγένετο ἢ πυρρῶν. (Aelian Hist. anim. 12 c. 36.)

Digitized by Google

Fr. CLXIII.

Διὰ τί χειμῶνος μᾶλλον ἢ θέρους τὰ τῶν ἁλιέων σήπεται δίκτυα; καίτοι τά γε ἄλλα μᾶλλον τῷ θέρει τοῦτο πάσχει. πότερον, ὡς Θ. οἴεται, τῷ ψυχρῷ τὸ θερμὸν ὑποχωροῦν ἀντιπεριίσταται καὶ θερμότερα ποιεῖ τὰ ἐν βάθει τῆς θαλάσσης ὥσπερ τῆς γῆς· διὸ καὶ τὰ πηγαῖα τῶν ὑδάτων χλιαρώτερα τοῦ χειμῶνός εἰσι καὶ μᾶλλον ἀτμίζουσι αἱ λίμναι καὶ οἱ ποταμοί· κατακλείεται γὰρ εἰς βάθος ἡ θερμότης ὑπὸ τοῦ ψυχροῦ κρατήσαντος. (Plut. Quae. nat. p. 915.)

Fr. CLXIV.

Θ. τὴν περὶ τὰς Αἰόλου νήσους ἀναζεῖν οὕτως ἐπὶ δύο πλέθρων τὸ μῆκος ὥστε μὴ δυνατὸν εἶναι διὰ τὴν θερμασίαν ἐμβαίνειν εἰς αὐτήν. (Antig. Caryst. sect. 145.)

Fr. CLXV.

Θ. ἐν τοῖς Ἱστορικοῖς ὑπομνήμασι τὸν ἀπὸ τῶν Αἰόλου νήσων φησὶ βρόμον τοῦ πυρὸς καίεσθαι μέχρις ἑνὸς σταδίου καὶ περὶ τὸ Ταυρομένιον ἀκούεσθαι ψόφον βροντῇ παραπλήσιον. (Schol. ad. Apollon. Rhod. Arg. 4 v. 834. Fol. 234 ed. Frcft.)

Fr. CLXVI.

Ἐν δὲ τῷ περὶ Πνιγμοῦ γράφει· ἡ δὲ τούτων ἀνάκτησις ὄξους ἐγχύσει καὶ πεπερίδος ἢ κνίδης καρπῷ τριφθείσης. (Athenae. 2 p. 66.)

Fr. CLXVII.

Λέγει δὲ περὶ αὐτῶν Θ. τὸ ὕδνον καὶ ὃ καλοῦσί τινες γεράνειον καὶ εἴ τι ἄλλο ὑπόγειον· καὶ πάλιν· ἡ τῶν ἐγγεοτόκων τούτων γένεσις οἷον τοῦ τε ὕδνου

Digitized by Google

καὶ τοῦ φυομένου περὶ Κυρήνην ὃ καλοῦσι μίσυ· δοκεῖ δὲ ἡδὺ σφόδρα τοῦτ' εἶναι καὶ τὴν ὀσμὴν ἔχειν κρεώδη. καὶ τὸ ἐν τῇ Θρᾴκῃ δὲ γενόμενον ἴτον. περὶ δὲ τούτων ἴδιόν τι λέγεται· φασὶ γὰρ ὅταν ὕδατα μετοπωρινὰ καὶ βρονταὶ γίνωνται σκληραὶ τότε γίνεσθαι· καὶ μᾶλλον ὅταν αἱ βρονταί, ὡς ταύτης αἰτιωτέρας οὔσης. οὐ διετίζειν δὲ ἀλλ' ἐπέτειον εἶναι· τὴν δὲ χρείαν καὶ τὴν ἀκμὴν ἔχει τοῦ ἦρος. οὐ μὴν ἀλλ' ἔνιοί γ' ὡς σπερματικῆς οὔσης τῆς ἀρχῆς ὑπολαμβάνουσιν· ἐν γοῦν τῷ αἰγιαλῷ τῶν Μιτυληναίων οὔ φασι πρότερον εἶναι πρὶν ἢ γενομένης ἐπομβρίας τὸ σπέρμα κατενεχθῇ ἀπὸ Τιαρῶν· τοῦτο δ' ἐστὶ χωρίον ἐν ᾧ πολλὰ γίνεται. γίνεται δὲ ἔν τε τοῖς αἰγιαλοῖς μάλιστα καὶ ὅπου χώρα ὕπαμμος· καὶ γὰρ αἱ Τιάραι τοιαῦται· φύεται δὲ καὶ περὶ Λάμψακον ἐν τῇ Ἀβαρνίδι, καὶ ἐν Ἀλωπεκοννήσῳ κἀν τῇ Ἠλείων. (Athenae. 2 p. 62.)

Fr. CLXVIII.

Θ. δὲ ἐν τῷ περὶ φυτῶν ἱστορίας γράφει· ὑπόγεια δὲ τὰ τοιαῦτά ἐστι καὶ ἐπίγεια, καθάπερ οὓς καλοῦσί τινες πέζιας ἅμα τοῖς μύκησι γινομένους· ἄρριζοι γὰρ καὶ αὐτοὶ τυγχάνουσιν· ὁ δὲ μύκης ἔχει προσφύσεως ἀρχὴν τὸν καυλὸν εἰς μῆκος καὶ ἀποτείνουσιν ἀπ' αὐτοῦ ῥιψί. φησὶ δὲ καὶ ὅτι ἐν τῇ περὶ τὰς Ἡρακλέους στήλας θαλάσσῃ ὅταν πλείω ὕδατα γένηται, μύκητες φύονται πρὸς τῇ θαλάσσῃ οὓς καὶ ἀπολιθοῦσθαι ὑπὸ τοῦ ἡλίου φησί. (Athenae. 2 p. 61.)

Fr. CLXIX.

Φυτοῦ ἑτέρου κλάδος ἐπιφύεται πρέμνῳ προσήκων οἱ μηδὲ ἓν πολλάκις· τὸ δὲ αἴτιον Θ. λέγει φυσικώτατα ἀνιχνεύσας, ὅτι τὰ ὀρνύφια τὴν ἄνθην τῶν δένδρων

Digitized by Google

σιτούμενα εἶτα ἐπὶ τοῖς φυτοῖς καθήμενα τὰ περιττὰ ἀποκρίνει· οὐκοῦν τὸ σπέρμα ἐν ταῖς κοιλάσι καὶ ταῖς ὀπαῖς αὐτῶν καὶ ταῖς σαραγγώδεσιν ἐμπῖπτον καὶ ἐπαρδόμενον τοῖς ὄμβροις τοῖς ἐξ οὐρανοῦ εἶτα ἀναφύει ἐκεῖνο ἐξ ὧν ἐβλάστησεν, ἀναπείθει· οὕτω τοι καὶ ἐν ἐλαίᾳ συκῆν κατανοήσεις καὶ ἐν ἄλλῳ ἄλλο. (Aelian Hist. anim. 9 c. 27.)

Fr. CLXX.

Θ. δὲ ἐν τῇ περὶ τῶν φυτῶν πραγματείᾳ τὴν θαψίαν ῥίζαν ᾗ οἱ ἰατροὶ χρῶνται, ἐάν τις σὺν κρέασιν ἑψήσῃ, τὰ πολλὰ ἓν γίγνεσθαι ὥστε ἐκ τοῦ ἀγγείου μηκέτι δύνασθαι ἐξαιρεθῆναι. (Apollon. Hist. mirab. sect. 16.)

Fr. CLXXI. *ΠΕΡΙ ΙΧΘΥΩΝ ΤΩΝ ΕΝ ΤΩΙ ΞΗΡΩΙ ΔΙΑΜΕΝΟΝΤΩΝ.*

Τῆς τῶν ἰχθύων ἐν τῷ ξηρῷ διαμονῆς... δοκεῖ γὰρ οἷον παρὰ φύσιν τῷ ἀέρι καταψύχεσθαι τὰ μὴ δεχόμενα τὸν ἀέρα (καὶ) μᾶλλον ὅσα δέχεται τὸ ὑγρὸν καὶ διὰ τοῦτο σώζεται. θαυμασιώτατον δὲ, εἴπερ ἀληθὲς, τὸ τοῦ ἐξωκοίτου καλουμένου· τοῦτον γάρ φασιν ὁσημέραι ποιεῖσθαι τὴν κοίτην ἐν τῇ γῇ, διὸ καὶ τοὔνομα εἰληφέναι. φαίνεται δ' οὖν, εἴπερ δύναται δρᾶν, ἐπαμφοτερίζειν, οὐ τῇ τροφῇ καὶ τῇ διαγωγῇ καθάπερ ἡ φώκη καὶ ἐμὺς καὶ ἕτερ' ἄττα, καὶ τῶν ὀρνίθων δὲ πολλοὶ, ἀλλὰ καὶ τῷ δέχεσθαι καὶ τὸν ἀέρα καὶ τὴν θάλατταν, οὐχ οὕτως ὥσπερ ὁ δελφὶς καὶ ἕτερ' ἄττα, φύσει μὲν [οὖν] ὄντα ἀναπνευστικὰ καὶ τὴν θάλατταν δεχόμενα

Digitized by Google

καὶ ἀναφυσῶντα πρὸς τὴν χρείαν ἀλλ' ἀμφότερα πρὸς τὴν τοῦ ζῆν διαμονήν. ἄτοπος δ' ἂν αὐτοῖς ἡ φύσις
2 καὶ ἡ δύναμις εἴη. τὰ δ' ἐν Ἰνδοῖς ἰχθύδια τὰ ἐκ τῶν ποταμῶν εἰς τὴν γῆν ἐξιόντα καὶ πηδῶντα καὶ πάλιν εἰς τὸ ὕδωρ ἀπιόντα, καθάπερ οἱ βάτραχοι θαυμαστὰ μὲν οὖν, οὐχ ὁμοίως δὲ τούτοις, ὅσῳ τὸ ὀλίγον χρόνον ἢ πολὺν καὶ τελευταῖον ἧττον θαυμαστόν· ἡ δ' ὄψις ὁμοία τούτων τοῖς μαξίναις καλουμένοις. εἰσὶ δὲ καὶ περὶ Βαβυλῶνά τινες, οὓς φασι διαμένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου τοῦ ποταμοῦ· τούτους δ' ἐξιόντας (ἐπὶ τὰς ἅλως) νέμεσθαι καὶ βαδίζειν ἐπὶ τῶν πτερυγίων καὶ ἅμα κινεῖν τὴν οὐρὰν, καὶ ὅταν διώκωνται φεύγειν καὶ εἰσδύντας ἀντιπροσώπους ἵστασθαι· πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. ἔχουσι δὲ τὴν μὲν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ τὸ δ' ἄλλο σῶμα κωβιῷ βράγχια δὲ ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες. ὅτι δ' οὐ πόδας ἔχουσιν ἀλλ' ἐπὶ τῶν πτερυγίων βαδίζουσι τεθεώρηται. ἐλάμβανον γὰρ πολλοὺς οἱ διώκοντες· τὰ δὲ πτερύγια
3 εὐμεγέθη· τὸ δ' ἐκ τῆς γῆς τὴν τροφὴν λαμβάνειν οὐκ ἄλογον· ἔνιοι γὰρ καὶ ἐν τῷ ὑγρῷ ὄντες πηλὸν ἐσθίουσι καὶ φῦκος καὶ τὰ τοιαῦτα. καὶ ὅλως δὲ εἴπερ ἐν τῷ ἀέρι διαγίνονται καὶ τὸ τῆς τροφῆς οὐκ ἄλογον· ἐπεὶ καὶ ὁ πολύπους ἐξιὼν λαμβάνει καὶ ἡ μύραινα καὶ ἄλλοι δὲ ὥς φασι. καὶ τὸ ὅλον οὐκ ἄλογον, ὥσπερ τῶν πεζῶν καὶ πτηνῶν ἔνια ταῖς ἐνύδροις χρῆται, καὶ τὰ ἔνυδρα ταῖς ἐν τῇ γῇ καὶ τὴν φύσιν ὁμοίως ἀνταποδιδόναι τὸ ἀνάλογον. φαίνεται δὲ καὶ ὁ ἵππος ὁ ποτάμιος τοιοῦτον. ἀλλ' ἐκεῖνο θαυμαστὸν, ὥσπερ εἴπομεν, εἴ τι δύναται τοῖς αὐτοῖς μορίοις [ὡς] ὀργανικοῖς ὁτὲ μὲν ἐπισπᾶσθαι τὸν ἀέρα καὶ ἕλκειν ὁτὲ δὲ τὸ ὑγρὸν δέχεσθαι. τάχα δὲ τούτου μᾶλλον, εἰ ὁτὲ μὲν ὁ ἀὴρ

Digitized by Google

σύμμετρος πρὸς τὴν κατάψυξιν ἢ ὁτιδήποτέ ἐστιν ἐκ
τῆς ἀναπνοῆς γινόμενον, ὁτὲ δὲ τὸ ὑγρόν· οὐ γὰρ ἅμα
γ' ἄμφω. τὸ δὲ τῶν πολυπόδων ἧττον θαυμαστόν· 4
οὐ γὰρ δέχονται τὴν θάλατταν· καὶ οἱ κάραβοι καὶ οἱ
ἀστακοὶ καὶ οἱ καρκίνοι καὶ τἆλλα τὰ τοιαῦτα, ὥστε
μὴ μεγάλης ἄγαν τῆς μεταβολῆς οὔσης ῥᾷον ὑπομένειν.
ὃ καὶ περὶ τὰς ἐγχέλυς φαίνεται συμβαίνειν· πολὺν
γὰρ χρόνον δύνανται ζῆν ἔξω τοῦ ὑγροῦ διὰ τὸ
μικρὰ τὰ βράγχια ἔχειν καὶ ὀλίγον δέχεσθαι τὸ ὑγρόν·
καὶ τὴν μύραιναν καὶ εἴ τι ἄλλο τοιοῦτον, ἢ καὶ τὸ
ὅλον ὀφιῶδες, ἥκιστα ἄτοπον. εὔλογον δὲ καὶ ἐν τῷ 5
ὕδατι μᾶλλον μὴ δύνασθαι διαμένειν ὅσῳ λεπτότερον
ὂν τῆς θαλάσσης ἐγγυτέρω τοῦ ἀέρος ἐστὶ, καὶ ὅτι
φύσει γε ψυχρότερόν ἐστι, διὸ καὶ πολύπους φεύγει.
καὶ διὰ τοῦτο περὶ Ἑλλήσποντον καὶ τὸν Πόντον οὐκ
ἔστιν. οἱ δὲ ἰχθύες τίκτουσιν ἀναπλέοντες εἰς τοὺς
ποταμοὺς καὶ τὰς λίμνας ὅτι εὐδία μᾶλλον κυμάτων
καὶ πνευμάτων· καὶ τὰ θηρία ἐλάττω καὶ οἱ κατε-
σθίοντες ὅλως καὶ διαφθείροντες ἰχθῦς. ἡ δὲ τῆς θα- 6
λάττης θερμότης ἐξ ἐκείνου φανερὰ τῷ μὴ διαμένειν
δύνασθαι ἐν ταύτῃ τὰ ἐκ τῶν ποταμῶν ἀλλὰ μᾶλλον
τὰ ἐκ τῆς θαλάττης ἐν τοῖς ποταμοῖς καὶ ταῖς λίμναις.
ἴσως δ' αὐτὸ τοῦτο πρότερον σκεπτέον πότερον θερ-
μότερον ὁ ἀὴρ ἢ τὸ ὑγρόν· εἰ γὰρ ὁ ἀὴρ ὥσπερ ἂν
δόξειεν, ἐγγυτέρω γ' ὢν τοῦ πυρὸς, ἧττον ἀεὶ θερμὰ
τὰ τούτῳ κατεχόμενα. τοῦτο δὲ εἰ μὴ καὶ πρὸς τὰ
νῦν ὑπεναντίον ἀλλὰ πρὸς ἐκείνην τὴν δόξαν τὴν λεγο-
μένην ὅτι θερμότατα πάντων τὰ ἔναιμα καὶ ζωοτόκα.
περὶ μὲν οὖν τούτων ἐπισκεπτέον. οἱ δ' ὀρυκτοὶ τῶν
ἰχθύων — εἰσὶ γὰρ ἐνιαχοῦ καὶ τοιοῦτοι καθάπερ καὶ 7
περὶ Ἡράκλειαν καὶ ἄλλοθι τῶν ἐν τῷ Πόντῳ — γί-
νονται μὲν καὶ παρὰ τοὺς ποταμοὺς καὶ τὰ ἔνυδρα

Digitized by Google

χωράφια. συμβαίνει δ' ἀναξηραινομένων τούτων ἐγκαταλειπομένους κατὰ μικρὸν συστέλλεσθαι καὶ διώκοντας τὴν ὑγρότητα δύεσθαι κατὰ τῆς γῆς, εἶτα καταξηραινομένης διαμένειν, ἐν τῇ ἰκμάδι καθαπερανεὶ ταριχευομένους, ἐν τῇ γῇ, ὥσπερ τοὺς ἐν ταῖς φωλείαις διαρκοῦντας· ὅταν δ' ἀνασκάπτωνται τότε κινεῖ-
8 σθαι. παραπλήσιον δ' ἐστὶ τούτῳ καὶ (τὸ) ἐπὶ τῶν ἐκπηγνυμένων ἐν τῷ Πόντῳ ὅταν περιλαμβάνωνται τῷ κρυστάλλῳ· οἳ οὐ πρότερον αἰσθάνονται καὶ κινοῦνται πρὶν εἰς τὰς λοπάδας ἐμβληθῆναι καὶ ἕψεσθαι· πάντων δὲ μάλιστα δοκεῖ πάσχειν τοῦθ' ὁ κωβιός. ὅλως δ' οἱ ὀρυκτοὶ γίνονται ἰχθύες διὰ τὸ ὑπερβάλλοντας τοὺς ποταμοὺς ὅταν πάλιν εἰς τὸ ἀρχαῖον καθιστῶνται ῥεῖθρον ἐγκαταλείπειν ἐν τοῖς ἀναξηραινομένοις ἔνθα μὲν ᾠὰ ἔνθα δὲ τοιαύτας ἀρχὰς ἐξ ὧν ἡ
9 γένεσις. ἔνια γὰρ οὐκ ἐκ ζώων ὥσπερ ἡ ἔγχελυς· δοκεῖ δ' αὕτη γίνεσθαι καὶ ὁ καλούμενος κεντρίσκος ὥσπερ καὶ ἐν Ἡρακλείᾳ περὶ τὸν Λύκον ποταμόν· ἐγκαταλειφθέντα δ' ἀπομορφοῦται καὶ διαμένει. τὴν διαμονὴν δὲ οὐκ ἄτοπον εἶναι· τροφῆς γὰρ ὀλίγης δεῖται πολλὰ τῶν τοιούτων ὥσπερ καὶ οἱ ὄφεις καὶ τὰ φωλεύοντα. συμβαίνει δὲ καὶ ταύτην ἱκανὴν ἔχειν ᾠῶν τὴν πρώτην καὶ μετὰ ταῦτα τὴν ἐκ τῆς γῆς ἰκμάδα διαδιδομένην· οὐ μὴν μέγεθός γε τὰ τοιαῦτα λαμβάνειν οὔτ' εἰκὸς οὔτε φασὶ διὰ τὸ μήτε χώραν ἔχειν μήτε τροφὴν δαψιλῆ· δεῖ δὲ ἄμφω ταῦτα πρὸς
10 τὴν αὔξησιν· τὸ δ' ἐν τῷ ἀέρι δύνασθαι διαμένειν τούτοις μὲν οὐ παντελῶς ὑπάρχει, τοῖς δ' ἐξιοῦσιν ἐκ τῶν τόπων καὶ νεμομένοις· αὐτοὶ δὲ μικρᾶς εἰώθασι δέεσθαι καταψύξεως ὥστε σύμμετρον αὐτοῖς εἶναι τὴν ἀπὸ τοῦ ἀέρος. δηλοῖ δὲ καὶ ἡ τῶν βραγχίων στενότης ὡς οὐ πολλῆς δεομένων· διὸ καὶ ἡ ἔγχελυς ἔν τε

Digitized by Google

τῷ ἀέρι πολὺν χρόνον ζῇ καὶ ἐν τοῖς θολεροῖς ὕδασι τάχιστα ἀποπνίγεται. καὶ ἅμα ἐν τοῖς γε ὀρυκτοῖς καὶ ἡ ἀπὸ τῆς γῆς ἀπόψυξις ἐκ τῆς περιοχῆς ἱκανὴν ποιεῖ τὴν βοήθειαν. ἴδιον δέ τι παρὰ ταῦτα καὶ λόγου δεό- 11
μενον τὸ περὶ τοὺς ἐν Παφλαγονίᾳ ὀρυκτοὺς ἰχθῦς· ὀρύττεσθαι γάρ φασιν ἐκεῖ κατὰ βάθους πλείονος ἀγαθοὺς καὶ πολλούς· τὸν δὲ τόπον οὔτ' ἐπίκλυσιν ποταμοῦ λαμβάνειν οὔθ' ὕδατος σύστασιν, ἀφ' ὧν δή φαμεν ἐγκαταλείπεσθαι τὰ ᾠὰ καὶ τὰς ἀρχὰς τῆς γενέσεως. λοιπὸν γὰρ δὴ αὐτομάτους φύεσθαι, καὶ τοῦτο συνεχῶς — ἀδύνατος γὰρ ἡ πρὸς ἀλλήλους μίξις —, εἴτε δὴ τοῦτο θετέον ὥσπερ ἐνύγρου τινὸς τῆς χώρας οὔσης καὶ τὸ ὅλον γονίμου τῶν τοιούτων διὰ τὸ συμμετρίαν τινὰ ἔχειν τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ — συμβαίνει γὰρ δὴ γίγνεσθαι καὶ ἑτέρους τινὰς αὐτομάτους ἰχθῦς —, εἴτε διανάειν ἔκ τινων τόπων ὑγρότητας αἳ συνεπιφέρουσι τὰς γεννώσας ἀρχάς· ὁ δὲ τόπος εὐφυὴς διὸ καὶ δέχεται καὶ ἐκτρέφει· σχεδὸν γὰρ οὐκ ἂν ἔτι πορρωτέρω τούτων. ἐκεῖνο δ' ἄν τις σκέψαιτο 12
περὶ ἀμφοτέρων τῶν γενῶν τῶν τε ἐν τῷ ξηρῷ καὶ τῶν ὀρυκτῶν ἆρα γε εἰς ὕδωρ ἀφιέμενα ζῷη ἄν, ἢ τὴν οἰκείαν ζητοίη χώραν καὶ τοῦτο αὐτοῖς ὥσπερ φύσις, καθάπερ καὶ τοῖς ἐν θαλάττῃ καὶ τοῖς ἐν ποταμοῖς· οὐδὲ γὰρ ταῦτα δέχεται τὰς μεταβολὰς πλὴν ὀλίγων. ἐπεὶ ὅσοι γε διὰ τὴν αναξηρασίαν καταδύονται καὶ ὅσοι περιλαμβάνονται τοῖς πάγοις, φανερὸν ὡς τούτοις γε οἰκεῖον τὸ ὑγρόν. εἰκὸς δὲ μᾶλλον καὶ τοῖς ὀρυκτοῖς καὶ τοῖς ἑτέροις, τοῖς μὲν ἁπλῶς, τοῖς δ' ὡς ἀμφιβίοις κατὰ Δημόκριτον. ὃ καὶ ἐπ' ἄλλων συμβαίνει· χρῆται γὰρ ἔνια τῷ ἀέρι καθάπερ ἐρρέθη πρότερον.

Digitized by Google

Fr. CLXXII.

Ὅτι τὰς χρόας μεταβαλλόμενοι καὶ ἐξομοιούμενοι
φυτοῖς καὶ τόποις καὶ λίθοις οἷς ἂν πλησιάσωσι πολύ-
πους ἐστὶ καὶ χαμαιλέων καὶ τὸ θηρίον ὁ τάρανδος
ὃ ἐν Σκύθαις φασὶν ἢ Σαρμάταις γίνεσθαι. μετα-
βάλλει δ' ὁ χαμαιλέων εἰς πάντα τὰ χρώματα, πλὴν
τὴν εἰς τὸ λευκὸν καὶ τὸ ἐρυθρὸν οὐ δέχεται με-
ταβολήν· καὶ οὐ πρὸς τὰ παρακείμενα μόνον χρώματα
μεταβάλλει ἀλλὰ καὶ αὐτὸς καθ' ἑαυτὸν ἐάν τις μόνον
2 ἅψηται αὐτοῦ τὸ χρῶμα μεταβάλλει. ὁ δὲ τάρανδος
τὸ μὲν μέγεθός ἐστι κατὰ βοῦν τὸ πρόσωπον δὲ ὅμοιος
ἐλάφῳ πλὴν πλατύτερος ὡσανεὶ ἐκ δύο συγκείμενος
ἐλαφείων προσώπων. δίχηλον δ' ἐστὶ καὶ κερασφόρον·
ἔχει δὲ τὸ κέρας ἀποφυάδας ὥσπερ τὸ ἐλάφου, καὶ
τριχωτόν ἐστι δι' ὅλου· περὶ γὰρ τὸ ὀστοῦν δέρματός
ἐστιν ἐπίτασις ὅθεν ἡ ἔκφυσις. τὸ δὲ δέρμα τῷ πάχει
δακτυλιαῖόν ἐστιν ἰσχυρὸν δὲ σφόδρα, διὸ καὶ τοὺς
θώρακας ἐξαναζοντες αὐτὸ ποιοῦνται. σπάνιον δὲ τὸ
3 ζῶον καὶ ὀλιγάκις φαινόμενον. θαυμαστὴ δ' ἡ μετα-
βολὴ καὶ ἐγγὺς ἀπιστίας· τοῖς μὲν γὰρ ἄλλοις ἐν τῷ
δέρματι γίνεται ἡ μεταβολὴ ἀλλοιουμένης τῆς ἐντὸς
ὑγρότητος εἴτε αἱματώδους ἢ καί τινος ἄλλης τοιαύτης
οὔσης, ὥστε φανερὰν εἶναι τὴν συμπάθειαν. ἡ δὲ τῶν
τριχῶν μεταβολὴ ξηρῶν τε ὄντων καὶ ἀπηρτημένων
καὶ ἀθρόον οὐ πεφυκότων ἀλλοιοῦσθαι παράδοξος
ἀληθῶς καὶ ἀπίθανος, μάλιστα πρὸς πολλὰ ποικιλλο-
4 μένη. ὁ δὲ χαμαιλέων δοκεῖ τῷ πνεύματι ποιεῖν τὰς
μεταβολάς, πνευματικὸν γὰρ φύσει. σημεῖον δὲ τὸ
τοῦ πνεύμονος μέγεθος· σχεδὸν γὰρ δι' ὅλου τοῦ σώ-
ματος τέταται· ἅμα δὲ καὶ αὐτὸς ἐξαιρόμενος καὶ φυ-
σώμενος. (Photii Biblioth. 278.)

Digitized by Google

Fr. CLXXIII.

Θ. ἐν τῷ περὶ τῶν μεταβαλλόντων τὰς χρόας τὸν πολύποδα φησὶ τοῖς πετρώδεσι μάλιστα τόποις συνεξομοιοῦσθαι· τοῦτο ποιοῦνται φόβῳ καὶ φυλακῆς χάριν. ἐν δὲ τῷ περὶ τῶν ἐν τῷ ξηρῷ διαμενόντων ζώων οὐ δέχεσθαί φησι τοὺς πολύποδας τὴν θάλατταν· ἐν δὲ τῷ περὶ κατὰ τόπον διαφορῶν ὁ Θ. πολύποδας οὐ γίνεσθαί φησι περὶ Ἑλλήσποντον· ψυχρὰ γὰρ ἡ θάλασσα αὕτη καὶ ἧττον ἁλμυρά· ταῦτα δ᾽ ἀμφότερα πολέμια πολύποδι. (Athenae. 7 p. 317.)

Fr. CLXXIV.

Ὅτι τῶν ἀθρόων φαινομένων ζώων οὐχ ἡ αὐτὴ πάντων αἰτία ἀλλὰ τῶν μὲν καὶ ἡ γένεσις εὐθὺς φανερὰ ὥσπερ τῶν μυιῶν, αἳ ἐν τοῖς στρατοπέδοις καὶ ἐν ταῖς πανηγύρεσι καὶ μετὰ τὸ παρελθεῖν αὐτὰ ἔτι μᾶλλον γίνονται. τούτων γὰρ ἥ τε κόπρος αἰτία καὶ ἡ τῶν ἄλλων σῆψις. ἄλλα δὲ προϋπάρχει μὲν ἐκφαίνεται δὲ διὰ τοὺς ὑετοὺς ὥσπερ οἵ τε κοχλίαι καὶ οἱ μικροὶ βάτραχοι· οὐ γὰρ ὕονται ὥς τινες οἴονται, ἀλλὰ προφαίνονται μόνον κατὰ γῆς ὄντα πρότερον, διὰ τὸ εἰσρεῖν τὸ ὕδωρ εἰς τὰς θαλάμας αὐτῶν. ἄλλο δὲ γένος ἐστὶ τοῦτο βατράχων παρὰ τὸ ἐν ταῖς λίμναις καὶ τοῖς τέλμασι. τὸ δὲ πλῆθος καὶ τούτων καὶ τῶν ἄλλων ὅταν εὐθηνήσωσιν. ὅτι μᾶλλον μετὰ τὰς διαλύ- 2
σεις καὶ τῶν πανηγύρεων καὶ τῶν στρατοπέδων ἢ ἔτι συνισταμένων αἱ μυῖαι γίνονται· συμβαίνει γὰρ παρόντων μὲν διὰ τὰς καθημερινὰς χρείας καὶ κινήσεις φθείρεσθαι τὰς γενέσεις αὐτῶν κινήσεως ἀεὶ καὶ μεταβολῆς γινομένης ὡς ἐν τοῖς ἄλλοις καὶ ἐν αὐτοῖς τοῖς καθάρμασιν ἐκβαλλομένοις αὐτῶν· ὅταν δὲ διαλυθῶσιν ἡσυχίας γενομένης ταχὺ συντελεῖται διὰ τὸ μὴ

Digitized by Google

ὑπ' οὐδένος κωλύεσθαι μέχρι οὗ ἂν ξηρανθῇ τὸ ἐν τοῖς καθάρμασιν ὑγρόν. ἡ μὲν οὖν τῶν μυιῶν γένεσις ταχεῖαν καὶ πολλὴν ὡς εἴρηται τὴν γένεσιν λαμβάνει.
3 οἱ δ' ἀττέλεβοι καὶ αἱ ἀκρίδες πανταχοῦ μέν εἰσιν ὡς εἰπεῖν, πλήθεται δὲ ταῦτα τῷ τε τόπους οἰκείους λαμβάνειν καὶ τῷ μὴ διαφθείρεσθαι αὐτῶν τὰ ᾠὰ, ὃ συμβαίνει διὰ τὴν ἀργίαν τῆς χώρας· ἐν γὰρ τῇ γεωργουμένῃ ἀπόλλυνται. διὸ καὶ ἐκ τῆς ἐρήμου καὶ ἀργούσης καταφέρονται πρὸς τὴν οἰκουμένην καὶ ἐργάσιμον. ἐγχρονίζουσι δὲ ἢ διὰ τὸ περιέχεσθαι τὸ χωρίον ὄρεσιν ὑψηλοῖς καὶ ὑπερᾶραι ταῦτα μὴ δύνασθαι. ἢ διὰ τὸ ἐπιτήδειον τῆς χώρας. τοιαύτη δὲ ἥ τε μαλακὴ καὶ νοτίδα ἔχουσα καὶ δροσοβόλος.
4 χαλεπαὶ μὲν οὖν καὶ αἱ ἀκρίδες, χαλεπώτεροι δὲ οἱ ἀττέλεβοι καὶ τούτων μάλιστα οὓς καλοῦσι βρούκους. ἡ δὲ γένεσις αὐτῶν ἐξ ἀλλήλων. τινὲς δὲ οἴονται οὐκ ἀκριβεῖ σημείῳ τῷ (τὸ) χρῶμα παραπλησίως τινὰς αὐτῶν ἔχειν τοῖς ἐν τῇ χώρᾳ ὅτι καὶ αὐτόματος. δῆλον γὰρ ὅτι τὸ τοιοῦτον ἀπὸ τῆς τροφῆς ἀλλ' οὐκ
5 ἀπὸ τῆς γενέσεως προσλαμβάνουσιν. ἡ δὲ φθορὰ τούτων ἡ μέν ἐστιν οἷον φυσική τις καὶ λοιμώδης. ὑπὸ κύνα γὰρ οἰστρᾷ καὶ ἐγγίνεταί τι σκωλήκιον ἐν τῇ κεφαλῇ καὶ φθείρεται· ἡ δὲ ἐν τῇ μετακινήσει καὶ τῇ πτήσει· ὅταν γὰρ ἀρθῶσιν ὑπὸ τῶν ἀνέμων καταφέρονται εἰς τὴν θάλασσαν καὶ φθείρονται. φθείρονται δὲ καὶ διὰ χειμῶνα καὶ ψύχος καὶ αὐτὰ καὶ τὰ ᾠὰ αὐτῶν. φθείρονται δὲ καὶ ἐκ μηχανῆς ἀνθρώπων· τάφρους γὰρ ποιοῦντες συνελαύνουσιν αὐτὰ
6 εἰς αὐτοὺς καὶ καταχωννύντες διαφθείρουσι. ὅτι τῶν ὄφεων δύο τινὰ τῆς γενέσεως αἴτιά ἐστιν. ἢ γὰρ ἀὴρ ἔπομβρός ἢ πόλεμοι καὶ χύσεις αἱμάτων. ὃ σχέδον καὶ τῶν ἄλλων θηρίων τῆς γενέσεως αἴτιον. ἐξ οὗ ποτὲ

Digitized by Google

καὶ περὶ Θετταλίαν πλῆθος ὄφεων ἱστοροῦσι γενέσθαι. ὅτι καὶ αἱ μῦες ἐν ταῖς ἀρούραις ἀθρόον γίνονται, καὶ 7 *ἐν τοῖς αὐχμοῖς μᾶλλον ἢ ἐν ταῖς ἐπομβρίαις· πολέμιον γὰρ αὐταῖς τὰ ὕδατα· πολύγονον δὲ τὸ ζῶον· ἀπόλλυται δὲ τῇ μὲν ἐμφανεῖ καὶ ἔξωθεν φθορᾷ διὰ πλῆθος ὑδάτων· τοῦτο γὰρ καὶ ἔξω χειμάζει καὶ εἰς τὰς μυωπίας παρεισρεῖ. φθείρουσι δ' αὐτοὺς καὶ αἱ ἄγριαι γαλαῖ. ἔστι δέ τις αὐτῶν καὶ ἀφανὴς καὶ ἀθρόα φθορὰ καθάπερ τις ἐπισυμβαίνουσα λοιμώδης· τίκτεται γὰρ καὶ τούτων ἐν τῇ κεφαλῇ σκώληξ καὶ φθείρονται· ὃ καὶ οἱ ἔμπειροι ἐπισκοποῦντες, ἐπὰν ἴδωσι, τὴν φθορὰν αὐτῶν προνοοῦσι καὶ προαγγέλλουσιν. ὅτι οἱ μῦες* 8 *ἱστοροῦνται καὶ σίδηρον κατεσθίειν καὶ χρυσίον· διὸ καὶ ἀνατέμνοντες αὐτοὺς οἱ ἐν τοῖς χρυσείοις τὸν χρυσὸν ἀνιμῶνται. ὅτι ἐν Αἰγύπτῳ δίποδάς φασιν μῦας γίνεσθαι καὶ μεγάλους· ἔχουσι δὲ οὗτοι καὶ τοὺς ἐμπροσθίους πόδας ἀλλ' οὐ βαδίζουσιν ἐπ' αὐτοῖς, χρῶνται δ' αὐτοῖς οἷα χερσίν· ὅταν δὲ φεύγωσι πηδῶσι.* (Photii Bibl. 278, 7.)

Fr. CLXXV.

Ὅτι ὁ γαλεώτης, φασί, φθονῶν τῆς ὠφελείας τοῖς ἀνθρώποις καταπίνει τὸ δέρμα ὅταν ἐκδύσηται· ἐστὶ γὰρ βοήθημα ἐπιλήπτῳ. καὶ ὁ ἔλαφος τὸ δεξιὸν κατορύττει κέρας, πρός τε τὰ τῆς φρύνης φάρμακα καὶ πρὸς ἄλλα πολλὰ χρήσιμον. καὶ ἡ ἵππος ἀπεσθίει τῶν πώλων τὸ ἱππομανές· καὶ γὰρ τοῦτο πρὸς ἔνια χρήσιμον. καὶ ἡ φώκη ὅταν μέλλῃ ἁλίσκεσθαι ἐξεμεῖ τὴν πιτύαν, χρησιμεύουσαν καὶ ταύτην τοῖς ἐπιλήπτοις. καὶ ὁ χερσαῖος ἐχῖνος ἐνουρεῖ τῷ δέρματι καὶ διαφθείρει. καὶ ἡ λύγξ κατακρύπτει τὸ οὖρον ὅτι πρὸς τὰς σφραγῖδας καὶ πρὸς ἄλλας χρείας ἐπιτήδειον·

Digitized by Google

ἀλλ' ὅτι μὲν οὐ διὰ φθόνον ταῦτα ποιεῖ τὰ ζῶα ἀλλ' οἱ ἄνθρωποι ἐκ τῆς ἰδίας ὑπολήψεως ταύτην αὐτοῖς περιῆψαν τὴν αἰτίαν παντὶ δῆλον. πόθεν γὰρ τοῖς ἀλόγοις ἡ τοσαύτη σοφία ἣν καὶ οἱ λογικοὶ μετὰ συχνῆς μελέτης μανθάνουσιν; ἀλλ' ἡ μὲν φώκη διὰ τὸν φόβον ἴσως ταραττομένη ἐμεῖ· τὴν πιτύαν· καὶ ὁ γαλεώτης καταπίνει τὸ δέρμα φυσικόν τι ποιῶν πάθος, καθάπερ αἱ κύνες καὶ αἱ ὗες καὶ σχεδὸν τὰ τετράποδα πάντα· κατεσθίει γὰρ τὰ χόρια μετὰ τοὺς τόκους· καὶ ὁ ἐχῖνος δὲ διὰ φόβον ἢ δι' ἄλλο τι πάθος φυσικὸν ἐνουρεῖ ἀλλ' οὐχ ἵνα φθείρῃ τὸ δέρμα. πολλὰ δὲ καὶ ἄλλα πράττεται τοῖς ἀλόγοις ὧν οὐκ ἔχομεν λόγον ἀποδοῦναι· οἷον διὰ τί ἡ ὄρνις ὅταν τέκῃ περιῤῥίπτει τὰ κάρφη· διὰ τί οἱ κύνες ἐπαίροντες τὰ σκέλη προσουροῦσι· διὰ τί ἡ αἲξ ὅταν λάβῃ τὸ ἠρύγγιον εἰς τὸ στόμα μένει καὶ τὰς ἄλλας ἵστασθαι ποιεῖ. καὶ τὸ τῆς λυγγὸς οὖν καὶ τὸ τῆς ἐλάφου ὁ αὐτὸς κατάλογος περιέξει. (Photii Bibl. 278, 8.)

Fr. CLXXVI.

Θ. ἐν τῷ περὶ φωλευόντων οἱ κοχλίαι, φησί, φωλεύουσι μὲν καὶ τοῦ χειμῶνος μᾶλλον δὲ τοῦ θέρους· διὸ καὶ πλεῖστοι φαίνονται τοῖς μετοπωρινοῖς ὕδασιν· ἡ δὲ φωλεία τοῦ θέρους καὶ ἐπὶ τῆς γῆς καὶ ἐπὶ τῶν δένδρων. (Athenae. 2 p. 63.)

Fr. CLXXVII.

Θ. ἐν τῷ περὶ τῶν φωλευόντων τοὺς ἀστακοὺς καὶ καράβους καὶ καρίδας ἐκδύεσθαί φησι τὸ γῆρας. (Athenae. 3 p. 105.)

Fr. CLXXVIII.

Θ. ἐν τῷ περὶ τῶν φωλευόντων διὰ τὸ ψύχος

Digitized by Google

φησὶ τὴν νάρκην κατὰ γῆς δύεσθαι. ἐν δὲ τῷ περὶ τῶν δακέτων καὶ βλητικῶν διαπέμπεσθαί φησι τὴν νάρκην ἀπ' αὐτῆς δύναμιν καὶ διὰ τῶν ξύλων καὶ διὰ τῶν τριοδόντων, ποιοῦσαν ναρκᾶν τοὺς ἐν χεροῖν ἔχοντας. (Athenae. 7 p. 314.)

Fr. CLXXIX.

Ἀριστοτέλης δ' ἢ Θεόφραστος ἐν τοῖς ὑπομνήμασι τῶν φασιανῶν φησὶν οὐ κατὰ λόγον ἡ ὑπεροχὴ τῶν ἀρρένων ἀλλὰ πολλῷ μείζων. (Athenae. 14 p. 654.)

Fr. CLXXX.

Θ. δὲ ὁ Ἐρέσιος Ἀριστοτέλους μαθητὴς ἐν τρίτῃ περὶ ζώων μνημονεύων αὐτῶν οὑτωσί πως λέγει· ἔστι καὶ τοῖς ὄρνισι τοιαύτη διαφορά· τὰ μὲν γὰρ βραχέα καὶ μὴ πτητικὰ καθάπερ ἀτταγὴν πέρδιξ ἀλεκτρυών. φασιανὸς εὐθὺς βαδιστικὰ καὶ δασέα. (Athenae. 9 p. 387.)

Fr. CLXXXI.

Θ. γοῦν ἐν τῷ περὶ ἑτεροφωνίας τῶν ὁμογενῶν οἱ Ἀθήνησι φησὶν πέρδικες ἐπὶ τάδε τοῦ Κορυδαλλοῦ πρὸς τὸ ἄστυ κακαβίζουσιν οἱ δ' ἐπέκεινα τιττυβίζουσιν. (Athenae. 9 p. 390.)

Fr. CLXXXII.

Τοὺς δὲ περὶ Παφλαγονίαν πέρδικάς φησι Θ. δύο ἔχειν καρδίας. (Athenae. 9 p. 390.)

Fr. CLXXXIII.

Ὁ δὲ Θ. τοὺς ἀγρίους (ἀλεκτρυόνας) φησὶν ὀχευτικωτέρους εἶναι τῶν ἡμέρων. λέγει δὲ καὶ τοὺς ἄρ-

Digitized by Google

ρενας εὐθὺς ἐξ εὐνῆς ἐθέλειν πλησιάζειν, τὰς δὲ θηλείας προβαινούσης μᾶλλον τῆς ἡμέρας. (Athenae. 9. p. 391.)

Fr. CLXXXIV.

Ἰχθῦς ἱστορεῖ Θ. ὑπὸ ῥίγους πεπηγότας, ἂν ἀφεθῶσιν ἐπὶ τὴν γῆν, κατάγνυσθαι καὶ συντρίβεσθαι δίκην ὑέλων ἢ κεραμεῶν σωμάτων. (Plut. de primo frig. p. 952.)

Fr. CLXXXV.

Θ. ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν (iulum) καλεῖσθαι. (Schol. ad Apollon. Rhod. Argon. I. v. 972.)

Fr. CLXXXVI.

Λέγει δὲ Θ. ἐκβαλὼν τὸν μῦθον καὶ Σεριφίους τῆς ἀλαζονείας παραλύων τὴν τοῦ ὕδατος ψυχρότητα αἰτίαν εἶναι τῆς ἀφωνίας τῶν προειρημένων (ranarum in Seripho). (Aelian. Hist. anim. 3, 37.)

Fr. CLXXXVII.

Ἐν τοῖς ὑγροῖς χωρίοις καὶ ἔνθα νοτιώτερος ὁ ἀὴρ ὑπεράγαν οἱ ἀλεκτρυόνες οὐκ ᾄδουσι, φησὶ Θ. (Aelian Hist. anim. 3, 38.)

Fr. CLXXXVIII.

Διότι τὴν χροιὰν ὁ πολύπους ἐξαλλάττει; πότερον, ὡς Θ. ᾤετο, δειλόν ἐστι φύσει ζῶον; ὅταν οὖν ταραχθῇ τρεπόμενον τῷ πνεύματι συμμεταβάλλει τὸ χρῶμα καθάπερ ἄνθρωπος. (Plut. Quae. natur. p. 916.)

Digitized by Google

Fr. CLXXXIX.

Μεταβάλλει γὰρ ὁ μὲν χαμαιλέων οὐδέν τι μηχανώμενος οὐδὲ κατακρύπτων ἑαυτὸν ἀλλ' ὑπὸ δέους ἄλλως τρέπεται φύσει ψοφοδεὴς ὢν καὶ δειλός· συνέπεται δὲ καὶ πνεύματος πλῆθος, ὡς Θεόφραστος. ὀλίγον γὰρ ἀποδεῖ πᾶν τὸ σῶμα τοῦ ζώου πλῆρες εἶναι πνεύμονος, ᾧ τεκμαίρεται τὸ πνευματικὸν αὐτοῦ καὶ διὰ τοῦτο πρὸς τὰς μεταβολὰς εὔτρεπτον. (Plut. de sollert. anim. p. 978.)

Fr. CXC.

Ὅτι αἱ τοῦ μέλιτος γενέσεις τριτταί· ἡ ἀπὸ τῶν ἀνθῶν καὶ ἐν οἷς ἄλλοις ἐστὶν ἡ γλυκύτης· ἄλλη δ' ἐκ τοῦ ἀέρος ὅταν ἀναχυθὲν ὑγρὸν ὑπὸ τοῦ ἡλίου συνεψηθὲν πέσῃ· γίνεται δὲ τοῦτο μάλιστα ὑπὸ πυραμητόν. ἄλλη δ' ἐν τοῖς καλάμοις. πίπτει δὲ τὸ ἐκ τοῦ ἀέρος μέλι καὶ ἐπὶ τὴν γῆν καὶ ἐπὶ τὰ προστυχόντα τῶν φυτῶν. εὑρίσκεται δὲ μάλιστα ἐπὶ τοῖς φύλλοις τῆς δρυὸς καὶ ἐπὶ τῆς φιλύρας διότι πυκνότητα ἔχει ταῦτα καὶ ἔνικμά ἐστι. δεῖ δὲ μήτε τελείως εἶναι ξηρὰ ἵνα μὴ εἰς αὑτὰ ἕλκῃ, μήτε μανὰ ἵνα μὴ διίῃ· ταῦτα δὲ καὶ ἔνικμα καὶ πυκνότητα ἔχει, τὰ δὲ τῆς φιλύρας καὶ γλυκύτητα. ἔχει δέ πως ἡ μέλιττα οἰκείωσίν τινα πρὸς τὴν δρῦν. (Photii Bibl. 278, 10.)

Digitized by Google

AUCTARIUM FRAGMENTORUM.

Fr. XXII b.

Ἰστέον δὲ ὅτι καὶ Θ. καὶ Εὔδημος ἐν τοῖς περὶ τόπου ἀξιώμασι καὶ τὸ ἀκίνητον εἶναι τὸν τόπον προλαμβάνουσι. (Simpl. in Arist. Phys. p. 374 b Bk.)

Fr. XXVI. b.

Καὶ ὁ Θ. δὲ ἐν τῷ α περὶ Κινήσεως τὰ αὐτὰ ταῦτα περὶ τούτων δοξάζων φαίνεται. λέγει δὲ οὕτως· 'ὑπὲρ δὲ τοῦ κινεῖσθαι τὸ κινούμενον καὶ κεκινῆσθαι τὸ κεκινημένον δεῖν ἆρα γε ἐνδέχεται λέγειν ὃ καὶ ἐπὶ τῶν σωμάτων κατὰ τὴν ἀλλοίωσιν, ὡς οὐκ ἀεὶ τὸ ἥμισυ πρῶτον, ἀλλ' ἐνίοτε ἀθρόον γε.' (Simpl. in Arist. Phys. F. 23.)

Fr. LIII b.

Ἄμεινον δὲ τὰ Θεοφράστου παραθέσθαι περί τε τοῦ δυνάμει νοῦ καὶ τοῦ ἐνεργείᾳ. περὶ μὲν οὖν τοῦ δυνάμει τάδε φησίν· 'ὁ δὲ νοῦς πῶς ποτὲ ἔξωθεν ὢν καὶ ὥσπερ ἐπίθετος ὅμως συμφυής, καὶ τίς ἡ φύσις αὐτοῦ; τὸ μὲν γὰρ μηδὲν εἶναι κατ' ἐνέργειαν δυνάμει δὲ πάντα, καλῶς, ὥσπερ καὶ ἡ αἴσθησις. οὐ γὰρ οὕτως ληπτέον ὡς οὐδὲ αὐτός· ἐριστικὸν γάρ· ἀλλ' ὡς ὑποκειμένην τινὰ δύναμιν καθάπερ καὶ ἐπὶ τῶν ὑλικῶν. ἀλλὰ τὸ ἔξωθεν ἄρα οὐχ ὡς ἐπίθετον ἀλλ' ὡς ἐν τῇ πρώτῃ γενέσει συμπεριλαμβανόμενον θετέον. πῶς δέ ποτε γίνεται τὰ νοητὰ καὶ τί τὸ πάσχειν αὐτόν; δεῖ γάρ, εἴπερ εἰς ἐνέργειαν ἥξει, καθά-

Digitized by Google

περ ἡ αἴσθησις· ἀσωμάτῳ δὲ ὑπὸ σώματος τί τὸ πάθος, ἢ ποία μεταβολή; καὶ πότερον ἀπ' ἐκείνου ἡ ἀρχὴ ἢ ἀπ' αὐτοῦ; τὸ μὲν γὰρ πάσχειν ἀπ' ἐκείνου δόξειεν ἂν, οὐδὲν γὰρ ἀφ' ἑαυτοῦ τῶν ἐν πάθει, τὸ δὲ ἀρχὴ πάντων εἶναι καὶ ἐπ' αὐτῷ τὸ νοεῖν καὶ μὴ ὥσπερ ταῖς αἰσθήσεσιν ἀπ' αὐτοῦ. τάχα δ' ἂν φανείη καὶ τοῦτο ἄτοπον, εἰ ὁ νοῦς ὕλης ἔχει φύσιν μηδὲν ὢν ἅπαντα δὲ δυνατός'... ἔστι δὲ ἐν τῷ πέμπτῳ τῶν Φυσικῶν, δευτέρῳ δὲ τῶν περὶ Ψυχῆς... ἀπαθὴς γὰρ, φησὶν, ὁ νοῦς, εἰ μὴ ἄρα ἄλλως παθητικὸς, καὶ ὅτι τὸ παθητικὸν ὑπ' αὐτοῦ οὐχ ὡς τὸ κινητικὸν ληπτέον, ἀτελὴς γὰρ ἡ κίνησις, ἀλλ' ὡς ἐνέργειαν. καὶ προϊών φησι τὰς μὲν αἰσθήσεις οὐκ ἄνευ σώματος, τὸν δὲ νοῦν χωριστόν. ἀψάμενος δὲ καὶ τῶν περὶ τοῦ ποιητικοῦ νοῦ διωρισμένων Ἀριστοτέλει, ἐκεῖνο, φησὶν, ἐπισκεπτέον, ὃ δή φαμεν ἐν πάσῃ φύσει τὸ μὲν ὡς ὕλην καὶ δυνάμει τὸ δὲ αἴτιον καὶ ποιητικὸν, καὶ, ὅτι ἀεὶ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος καὶ ἡ ἀρχὴ τῆς ὕλης· ταῦτα μὲν ἀποδέχεται, διαπορεῖ δέ· τίνες οὖν αὗται αἱ δύο φύσεις, καὶ τί πάλιν τὸ ὑποκείμενον ἢ συνηρτημένον τῷ ποιητικῷ; μικτὸν γάρ πως ὁ νοῦς ἔκ τε τοῦ ποιητικοῦ καὶ τοῦ δυνάμει· εἰ μὲν οὖν σύμφυτος ὁ κινῶν, καὶ εὐθὺς ἐχρῆν καὶ ἀεί· εἰ δὲ, ὕστερον, μετὰ τίνος, καὶ πῶς ἡ γένεσις; ἔοικεν οὖν καὶ ἀγέννητος εἴπερ καὶ ἄφθαρτος. ἐνυπάρχων δ' οὖν διὰ τί οὐκ ἀεί; ἢ διὰ τί λήθη καὶ ἀπάτη καὶ ψεῦδος; ἢ διὰ τὴν μίξιν; ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν ὅτι οὐ φαύλως ὑπονοοῦμεν ἄλλον μέν τινα παρ' αὐτοῖς εἶναι τὸν παθητικὸν νοῦν καὶ φθαρτὸν, ὃν καὶ κοινὸν ὀνομάζουσι, καὶ ἀχώριστον τοῦ σώματος, καὶ διὰ τὴν πρὸς τοῦτο μίξιν τὴν λήθην καὶ τὴν ἀπάτην γίνεσθαι, φησὶν ὁ Θ., ἄλλον δὲ τὸν ὥσπερ συγκείμενον ἐκ τοῦ

Digitized by Google

δυνάμει καὶ ἐνεργείᾳ, ὃν καὶ χωριστὸν εἶναι τοῦ σώματος τιθέασι καὶ ἄφθαρτον καὶ ἀγέννητον, καὶ πῶς μὲν δύο φύσεις τούτους τοὺς νοῦς πῶς δὲ μίαν. ἓν γὰρ τὸ ἐξ ὕλης καὶ εἴδους. (Themist. de an. 91.)

Fr. LVII b.

Οὗ καὶ αὐτοῦ Θ. ἐν τῷ περὶ τῶν Ποσαχῶς μέμνηται, οἷον ἐπίστασθαι πᾶν τρίγωνον ὅτι δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας· ἢ γὰρ ὡς καθόλου ἢ ὡς καθ' ἕκαστα πάντα. (Alex. in Arist. Top. p. 266b Bk.)

Fr. LVII c.

Διόπερ ὀρθῶς ὁ Θ. τὴν μὲν καθ' ἕκαστα ὡρισμένην καλεῖ, τὴν δὲ μερικὴν ἀδιόριστον· καὶ ἀντιδιαιρεῖται πρὸς μὲν τὴν ἁπλῶς καθόλου ἡ καθ' ἕκαστα, πρὸς δὲ τὴν καθόλου ὡς καθόλου ἡ μερική. (Ammon. in Arist. de interpr. p. 113b Bk. Conf. Boeth. in Arist. de int. I. 340.)

Fr. LVII d.

Ἐμνημόνευσε τοῦ οὕτως ἀδιορίστου καὶ Θ. ἐν τῷ περὶ Καταφάσεως· τὸ γὰρ εἶναί τι τούτων καὶ τὸ ἕτερον εἶναι ἀδιάριστα λέγει, τὸ μὲν εἶναί τι τούτων, ὅτι καὶ πάντων ὄντων ἀληθὲς καὶ τῶν μὲν ὄντων τῶν δὲ μή· τὸ δὲ τὸ ἕτερον εἶναι, ὅτι καὶ τοῦτο ἀληθὲς καὶ ἀμφοτέρων ὄντων καὶ τοῦ ἑτέρου μόνου. (Alex. in Arist. Anal. pr. p. 152b Bk.)

Fr. LVII e.

Φησὶν ὁ Θ. ὅτι ἐπί τινων, ἐὰν μὴ ὁ προδιορισμὸς ᾖ καὶ ἐπὶ τοῦ κατηγορουμένου, ἡ ἀντίφασις συναληθεύσει, οἷον, φησὶν, ἐὰν λέγωμεν, Φαινίας ἔχει ἐπιστήμην, Φαινίας οὐκ ἔχει ἐπιστήμην, δύναται ἀμφότερα εἶναι ἀληθῆ. (Schol, ap. Waitz, Organ I. 40.)

Digitized by Google

Fr. LXIII b.

Θ. δὲ καὶ ταύτην (τὴν ἀποφατικὴν ἐνδεχομένην) ὁμοίως ταῖς ἄλλαις ἀποφατικαῖς φησὶν ἀντιστρέφειν. (Alex. in Arist. Anal. pr. p. 150 Bk.)

Fr. LXIII c.

Θ. μέντοι καὶ Εὔδημος . . . ἀντιστρέφειν φασὶ καὶ τὴν καθόλου ἀποφατικὴν αὑτῇ, ὥσπερ ἀντέστρεφε καὶ ἡ ὑπάρχουσα καθόλου ἀποφατικὴ καὶ ἡ ἀναγκαία. (Alex. ibid. p. 166 b Bk.)

Fr. LXIII d.

Λέγει (Ἀριστοτέλης) ὅτι ἐν ταῖς τοιαύταις προτάσεσιν αἵ δυνάμει τοὺς τρεῖς ὅρους ἐν ἑαυταῖς ἔχουσιν, ὁποῖαί εἰσιν οὓς ἐξέθετο νῦν, ὁποῖαί εἰσιν αἱ κατὰ πρόσληψιν ὑπὸ Θεοφράστου λεγόμεναι· αὗται γὰρ τοὺς τρεῖς ὅρους ἔχουσί πως· ἐν γὰρ τῇ καθ' οὗ τὸ Β παντὸς κατ' ἐκείνου καὶ τὸ Α παντός, ἐν τοῖς δύο ὅροις, τῷ τε Β καὶ τῷ Α, τοῖς ὡρισμένοις ἤδη πως περιείληπται καὶ ὁ τρίτος, καθ' οὗ τὸ Β κατηγορεῖται, πλὴν οὐχ ὁμοίως ἐκείνοις ὡρισμένος φανερός. ἐν δὴ ταῖς τοιαύταις προτάσεσι αἳ τῇ λέξει μόνον τῶν κατηγορικῶν διαφέρειν δοκοῦσιν, ὡς ἔδειξεν ἐν τῷ περὶ Καταφάσεως Θ. . . . ὁ μέντοι Θ. ἐν τῷ περὶ Καταφάσεως τὴν καθ' οὗ τὸ Β, τὸ Α, ὡς ἴσον δυναμένην λαμβάνει τῇ καθ' οὗ παντὸς τὸ Β, κατ' ἐκείνου παντὸς τὸ Α. (Alex in Arist. Anal. pr. p. 184 Bk.)

Fr. LXIII e.

Δόξουσι γὰρ οἱ δι' ὅλων ὑποθετικοί, οὓς Θ. κατὰ ἀναλογίαν λέγει, οἷοί εἰσιν οἱ διὰ τριῶν λεγόμενοι, μηκέτι ὑποπίπτειν τῇ διὰ τῆς ἐκλογῆς δείξει. λέγει

Digitized by Google

δὲ αὐτοὺς ὁ Θ. κατὰ ἀναλογίαν, ἐπειδὴ αἵ τε προτάσεις ἀνάλογοι καὶ τὸ συμπέρασμα ταῖς προτάσεσιν· ἐν πᾶσι γὰρ αὐτοῖς ὁμοιότης ἐστίν. ἢ οὐδὲ συλλογισμοὶ κυρίως καὶ ἁπλῶς ἐκεῖνοι, ἀλλὰ τὸ ὅλον τοῦτο, ἐξ ὑποθέσεως συλλογισμοί· οὐδὲν γὰρ εἶναι ἢ μὴ εἶναι δεικνύουσι. (Alex. in Arist. Anal. pr. p. 178b Bk.)

Fr. LXX b.

Δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι Θ. τὰ περὶ ταὐτοῦ προβλήματα ὑποτάσσει τοῖς γενικοῖς, ὥσπερ καὶ τὰ ἀπὸ τῶν διαφορῶν· λέγει γὰρ 'καὶ τὴν διαφορὰν καὶ τὴν ταὐτότητα γενικὰ θῶμεν.' (Alex in Arist. Top. p. 257 Bk.)

Fr. LXX c.

Ὅτι δὲ λέγεται (τὰ πρός τι) πρὸς ταῦτα ἐν οἷς ἔστιν, ὑπὸ μὲν Θεοφράστου ἐν τῷ β τῶν Τοπικῶν οὕτως εἴρηται· 'ὧν μὲν γὰρ ἕκαστα λέγεται, καὶ ὑπάρχει τούτοις, ὥσπερ ἡ συμμετρία καὶ ἡ ἕξις καὶ ἡ σύνθεσις· μνήμη δὲ καὶ ὕπνος καὶ ὑπόληψις οὐδενὶ τῶν ἀψύχων, οὐδὲ ἡ ἑτέρου κίνησις ἄλλῳ· διὸ δὴ καθ' ἕκαστον διοριστέον.' (Alex. in Arist. Metaph. p. 719b Bk.)

Fr. LXX d.

Κατὰ γὰρ τὸν Θ. γνώμη ἐστὶ καθόλου ἀπόφανσις ἐν τοῖς πρακτέοις· εἰσὶ δὲ τούτων αἱ μὲν παράδοξοι αἱ δὲ ἔνδοξοι αἱ δὲ ἀμφισβητούμεναι. (Gregor, Corinth. ad Hermog. VII, 1154 Walz.)

Fr. LXXXVI b.

Οὐ γάρ, εἴ τις, ὡς Θ. λέγει, γευσάμενος τῆς ἀμβροσίας ἐπιθυμεῖ αὐτῆς, μέμφεσθαι ἄξιον, ἀλλ' εἴ τις

Digitized by Google

σφοδρῶς ἡττᾶται τῶν ἡδονῶν ὡς οἱ πολλοί. (Aspasii Schol. in Ar. Eth. Classical Journal XXIX, 45.)

Fr. LXXXVI c.

Καὶ τὸν Ἀναξαγόραν αἰτιᾶται ὁ Θ. ἐν Ἠθικοῖς λέγων ὅτι ἐξελαύνει ἡδονὴ λυπὴν ἐναντίαν οἷον ἀπὸ τοῦ διψᾶν. (Olymp. in Plat. Phileb. 269 Stallb.)

Fr. LXXXVI d.

Φυόμεναι γὰρ ἐν τοῖς τηλικούτοις αἱ ἀρεταὶ καὶ βλαστάνουσαι τό τε κατορθούμενον, ὥς φησι Θ., ἐπιβεβαιοῦνται τοῖς ἐπαίνοις καὶ τὸ λοιπὸν αὔξονται μετὰ φρονήματος ἐπαιρόμεναι. τὸ δὲ ἄγαν πανταχοῦ μὲν ἐπισφαλές. (Plut. Agis. c. 2.)

Fr. LXXXVI e.

Θ. ἐρωτηθεὶς ὑπό τινος, τί συνέχει τὸν ἀνθρώπων βίον, ἔφη, εὐεργεσία καὶ τίμη καὶ τιμωρία. (Stob. Eclog. 48, 72.)

Fr. LXXXVI f.

Μεῖζον δὲ τὸ τὸν πλοῦτον ἄζηλον, ὥς φησι Θ., καὶ ἄπλουτον ἀπεργάσασθαι τῇ κοινότητι τῶν δείπνων καὶ τῇ περὶ τὴν δίαιταν εὐτελείᾳ. (Plut. Lycurg. c. 10. Cf. Plut. de cupidit. divit. p. 527.)

Digitized by Google

ΠΡΙΣΚΙΑΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΛΥΔΟΥ

ΜΕΤΑΦΡΑΣΙΣ ΤΩΝ ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΣ ΚΑΙ ΦΑΝΤΑΣΙΑΣ.

Περὶ αἰσθήσεως.

Capita versionis Ficini. Περὶ αἰσθήσεως αὐτῷ ὁ σκόπος ἐφεξῆς. ἐπεὶ 273 ed Basil. 1541.
δὲ ὑπὸ τῶν αἰσθητῶν κινούμενα τὰ αἰσθητήρια ἐξομοιοῦσθαι τοῖς αἰσθητοῖς τῷ πάσχειν βούλεται ὁ Ἀριστοτέλης, ζητεῖ τίς ἡ ὁμοίωσις. καὶ γὰρ ἐπὶ τῶν αἰσθητηρίων καὶ ἔτι μᾶλλον ἐπὶ τῆς ψυχῆς ἄτοπον φαίνεται τὸ χρώματι καὶ χυμοῖς καὶ ψόφῳ καὶ μορφῇ ἐξομοιοῦσθαι δύνασθαι. λέγει μὲν οὖν καὶ αὐτὸς κατὰ τὰ εἴδη καὶ τοὺς λόγους ἄνευ τῆς ὕλης γίνεσθαι τὴν ἐξομοίωσιν. ἐπεξεργαστέον δὲ πότερον ἔξωθεν τὸ εἶδος καὶ ποῖον καὶ ποῦ ἐπιφαινόμενον, καὶ εἰ πρὸς γνῶσιν ἱκανὸν τὸ περὶ τοῖς σώμασιν μεριζόμενον καὶ εἰς ἓν οὐ συναιρούμενον, κατὰ τὴν εἰς ἓν συναίρεσιν καὶ τὴν ἀμέριστον τοῦ γνωστοῦ παντὸς περίληψιν
2 ἁπάσης ἱσταμένης γνώσεως. ἐνεργεῖν μὲν οὖν κατὰ τὸ εἶδος τοῦ γνωστοῦ ἀνάγκη τὸ γινῶσκον καὶ τὸν ἐκείνου προβεβλῆσθαι χαρακτῆρα, καὶ τοῦτο ἐξομοίωσις· πάθημα δὲ τοῦ αἰσθητηρίου προηγεῖσθαι ἀνάγκη τῆς αἰσθήσεως. οὐ γὰρ παντελῶς οὖσα χωριστὴ σωμάτων δύναμις ἡ αἴσθησις ἀλλ' ἐν τῇ πρὸς τὰ αἰσθητήρια οὐσιωμένη νεύσει καὶ τοῦ ζώου οὖσα συμπληρωτική, οὐδὲ ἐνεργεῖν ἄνευ αὐτῶν οἷα τε· οὐ μὴν οὔτε προηγουμένως αὕτη ἐγειρομένη συγκινεῖ τὸ ὄργανον, ὡς ἡ φαντασία, διὰ τὸ ἐπὶ πολὺ κατατετα-

Digitized by Google

μένον καὶ διὰ τὴν ὅλην περὶ τὰ ἐκτὸς ἀπόστασιν, καὶ
παρόντων καὶ αὐτῶν δεῖσθαι τῶν αἰσθητῶν· τὰ μὲν
οὖν φανταστὰ οὐκ ἐκτὸς, εἰ καὶ τῶν ἔξω ἐστὶν ἀφο-
μοιώματα, τὰ δὲ αἰσθητὰ ἔξω· τούτων γὰρ ἡ αἴσθη-
σις ἀλλ' οὐχὶ τῶν ἐν τοῖς αἰσθητηρίοις παθῶν, σὺν
δὲ τούτοις τῶν ἐν τοῖς σώμασιν εἰδῶν ἀντιλαμβάνεται.
πάσχει δὲ ὑπὸ τῶν αἰσθητῶν τὰ αἰσθητήρια οὐχ ὡς 3
ἄψυχα ἀλλὰ ζῶντος σώματος τὸ πάθος· διὸ οὐδὲ πάθος τὸ
ὅλον οὐδὲ ἔξωθεν πάντα ἀλλὰ καὶ κατ' οἰκείαν ἐνέρ-
γειαν. καὶ οὐ κινεῖται μὲν πρότερον ἐνεργεῖ δὲ ὕστε-
ρον, ἀλλ' οὐδὲ κινεῖται ὅλως εἰ μὴ ἅμα ἐνεργοίη. οὐ
μὴν οὐδὲ ἐνεργεῖ ἄνευ τοῦ κινεῖσθαι. τὸ δὴ τοιοῦτον
ἐν τοῖς αἰσθητηρίοις κινούμενον ὁμοιοῦται τοῖς τῶν
αἰσθητῶν εἴδεσιν ὡς ἅμα ὑπ' αὐτῶν τε καὶ κατὰ τὴν
πρὸς αὐτὰ τῆς ζωτικῆς ἐν τῷ αἰσθητηρίῳ ἐμφάσεως
διέγερσιν ἐγγινόμενον. ἀλλ' οὔπω τοῦτ' αἴσθησις τὸ
ἐν τῷ αἰσθητηρίῳ πρὸς τὰ αἰσθητὰ ὁμοίωμα, πάθημα
ὂν μᾶλλον ἢ ἐνέργημα, καὶ σωματοειδὲς καὶ μεριστὸν
καὶ χρόνῳ παρατεινόμενον καὶ σπεῦδον μὲν εἰς τὸ
εἶδος οὔπω δὲ ὂν ἐν τῷ εἴδει ἀλλ' ἐν κινήσει ἑτέρου·
ἡ δὲ αἴσθησις ἀμερίστως τε τὴν ἀρχὴν καὶ μέσα καὶ
τέλος τοῦ αἰσθητοῦ περιλαμβάνει, καὶ ἐνέργειά ἐστι
καὶ κρίσις τελεία καὶ ἐν τῷ νῦν ἅμα ὅλη καὶ κατὰ τὸ
εἶδος ἤδη τοῦ αἰσθητοῦ ἕστηκε. διὸ οὐκ ἄνευ μὲν
τοῦ ἐν τῷ αἰσθητηρίῳ παθήματος, οὐ μὴν τοῦτο ἡ
αἴσθησις· ὅθεν καὶ πάσχοντες μὲν καθεύδοντές τε
καὶ ἐγρηγοροῦντες ἐνίοτε οὐκ ἐπαισθανόμεθα. δεῖ
τοίνυν μετὰ τὸ πάθημα εἰς εἶδος τελειωθῆναι τὸ τῷ
αἰσθητῷ ὅμοιον· κατὰ γὰρ τὸ τέλειον εἶδος ἡ αἴσθη-
σις ἐπειδὴ κρίνει. τὸ δὲ τοῦ αἰσθητοῦ εἶδος τοῦτο
δὴ οὐκ ἐν τῷ αἰσθητηρίῳ· πάθημα γὰρ καὶ κίνημα
καὶ ἐν μερισμῷ ἀλλ' οὐκ εἶδος. οὐ μὴν οὐδὲ ἐν τῇ

Digitized by Google

ἐμφάσει τῆς ζωῆς τῇ ἐν τῷ αἰσθητηρίῳ ἀπὸ τῆς ψυ-
χῆς ἐνδεδεμένῃ· μετὰ γὰρ πάθους καὶ ταύτης τὸ
ἐνέργημα καὶ κοινόν ἐστιν ἀμφοῖν τὸ κίνημα τοῦ τε
ὀργάνου καὶ τῆς ἐν αὐτῷ ζωῆς. ἀλλ' ἐν ζωῇ μὲν δη-
λαδὴ τὸ εἶδος καθ' ὃ ἡ αἴσθησις, τῇ δὲ κατ' ἐνέργειαν
ἱσταμένῃ, οὐ τῇ χωριστῇ, ἀλλὰ τῇ συμπληρούσῃ τὸ
ζῷον ψυχικῇ ζωῇ, καὶ τῇ ζωτικῇ αὐτῆς προσβολῇ τῇ
4 περὶ τὰ σώματα μεριζομένῃ· ἀλλ' οὐδὲ τοῦτο ἱκανὸν
πρὸς τὴν αἴσθησιν. τὸ γὰρ τελεωθὲν περὶ τὸ αἰσθη-
τήριον κατ' ἐνέργειαν εἶδος, ἅτε περὶ τὸ σῶμα μερι-
ζόμενον καὶ εἰς ἓν ἀμερὲς οὐκ ἐπιστρεφόμενον, οὐκ
ἔστι γνωστικόν, ἀλλ' ἐστί τις ἐν τῇ ψυχῇ προειλημμέ-
νος τῶν αἰσθητῶν λόγος ὃς ζῇ καὶ καθ' ἑαυτὸν καὶ
οὐ μόνον ἐστὶ τοῦ συνθετοῦ· διὸ καὶ ἀμερίστως
ἐνεργεῖ καὶ δύναμις ὑπάρχει τῶν κατὰ τὸ μέρος, ἀλλ'
οὐχ ὡς ἕν τι μεριστὸν εἶδος ἐγγίνεται, λόγος τε γνω-
στικὸς τῶν αἰσθητῶν ἐν ψυχῇ ὑφεστὼς ἀλλ' οὐκ ἐν τῷ
σώματι ἱδρυμένος· εἷς μέν, ἀλλ' οὐχ ὡς τὰ ἄτομα,
τὸ δὲ ἓν ἔχων περιληπτικὸν τῶν πολλῶν καὶ ἑκάστῳ
αὐτῶν ἐφαρμόζων· τῷ γὰρ ἑνὶ ‖ τοῦ λευκοῦ λόγῳ 274
πάντων αἰσθάνεται ἡ ψυχὴ τῶν κατὰ μέρος λευκῶν·
δεῖ τοίνυν τὸν τοιοῦτον προβληθῆναι λόγον εἰ μέλλει
γίνεσθαι αἴσθησις· προβάλλεται δὲ ὥσπερ οἰκεῖον
καὶ ζωτικὸν εἶδος διεγειρόμενος καὶ τούτῳ συναρμο-
ζόμενος τῷ ὁμοιώματι τοῦ ἐκτὸς εἴδους καὶ σὺν αὐτῷ
ἐνεργῶν· τὸ γὰρ κρῖνον ὁ λόγος καὶ ἡ σύνεσις κατὰ
τὴν αἰσθητικὴν ψυχὴν καὶ ἡ εἰς τὸ ἀμερὲς συναίρεσις
5 ἐν τῇ χωριστῇ σωμάτων ὑποστάσει. οὐκοῦν ἔχει τὸ
τοῦ αἰσθητοῦ εἶδος ἡ ψυχὴ τῷ τὸν λόγον αὐτοῦ προ-
βάλλειν, ἀλλ' οὐχ ὡς ἀπ' αὐτοῦ μορφήν τινα ἢ τύπω-
σιν ὡς ἀπὸ σφραγῖδος δεχομένη. ἡ γὰρ κρίσις καὶ ἡ
ἐνέργεια ἔνδοθεν καὶ ζωτική· ὁ μὲν οὖν λόγος ἔνδον

Digitized by Google

καὶ οὐσιώδης τῆς ψυχῆς, ἡ δὲ τοῦ ζώου συμπληρωτικὴ
ζωὴ ἀπὸ μὲν τῶν οὐσιωδῶν ἠρτημένη λόγων, κατὰ
δὲ τὴν πρὸς τὸ σῶμα τάσιν ὑφισταμένη αἰσθητικὴ καὶ
ἥδε καὶ ὅρος καὶ τελειότης τοῦ ζώου. διὸ ἐν ταύτῃ
τὸ τοῦ αἰσθητοῦ ὁμοίωμα τελειωθὲν, ἐν δὲ τῷ αἰσθη-
τηρίῳ ἀτελὲς καὶ συμμιγὴς πάθει καὶ ἡ ἐνέργεια·
καὶ τὸ μὲν πάθος ἔξωθεν ἡ δὲ ἐνέργεια ἀπὸ τῆς ζωῆς·
καὶ τὸ μὲν εἶδος ἐν τῇ τοῦ ζώου ζωῇ, ἡ δὲ κρίσις καὶ
ἡ σύνεσις ἐν τῇ τοῦ λόγου ἐνεργείᾳ. πῶς οὖν ὁμοι- 6
οῦται αἰσθητοῖς ἡ ψυχή; οὐ τῷ δέχεσθαί τι ἀπ' αὐτῶν,
ἀλλὰ τῷ κατὰ τὸν λόγον αὐτῶν ἐνεργεῖν δι' ἐμφάσεως
τῶν ἐκτὸς εἰδῶν. πῶς οὖν ἅμα πλείοσι καὶ τοῖς ἐναν-
τίοις ἐνίοτε ὁμοιοῦται; ἐπεί τοι πάσχειν οὐχ οἷόντε
ἅμα τὰ ἐναντία, ἐνεργεῖν δὲ δυνατόν· ἡ δὲ αἴσθησις
κατ' ἐνέργειαν καὶ κρίσιν ἀλλ' οὐ κατὰ πάθος· κατὰ
γὰρ τὸν λόγον ἡ αἴσθησις τὸ δὲ πάθος ἐν τῷ αἰσθη-
τηρίῳ· σῶμα δὲ ὂν καὶ μεριστὸν τὸ αἰσθητήριον καὶ
αὐτὸ κατὰ διάφορα μέρη πλείω ἅμα καὶ τἀναντία ἔχειν
οὐκ ἀδύνατον. ὁ λόγος δὲ ἐν ἀμερεῖ ἅμα τἀναντία
καὶ τὰ διάφορα ὅσα ἂν ᾖ συλλαβὼν ἐνεργεῖ, διὸ καὶ
τὴν ἑτερότητα αὐτῶν κρίνει ὡς ἅμα τῶν πλειόνων ἐν
ἀμερεῖ ἐφαπτόμενος. ὅταν οὖν καὶ ὁ Θεόφραστος τὴν 7
ὁμοίωσιν βούληται γίνεσθαι κατὰ τὰ εἴδη καὶ τοὺς
λόγους ἄνευ τῆς ὕλης ἀποδεξώμεθα, ἀλλ' οὐκ ἔξωθεν
ἁπλῶς ἐγγινόμενα, ἀπὸ δὲ τῶν ἔνδον λόγων ἐν τῇ
ζωῇ κατ' ἐνέργειαν ἱστάμενα αἰσθητικήν. τῷ μέντοι
πρὸς τὰ ἐκτὸς ἀποτείνεσθαι καὶ ἐκείνοις ἀφομοιοῦσθαι
εἰκότως ἄρα καὶ δύναμις νομίζεται ἡ αἴσθησις ὡς
ἐπιφέρουσα τὰς ἐνεργείας. ἐπὶ μὲν οὖν τῆς ψυχῆς
κατ' ἐνέργειαν τοῦ λόγου ἡ ὁμοίωσις, ἐπὶ δὲ τοῦ αἰσθη-
τηρίου κατὰ τὴν ἀπὸ τοῦ αἰσθητηρίου πάθην ἅμα
καὶ ζωτικὴν ἐνέργειαν. πῶς οὖν ἅμα ὑπό τε τοῦ 8

Digitized by Google

πικροῦ καὶ τοῦ γλυκέος πάσχει; οὐ γὰρ μέρει μέν τινι τῆς γλώττης τόδε, φησί, μέρει δὲ θάτερον ἀλλὰ τῷ αὐτῷ· καὶ ἐπὶ τῆς ἀκοῆς δὲ ὁμοίως, εἰ ἄρα καὶ διελεῖν ἔστι τὴν ἀκοήν· ἢ εἴτε ἡ γλῶττα τὸ γευστικὸν αἰσθητήριον εἴτε πνεύματα ἐν τῇ γλώττῃ μεριστὸν πάντων ὂν σῶμα, ἑτέρῳ μὲν μορίῳ ἄλλο ἑτέρῳ δὲ ἄλλο τι πάσχειν οὐκ ἀδύνατον· ὡς ἐναργὲς τοῦτο γίνεται ἐκ τῆς ἁφῆς· θερμαίνεσθαι γὰρ κατὰ ἄλλο μόριον καὶ ψύχεσθαι κατὰ ἄλλο τῷ αὐτῷ χρόνῳ δυνατόν· καὶ τὸ αἰσθητικὸν δὲ τῆς ἀκοῆς πνεῦμα μεριστόν δηλαδή. ὁ δὲ λόγος εἴρηται ὡς ἀμερὴς μὲν ἐνεργεῖν δὲ ἅμα τἀναντία οὐ κωλύεται· πάσχειν γὰρ οὐχ
9 οἷόντε κατὰ τὸ αὐτὸ τὰ ἐναντία. ἀλλ' ἡ μὲν θερμότης ὡς δύναμις φυσικὴ δρῴη ἂν εἰς τὸ αἰσθητήριον, ἡ δὲ μορφὴ καὶ ὁ τύπος καὶ ἡ κίνησις καὶ ὁ ἀριθμὸς πῶς ἐξομοιοῖ; ἢ καὶ ταῦτα ἔχειν τι δραστήριον ἐροῦμεν δρᾶν δὲ μᾶλλον εἰδ[ητ]ικῶς· ὡς τὴν θερμότητα καὶ τὰς συστοίχους αὐτῇ δυνάμεις σωματοειδέστερον καὶ διὰ τοῦτο πληκτικώτερον καὶ παθητικώτερον. εἰ μὴ ἄρα καὶ τὰ μὲν ἴδια αἰσθητὰ ἑκάστης αἰσθήσεως ἐνεργεστέραν ἔχει τὴν ἐνέργειαν τὰ δὲ κοινὰ ἀμυδροτέραν, τὰ μὲν προσεχῆ ὡς οἰκεῖα τὰ δὲ πορρωτέρω. καὶ ἴσως ὡς κρείττω τὰ κοινὰ οὐχ ὡσαύτως ἐστὶν τῇ αἰσθήσει σύμμετρα. ἀλλ' ὅμως αἰσθητὰ τὰ κοινὰ καὶ οὐ μόνῃ τῇ διανοίᾳ γνωρίζεται. εἰς ἔνιά γε μὴν ἐκ τῶν αἰσθητῶν ἡ διάνοια ἀναγομένη αὐτὴ καθ' αὑτὴν λογίζεται οὐκ ἔτι ὄντα τῇ αἰσθήσει καταληπτά· ὡς ὅταν τὴν οὐσίαν γνωρίζῃ τῶν αἰσθητῶν. εἰ δὲ καὶ χρόνου καὶ ἀριθμοῦ μὴ ἀντιλαμβάνεται ἡ αἴσθησις καὶ τούτων ἔσται ἡ διάνοια ἀπὸ τῶν
10 αἰσθητῶν ἀναπεμπομένη γνωριστική. ἀλλ' εἰ καθ' ὁμοίωσιν ἡ γνῶσις, πῶς μὴ πάσχουσα ἀπὸ τῶν ἐν

Digitized by Google

τοῖς αἰσθητοῖς ὁμοιοῦται πρὸς αὐτὰ ἡ διάνοια; εἰ δὲ
πάσχει ὁποῖον αὐτῆς τὸ πάθος; ἢ οὐ κατὰ πάθος οὐδὲ
ἡ αἰσθητικὴ, ὡς ἐλέγομεν, κρίσις, οὔπω λέγω ἡ δια-
νοητικὴ σύνεσις, ἀλλὰ κατ᾽ ἐνέργειαν καὶ λόγων προ-
βολήν; ὡς δὲ ἀπὸ τοῦ ἐν τῷ αἰσθητηρίῳ ‖ πάθους
εἰς εἶδος τελειουμένου ὅμοιον τῷ αἰσθητῷ ὁ τῶν
αἰσθητῶν προβάλλεται λόγος, ὡς οἰκείῳ τῷ αἰσθητῷ
συναρμοζόμενος, εἴτε καὶ πρὸς οἰκεῖον συμμέτρως
ἐγειρόμενος, οὕτω καὶ ὁ τῶν αἰσθητῶν ποιοτήτων
κριτικὸς λόγος τὴν τῆς οὐσίας τῶν αἰσθητῶν γνωρι-
στικὴν κινεῖ δύναμιν, οἰκείως κατὰ τὴν τῶν αἰσθητῶν
ποιοτήτων πρὸς τὴν οὐσίαν ἀφ᾽ ἧς προέρχονται οἰκει-
ότητα. ἐπειδὴ ὑπὸ μὲν τῶν ἰδίων αἰσθητῶν ἐνα- 11
μένως πλήττεται τὸ αἰσθητήριον, τῶν δὲ κοινῶν οὐ
πρώτως ἀλλὰ δευτέρως ἡ καθ᾽ ἕκαστα ἀντιλαμβάνεται
αἴσθησις· πρώτως γὰρ χρώματος ἡ ὄψις, δευτέρως
δὲ μεγέθους καὶ κινήσεως. δόξειεν ἂν (οὖν) τὰ κοινὰ
μᾶλλον εἶναι ψυχῆς καὶ οἱονεὶ κατὰ συμβεβηκὸς γινώ-
σκεσθαι ὑπὸ τῆς αἰσθήσεως τὰ κοινά· ἀλλ᾽, ὡς εἴρηται,
δευτέρως αὐτὸ δὴ τοῦτο γνωρίζεται ὑπὸ τῆς αἰσθή-
σεως, ἀλλ᾽ οὐχ ὑπὸ μόνης τῆς διανοίας. τοῦ δὲ ἄχρου
καὶ τοῦ ἐσκοτισμένου ἡ ὄψις καὶ τῆς σιωπῆς ἡ ἀκοὴ
συναισθάνεται οὐ κατ᾽ ἐπέρεισιν, ἀλλ᾽ αὐτῷ τῷ κωλύε-
σθαι τὴν ἐνέργειαν ἐν τῷ πειρᾶσθαι κρίνει ἡ αἴσθησις
τὸ ἐλλιπὲς αὐτῶν καὶ διιστάμενον τῷ μὴ ἐφαρμόζειν
τὸν λόγον γνωρίζουσα, τοῦ δὲ αἰσθητηρίου καὶ παρα-
τρεπομένου πως διὰ τὸ πάσχειν ὑπὸ τοῦ αἰσθητοῦ.
τοιοῦτος μὲν οὖν ὁ κοινὸς περὶ αἰσθήσεως λόγος. περὶ 12
δὲ τῶν κατὰ μέρος αἰσθήσεων, οἷον ὄψεως ἀκοῆς καὶ
τῶν λοιπῶν, ἐκεῖνο τέως διοριστέον ὡς οὐ μία οὖσα,
καθάπερ τινές φασιν, ἡ αἴσθησις εἰδοποιεῖται διαφό-
ρως ὑπὸ τῶν μετεχόντων ὀργάνων· οὐ γάρ ἐστι προη-

Digitized by Google

γουμένη τῆς τῶν δυνάμεων διαφορᾶς ἡ τῶν ὀργάνων ἑτερότης, οὐδὲ κυρία τοῦ μερίζειν τὰς δυνάμεις, ἀλλ' αὐτὴ ἡ αἴσθησις μία οὖσα καθ' αὑτὴν καὶ εἰς πέντε μεμέρισται [εἰς] τὰς τῶν καθ' ἕκαστα αἰσθητῶν διαγνώσεις, καὶ τῇ τῶν αἰσθητῶν διακρίσει καὶ ἡ τῶν ὀργάνων ἐπηκολούθησε διαφορά τις οἰκείως πρὸς ἑκάστην συναρμοζομένη· τοῦ γὰρ ὑλικοῦ καὶ ὀργανικοῦ μερισμοῦ προηγεῖται ἡ εἰδικὴ καὶ ἐν τοῖς χρωμένοις
13 [ὡς] κυριωτέρα ἑτερότης. ἀλλὰ τί τὸ ὁρᾶν ἢ ἀκούειν ἢ ὀσφραίνεσθαι; καὶ πότερον διὰ μέσου πᾶσαί τινος, ὡς ἡ ὄψις διὰ τοῦ διαφανοῦς, ἢ ἔνιαι ἀμέσως ἐφάπτονται τῶν αἰσθητῶν; καὶ τί τὸ διαφανές; οἶμαι τοίνυν οὔτε κατ' εἰσδοχὴν ἀποτελεῖσθαι τὴν ὄψιν, ὡς μορφουμένην ὑπὸ τῶν αἰσθητῶν κατά τινα ἀπ' αὐτῶν ἀπορροήν, οὔτε κατὰ ἐκπομπήν, ὡς σώματός τινος ἐκπεμπομένου καὶ θιγγάνοντος τῶν αἰσθητῶν· οὔτε τὰ μὲν χρώματα τοῦ διαφανοῦς εἶναι κινητικὰ ὡς οἷον μορφοῦντα αὐτό, τὸ δὲ διαφανὲς τῆς ὄψεως, ἀλλὰ δραστήριον ἔχοντα τὰ εἴδη δύναμιν δρᾶν ἕκαστα εἰς τὸ παθεῖν ἐπιτήδειον οὐκ ἐφαπτόμενα πάντως ἀλλὰ καὶ εἰς τὰ διεστῶτα, ἕως ἂν σύμμετρος ᾖ τοῖς μὲν εἰς τὸ ποιῆσαι τοῖς δὲ εἰς τὸ παθεῖν ἡ διάστασις. διὰ γὰρ τὸ σωματικὸν εἶναι καὶ ἔν τινι κατέχεσθαι καὶ τόπῳ περιγράφεσθαι οὐκ εἰς τὸ ὁπουδήποτε ὂν ἐνεργεῖ, ἀλλὰ εἰς τὸ συμμέτρως τῇ τε δραστικῇ τῶν ποιούντων δυνάμει καὶ τῇ τῶν πασχόντων ἐπιτηδειότητι διεστὸς, καὶ ἔτι πρὸς τὸ μέτρον τῆς πείσεως· οἷον δρᾷ τὸ ὁρατὸν εἰς τὸ τῆς ὄψεως αἰσθητήριον ἀπό τινος διαστήματος ὅσον ἂν σύμμετρον ᾖ τῷ τε ὁρῶντι καὶ τῷ ὁρωμένῳ, τῷ μὲν εἰς τὸ παθεῖν τῷ δὲ εἰς τὸ ποιῆσαι. ἀλλ' ἐπεὶ οὐχ ἁπλῶς ἡ τοῦ ὁρατικοῦ ὑπὸ τοῦ ὁρατοῦ πεῖσις ποιεῖ τὴν αἴσθησιν — παραποδίζει γὰρ ἡ

Digitized by Google

ὑπερβάλλουσα διὰ τὸ ἀσύμμετρον πρὸς τὸ μέτρον τῆς πείσεως καθ' ἣν αἴσθησις — καὶ τῆς διαστάσεως δεῖ· ὅθεν τὰ σφόδρα λαμπρὰ ἔγγιον τοῦ μέτρου γινόμενα ἐμποδίζειν καὶ τελέως κωλύειν εἰς τὴν ὅρασιν. ἐπεὶ δὲ οὐ μόνον ἐν τῷ πάσχειν τὸ αἰσθητήριον ἀλλὰ ἐν τῷ ἐνεργεῖν, ὡς ἤδη εἴρηται, ἡ αἴσθησις ἐπιτελεῖται, ἐνεργήσει καὶ τὸ ὁρῶν περὶ τὸ ὁρώμενον, οὐκ ἀλλοιοῦν αὐτὸ οὐδὲ πάθος τι ἐμποιοῦν, ἀλλὰ κριτικῶς περὶ αὐτὸ ἐνεργοῦν· οὐ γὰρ ὡς σῶμα ἀλλ' ὡς ζωτικὸν καὶ ὁρατικὸν ἐνεργεῖ. διότι γε μὴν ἐν σώματι ἡ τοιάδε ζωὴ καὶ ἡ γνωστικὴ αὐτὴ δύναμις, καὶ οὐκ ἐν αὐτῷ αἰτιωδῶς ὡς ἡ οὐρανία τὰ αἰσθητὰ περιέχουσα, ἀλλὰ κατὰ τὴν πρὸς αὐτὰ τελειοῦται ἀπόστασιν, δεῖται καὶ αὕτη συμμέτρου τῆς συναπτούσης αὐτὰ διαστά-
σεως. καὶ ταῦτα μὲν κοινὰ καὶ ἀκοῆς καὶ εἴ τις ἄλλη 14
μὴ θιγγάνειν ἀναγκάζεται τοῦ οἰκείου αἰσθητοῦ. ἐπὶ δὲ τῆς ὄψεως ἐξαίρετος ἡ τοῦ φωτὸς χρεία ἀμφοτελειοῦντος καὶ τὸ ὁρῶν εἰς τὸ ὁρᾶν καὶ τὸ ὁρατὸν εἰς τὸ ὁραθῆναι· οὐδὲ γὰρ τὸ ὁρατὸν δράσει ἄν τι εἰς τὸ ὁρατικὸν ἄνευ φωτός, οὐδὲ τὸ ὁρῶν ἐνεργήσει ἂν περὶ τὸ ὁρατόν. φωτοειδὲς γὰρ ὂν καὶ τὸ ὁρατικὸν ἡμῶν,
276 ὡς περιφανῶς τοῦτο ‖ ἔνια τῶν ζώων ἐπιδείκνυσι προλάμποντα τὰ ἀφ' ἑαυτῶν ὁρώμενα διὸ καὶ νυκτὸς ὁρᾶν δύναται, καὶ τὰ χρώματα δὲ, περὶ τὰ πέρατα τοῦ διαφανοῦς τῶν ὡρισμένων σωμάτων θεωρούμενα, ὑπὸ τοῦ φωτὸς εἰκότως ἄμφω τελειοῦται, ἀμυδρότερον ἔχοντα καθ' ἑαυτὰ τὸ φωτοειδὲς ὡς πρὸς τελείαν τὴν πρὸς ἄλληλα ἐνέργειαν· διὸ καὶ τοῦ ἔξωθεν δεῖται φωτὸς καὶ τὸ ὁρατικὸν ὡς φωτοειδὲς καὶ τὰ χρώματα ὡς φῶτά τινα ὄντα, ὡς (ἡ) ὑποδοχὴ αὐτῶν δηλοῖ. ταῦτα γὰρ τοῦ διαφανοῦς πέρατα, τὸ δὲ διαφανὲς ἐπιτηδειότης ἐστὶν εἰς ὑποδοχὴν φωτὸς ἢ ἴχνος τι

Digitized by Google

φωτὸς ἀμυδρὸν οὔ ποτε τελειοῦν τὸ μεταξὺ πρὸς τὴν ὄψιν, καὶ τὸ μεταξὺ πρὸς τὴν ὄψιν οὐχ ὡς ἀὴρ ὡς ὕδωρ ἢ ἄλλο τι ἀλλ' ὡς διαφανὲς εἰς ἐνέργειαν ἤδη τελειωθὲν ὑπὸ τοῦ φωτίζοντος καὶ τελειοῦν ἑκάτερον, τό τε ὁρῶν καὶ τὸ ὁρώμενον. ἐπεὶ εἴ γε αὐτὸ τὸ ὁρατὸν οὕτως ἔχει λαμπρότητος ὡς ἱκανὸν αὐτὸ εἶναι τελειοῦν τὴν ὄψιν, καθάπερ τὸ πῦρ καὶ ὅσα ἐν σκότει [καὶ ὅσα] λαμπρὰ ὁρῶμεν, οὐκέτι τὸ μέσον ὡς τελειοῦν ἀλλ' ὡς μόνην τὴν διάστασιν σύμμετρον παρεχόμενόν ἐστι χρήσιμον· τοῖς γὰρ ὀφθαλμοῖς ἐπιτεθὲν τὸ λαμπρὸν οὐχ ὁρᾶται διὰ τὸ μὴ φωτίζεσθαι. πολλὴ οὖν συμβαίνει ἐπὶ τῆς ὄψεως ἡ ποικιλία. καὶ γὰρ ἐκτὸς δοκεῖ προϊέναι διὰ τὸ περὶ τὸ αἰσθητὸν ἐνεργεῖν ἔξω κείμενον, καὶ εἰσδέχεσθαί τι ἀπὸ τοῦ ὁρατοῦ διὰ τὸ πάσχειν τι ὑπ' αὐτοῦ, καὶ διαπορθμεύειν νομίζεται τὸ διαφανὲς καὶ τὸ μεταξὺ ὡς τῷ τε φωτὶ τελειοῦν καὶ τῇ διαστάσει τὸ σύμμετρον παρεχόμενον. προθῶμεν δὲ καὶ ὅσα κοινῇ περὶ πάσης ἐθεωρήσαμεν αἰσθήσεως· τὴν ἐν τῷ αἰσθητηρίῳ τοῦ αἰσθητοῦ ἔμφασιν κατὰ τὴν πεῖσιν ἅμα καὶ τὴν ἐνέργειαν συνισταμένην ἐν τῇ πρὸς τὸ αἰσθητὸν ὁμοιότητι· καὶ τὴν ἔμφασιν εἰς εἶδος τελειουμένην ἐν τῇ κοινῇ τοῦ συνθέτου ζωῇ· καὶ τὸν τοῖς εἴδεσι τούτοις ἐφαρμόζοντα προβαλλόμενον ἀπὸ τῆς αἰσθητικῆς ψυχῆς λόγον καθ' ὃν ἡ κρίσις καὶ ἡ σύνεσις. τοιοῦτος ὁ τρόπος τῆς περὶ ἑκάστην αἴσθησιν θεωρίας, ὃν δεῖ μάλιστα ἐκ τῶν Ἰαμβλίχῳ ἐν τοῖς περὶ ψυχῆς πεφιλοσοφημένων ἀναλαμβάνειν, ἐξ ὧν καὶ νῦν ἡμεῖς ταῦτα συνῃρημένως γεγράφαμεν τὸν τύπον ὑπογράψαι τοῦ ἀκριβοῦς περὶ ἑκάστην θεωρίαν βουλόμενοι· ἐπεὶ οὐ τοῦτο νῦν ἡμῖν πρόκειται ἐπεξιέναι τῇ περὶ αὐτῶν διαρθρώσει, ἀλλὰ τὰ τοῦ Θεοφράστου, εἴ τί τε ἐπὶ πλέον τῆς Ἀριστοτέλους παραδό-

Digitized by Google

σεως προστίθησι συναιρεῖν, καὶ εἴ τι ἀπορῶν προτείνει συνεπεξεργάζεσθαι κατὰ δύναμιν. ἐπὶ οὖν τὰ τοῦ Θεοφράστου ἐπανίωμεν. φαίνεται δὴ καὶ αὐτὸς 16
οὐδεμίαν ἀξιῶν αἴσθησιν αὐτόθεν θιγγάνειν τοῦ αἰσθητοῦ· τὸ γὰρ μὴ κοινὸν, φησὶν, μηδὲ ὅμοιον ἐν τοῖς ὁμογενέσιν οὐκ εὔλογον. ἐπάγει δὲ περὶ τοῦ διαφανοῦς ὡς ἐπιταράξειεν ἄν τινας διὰ τὸ ἀσύνηθες, ὅπως λέγεται ὁρατὸν μὴ καθ' αὑτὸ ἀλλὰ διὰ τὸ ἀλλότριον χρῶμα· ὡσεὶ καὶ γευστόν τι κατὰ ἀλλότριον ἔλεγε τὸν χυμόν. εὐαπόλυτος δὲ ἡ δοκοῦσα ταραχή. ἀλλότριον γὰρ χρώματος φῶς ὡς ἀλλαχόθεν ἧκον ἀπὸ τοῦ φωτίζοντος λέγεται, ἐπεὶ ὥς ὅτι οἰκειότατόν ἐστι τῶν ὁρωμένων τὸ φῶς ὡς τελειοῦν αὐτὰ καὶ εἰς ἐνέργειαν ἄγον. διὸ εἴτε ἔχει ἴδιον χρῶμα τὸ διαφανὲς, τελειοῦται ὥσπερ καὶ τὰ τῶν ἄλλων χρώματα ὑπὸ τοῦ φωτὸς, οὐ γὰρ ἀφαιρεῖται τὰ οἰκεῖα τὸ φῶς ἀλλὰ τοὐναντίον εἰς ἐνέργειαν ἄγει, εἴτε ἄχρουν ἐστὶ καθ' αὑτὸ, ὑπὸ τοῦ φωτὸς οἷον χρωννύμενον τελειοῦται καὶ ὁρατὸν ἀποτελεῖται· τί οὖν ἡ φύσις τοῦ διαφανοῦς; 17
οὐ γὰρ ἀρκεῖ τὸ φάναι ἐνυπάρχειν αὐτὸ ἀέρι καὶ ὕδατι καὶ αἰθέρι καὶ ἔν τισι στερεοῖς. ἀνάγκη δὲ, φησὶν, ἤτοι πάθος ἢ διάθεσιν εἶναι, σῶμα γὰρ οὐχ οἷόντε ἐν σώματι· εἰ δὲ πάθος ἢ διάθεσις, ὑπὸ τίνος, ζητήσομεν· ἢ γὰρ ὑφ' ἑνὸς ἢ ὑπὸ πλειόνων τῶν ἁπλῶν. ἀλλ' οὐχ οἷόν τε. αὐτὰ γὰρ τὰ ἁπλᾶ, ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ, διαφανῆ· κατὰ δὲ τὸ πῦρ καὶ ἡ γῆ μᾶλλον δὲ καὶ τὰ σύνθετα πάντα σώματα ἧπερ πάντα κέχρωσται. τὸ δὲ χρῶμα πέρας τοῦ διαφανοῦς. λέγω δὴ οὐ πάθος οὐδὲ διάθεσιν ὑπό τινος ἐγγινομένην εἶναι τὸ διαφανὲς, ἀλλ' εἶδος ὑπάρχειν συναρμοστικὸν τῶν ἐν γενέσει σωμάτων πρὸς τὴν (τελειότητα καὶ ἐπιτηδειότητα αὐτοῖς πρὸς τὴν) τοῦ φωτὸς καὶ πρὸς τὴν

Digitized by Google

τοῦ σκότους ὑποδοχὴν παρεχόμενον ἢ οὐσιώδως θατέρου μετέχουσιν, ἢ παρὰ μέρος ἀμφοτέρων ἢ κατά τινα μίξιν. τὸ μὲν γὰρ ἐν πυρὶ διαφανὲς οὐσιῶδες ἔχει φῶς, τὸ δὲ ἐν γῇ οὐσιῶδες σκότος, διὸ ὡς φωτουργὸν τὸ πῦρ, οὕτω σκοτοποιὸν ἡ γῆ· ἡ γὰρ στέρησις φωτὸς τὸ σκότος ἀλλ' ἐνέργεια καὶ αὐτό. ἀλλὰ μήποτε κακῶς τὸ διαφανὲς τιθέμεθα εἶναι καὶ ἐν γῇ εἴγε φωτὸς δεκτικὸν τὸ διαφανές; ἢ οὐ κακῶς; οὐ γὰρ φωτὸς μόνον ἀλλὰ καὶ σκότους δεκτικὸν ὡς εἴρηται· ἔπειτα δὲ καὶ ἡ γῆ κέχρωσται ‖ τὸ δὲ χρῶμα πέρας τοῦ ἐν 277
ὡρισμένοις σώμασι διαφανοῦς· ὥστε καὶ ἐν γῇ τὸ διαφανές, οὐ μόνον ὡς σκότους οὐσιωδῶς ἐν αὐτῇ δεκτικόν, ἀλλὰ τούτου μὲν κατὰ τὸ βάθος, κατὰ δὲ τὰ πέρατα καὶ φωτός· καὶ φῶτά τινα τὰ χρώματα, καὶ εἴ γε φωτίζεται καὶ ἡ γῆ κατὰ τὴν ἐπιφάνειαν· τὸ δὲ ἐν ἀέρι καὶ ὕδατι παρὰ μέρος ἀμφοῖν δεκτικόν. ὃ καὶ ἰδικώτερον διαφανὲς προσαγορεύειν εἰώθαμεν. τὸ δὲ ἐν τοῖς συνθέτοις κατὰ σύμμιξιν. οὐ ζητήσομεν οὖν ὑπὸ τίνος τῶν ἁπλῶν τὸ διαφανές· οὐ γὰρ ἀπὸ τῶν στοιχείων ἢ τῶν σωμάτων ὅλως τὰ εἴδη, αὐτὰ δὲ μετέχει τῶν εἰδῶν καὶ χαρακτηρίζεται κατ' αὐτά· καὶ διὰ τοῦτο τὰ μὲν προσδεῖται φωτὸς εἰς τὸ ὁραθῆναι τὰ δὲ οὔ, ὡς πῦρ καὶ τὰ λαμπρὰ ἃ οὐσιωδῶς μετέχει τοῦ φωτινοῦ εἴδους ἀρκούντως οὐ προσ-
18 δεῖται. καὶ πῶς ἐνέργεια τοῦ διαφανοῦς τὸ φῶς ὃ διὰ φωτίζοντος παρατείνεται; ἐκείνου γὰρ ἐνέργεια δόξειεν ἂν μᾶλλον. τοῦτο δὲ ἀπορήσας ἐπιλύεται, ὁμοίως ἔχειν τοῦτο λέγων ὡς ἐν τοῖς ἄλλοις τοῖς πάσχουσιν, ἐκεῖνο ἴσως ἐνδεικνύμενος, ὅτι ὡς ἡ θερμότης τοῦ μὲν πυρὸς ὡς ποιοῦντός ἐστι ἐνέργεια, τοῦ δὲ θερμαινομένου ὡς πάσχοντος, οὕτω καὶ τὸ φῶς τοῦ δεχομένου ὡς πάθημα λέγοιτ' ἂν ἐνέργεια, οὐ

Digitized by Google

κυρίως ἐνέργεια ὀνομαζομένη. διὸ καὶ ἐπάγει μὴ δεῖν ζητεῖν τὰ ὀνόματα ἀλλ' εἰ τὴν φύσιν αὐτοῦ νοοῦμεν ἱκανὸν εἶναι. πρῶτον μὲν οὖν ἐκεῖνο ἀξιῶ διορίζεσθαι ὡς ἕτερον μὲν τὸ αἰτιατὸν φῶς ἕτερον δὲ τὸ τούτου αἴτιον οἷον τὸ ἐν ἡλίῳ ἢ ἐν πυρί. καὶ οὐ περὶ αἰτίου ὁ λόγος ἐν τῇ περὶ τοῦ τί τὸ φῶς ζητήσει, ἀλλὰ περὶ τοῦ ἀπ' αὐτοῦ προϊόντος ὃ δὴ ἐνέργεια εἶναι λέγεται τοῦ διαφανοῦς τοῦ ἐν ἀέρι καὶ ὕδατι καὶ ἐν τοῖς παρὰ μέρος φωτὸς καὶ σκότους δεκτικοῖς. ἔπειτα 19
δὲ τῷ Ἰαμβλίχῳ ἑπόμενος οὔποτε σῶμα τοῦτο εἶναι ἀξιῶ οὔτε μὴν πάθος ἢ ποιότητα σώματος ὁτουοῦν, ὥσπερ οἱ Περιπατητικοί. οὐ γὰρ ἐν τῷ ἀέρι ἔχει τὸ εἶναι φῶς· κινουμένου γοῦν ἐκείνου ἕστηκεν αὐτὸ καὶ τρεπομένου πολυειδῶς αὐτοχειριστῶς ἀποτέτμηται καὶ σώζει τὴν πρὸς τὸ αἴτιον ἀδιαίρετον συνέχειαν. ἀλλὰ καὶ ἡ ἀθρόα αὐτοῦ παρουσία ἐπὶ πάντα τὰ δέχεσθαι αὐτὸ δυνάμενα παρόντος τοῦ ἐλλάμποντος, καὶ αὖθις ἀπελθόντος ἡ ἀθρόα ἀπόλειψις, μηδὲν ἴχνος ἑαυτοῦ καταλείποντος, σημεῖον τὸ μὴ πάθημα εἶναι τοῦ ἀέρος τὸ φῶς· τὰ γὰρ πάθη οἷον ἡ θερμότης οὔτε ἀθρόα ἐγγίνεται, καὶ τοῦ πυρὸς ἀπελθόντος ἀμυδρόν τι ἐγκαταλείπει ἑαυτῆς εἶδος τῷ πεπονθότι· καὶ τὸ μὴ κατὰ διάδοσιν δὲ μηδὲ κατὰ τροπὴν ἐγγίνεσθαι, καὶ τὸ μὴ περιγράφεσθαι μέχρι τινὸς, προϊέναι δὲ ἄχρι παντὸς τοῦ δυναμένου αὐτὸ δέχεσθαι, καὶ τὸ μὴ συγκεῖσθαι ἐν ἀλλήλοις τὰ φῶτα, δηλοῖ ἅπαντα ταῦτα χωριστὴν εἶναι σωμάτων τὴν τοῦ φωτὸς ἐνέργειαν. πῶς οὖν ἐνέργεια λέγεται τοῦ διαφανοῦς; οὐχ ὡς πάθος, φήσω, οὐδὲ ὡς τελειότης αὐτοῦ ἐν ὑποκειμένῳ αὐτῷ γενομένη, ἀλλ' ὡς χωριστῶς αὐτὸ τελειοῦσα, οὐκ αὐτὴ ἐκείνου ἀλλ' ἑαυτῆς ἐκεῖνο ποιουμένη μένουσα, συνεχὴς αὐτὴ τῷ ἐλλάμποντι καὶ ἐκείνῳ συμ-

Digitized by Google

περιαγομένη. τοῦτο μὲν οὖν ὧδε συντόμως ὑπεμνή-
σθη, ἵνα μὴ ὁμοίως ὡς ἐν τοῖς ἄλλοις τοῖς πάσχουσι καὶ
20 τὸ φῶς ἐγγίνεσθαι ὑποπτεύσωμεν. ἀλλ' εἰ ἀσώματον
τὸ φῶς διὰ τί, φησί, πυρὸς ἢ ὅλως σώματος παρουσίᾳ
γίνεται; δόξει γὰρ ἂν ἀπορροή τις εἶναι σωματικὴ καὶ
σῶμα. ὃ δὴ ἐπιλυόμενος, ληπτέον, φησί, οὐ τοῦτον
τὸν τρόπον ἀλλ' ὡς πέφυκεν ἐκεῖνο πάντως, δηλῶν
ὡς εἰδική τις ἐστὶν ἡ τοῦ φωτὸς ἐνέργεια· ἐπεὶ καὶ
ἡ θερμότης ἀπ' εἴδους διὸ οὐ σῶμα. οὐ γὰρ κατὰ
ἀπομερισμὸν ἢ ἀπορροὴν, ἀλλ' ὡς αὐτὸ τοῦτο ἐνέρ-
γεια τοῦ λαμπροῦ εἴδους ἢ ὅτι ποτὲ δεῖ καλεῖν τὸ τοῦ
φωτὸς αἴτιον εἶδος. ἀλλ' εἰ τὸ σκότος ὁρᾶται ἄνευ
φωτὸς, οὐκ ἔσται πᾶσι τοῦ ὁρᾶσθαι τὸ φῶς αἴτιον, ἢ
οὐχ ὁρατὸν, ὡς καὶ αὐτὸς ἐπάγει, τὸ σκότος· οὐ γὰρ
κατ' ἐπέρεισιν αὐτοῦ αἰσθανόμεθα ἀλλὰ κατὰ στέρη-
σιν καὶ τὸ μὴ ὁρᾶν, τὸ δὲ πῦρ καὶ εἰ τοιοῦτον ἐν σκό-
τει ὁρᾶται ὡς αὐτὸ καὶ τοῦ διαφανοῦς αἴτιον καὶ διὰ
τοῦτο οὐ δεόμενον πρὸς τὸ ὁραθῆναι ἐκείνου. τοῦ
μὲν οὖν κατ' ἐνέργειαν διαφανοῦς, τοῦτ' ἐστὶν τοῦ
ἤδη πεφωτισμένου, οὐ δεῖται πρὸς τὸ ὁραθῆναι τὸ πῦρ·
ἐπεὶ δὲ δεῖ τι εἶναι μεταξὺ, οὐ γὰρ κατ' ἐπαφὴν ἡ
ὅρασις, διαφανὲς εἶναι τοῦτο χρὴ, ἵνα μὴ στερεὸν καὶ
ἀντίτυπον ὂν παραποδίζῃ τῷ σκοτοποιῷ ἰδιώματι τὴν
τῶν φωτοειδῶν εἰς ἄλληλα ἐνέργειαν, τοῦ τε πυρός
21 φημι καὶ τοῦ αἰσθητικοῦ ὀργάνου. συμβαίνει δὲ,
φησί, καὶ τοῦ ὁρᾶσθαι τὰ χρώματα χρῶμα τὸ αἴτιον
εἶναι καὶ τοῦ ἁπλῶς τὰ ὁρατὰ τὸ ὁρατὸν, ὑπὲρ τὸ φῶς
αἴτιον χρῶμα ὂν τοῦ διαφανοῦς καὶ ὁρατοῦ. καὶ οὐκ
ἄτοπον, φησί, ἀλλὰ καὶ ὁμολογούμενον τοῖς ἄλλοις·
καὶ γὰρ ἡ γεῦσις διὰ χυμοῦ. ἀλλ', ‖ ἐρεῖ τις, ὡς ὁ 27
μὲν χυμὸς ἴδιον αἰσθητὸν τῆς γεύσεως καὶ ὁ ψόφος
τῆς ἀκοῆς οὐδενὸς ἔξωθεν εἰς τὸ κινεῖσθαι τὸ αἰσθη-

Digitized by Google

τήριον δεόμενος, εἰ μὴ ἄρα τοῦ διηχοῦς τις εἴποι, ὡς
τὸ χρῶμα τοῦ διαφανοῦς, ἀλλὰ καὶ ὡς ὁ μὲν ἦχος
εὐθὺς αἰσθητὸς συμμέτρου ἀέρος ὄντος μεταξὺ, τὸ δὲ
χρῶμα δεῖται ἔξωθεν τοῦ φωτίζοντος εἰ μέλλει γενέ-
σθαι ὁρατόν. ἢ τοῦτο τῆς ὄψεως ἐξαίρετον τὸ δεῖσθαι
φωτὸς, οὐ διὰ τὸ ἀτελέστερον ἢ κατὰ τὰς ἄλλας αἰσθή-
σεις αἳ οὐδενὸς ἄλλου ἔξωθεν τοῦ τελειοῦντος χρή-
ζουσιν ἀλλὰ διὰ τὸ κρεῖττον καὶ ὑπερφυέστερόν πως
τῆς ἐνεργείας οὐκ ἀρκούσης αὐτῇ τῆς αἰσθητικῆς δυ-
νάμεως θειοτέρου δέ τινος δεομένης εἴδους. ὡς γὰρ
τὸ ἡμέτερον σῶμα πρὸς μὲν τὸ βαρὺ εἶναι καὶ τὴν
ἐπὶ τὸ κάτω φορὰν οὐ δεῖται τῆς ψυχῆς, πρὸς δὲ τὴν
καθ' ὁρμὴν κίνησιν διὰ τὸ ὑπερφυέστερον ἢ ὡς αὐτὸ
πέφυκε οὕτω κινεῖσθαι, καὶ οὐ διὰ τοῦτο χείρων ἡ
καθ' ὁρμὴν τῆς κατὰ φύσιν ἀλλὰ κρείττων, οὕτως καὶ
ἡ ὄψις κρείττων τῶν ἄλλων διὰ τὸ κρειττόνως ἐνερ-
γεῖν ἀλλ' οὐ τοῦ τελειοῦντος δεομένη. μή ποτε δὲ 22
εἴποι τις καὶ τὸ προηγούμενον ὁρατὸν τὸ λαμπρὸν
εἶναι καὶ αὐτὸ τὸ φῶς, ὃ καθ' αὑτὸ κινεῖ τὴν ὄψιν καὶ
περὶ αὐτὴν ἐνεργεῖ ἔξωθεν οὐδενὸς ἄλλου τοῦ τελει-
οῦντος δεόμενον, τὰ δὲ χρώματα ὡς ἀμυδρά τινα φῶ-
τα μὴ καθ' αὑτὰ εἶναι ὁρατὰ ἀλλὰ δεῖσθαι τοῦ προη-
γουμένως ὁρατοῦ ἐπιτελειοῦντος καὶ αὐτά. ἀλλ' οὕτω,
φαίη ἄν τις, οὐ συνεργεῖν ἐχρῆν τὸ φῶς τοῖς χρώμασι
πρὸς τὸ ὁρᾶσθαι, τοὐναντίον δὲ ἐπικαλύπτειν αὐτὰ,
ὡς καὶ τὸ μεῖζον φῶς ἐκκρούει τὸ ἔλαττον, καὶ ἐπ'
αὐτῶν τῶν πραγμάτων τὸ λαμπρότερον οὐ συγχωρεῖ
διαφαίνεσθαι τὸ ἧττον λαμπρόν· ἐν γοῦν ἡλίῳ τὸ
λυχνιαῖον οὐχ ὁρᾶται φῶς. ἢ οὐχ ἡ αὐτὴ παραβολὴ
μείζονος πρὸς ἔλαττον καὶ προηγουμένου πρὸς ἑπόμε-
νον; οὐ γὰρ ὡς ὁρατὸν παραβάλλεται τὸ χρῶμα πρὸς
τὸ φῶς, οὐδὲ γαρ ὁρατὸν ὅλως ἄνευ φωτός· διὸ ἐπο-

Digitized by Google

μένως ὁρατὸν ὡς ὑπ' αὐτοῦ τελειούμενον καὶ δι' ἐκεί-
νου ὁρώμενον, αὐτὸ δὲ τὸ φῶς καθ' αὑτὸ πρὸς τὸ
ὁρᾶσθαι ἱκανόν. εἰ δὲ ἐπὶ τῶν ἄλλων αἰσθήσεων τὸ
ἀνάλογον μὴ εὑρίσκεται, ὡς τὸ μὲν προηγουμένως τὸ
δὲ ἑπομένως εἶναι ἀκουστὸν ἢ γευστὸν, περιουσία
αὕτη τοῦ τε πρώτως ὁρατοῦ, ὃ δὴ τὸ φῶς εἶναί φαμεν,
τὸ καὶ ἄλλα ἄττα ὁρατὰ ἐπιτελεῖν, καὶ τῆς ὁρατικῆς
δυνάμεως, οὐ τοῦ φωτὸς μόνου ἀλλὰ καὶ ἑτέρων τι-
23 νῶν διὰ τοῦ φωτὸς αἰσθανομένης. ἐπεὶ δὲ φαίνεται
κινεῖσθαι τὸ διαφανὲς ὑπὸ τῶν χρωμάτων, βουλομέ-
νους καὶ τὴν ἀπορίαν τὴν πῶς κινεῖται, πότερον ἀπορ-
ροῇ τινὶ, ἢ τῷ τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν, διακρίνειν
καὶ ἐπὶ τοὺς μὴ διαφανοῦς ποιοῦντας τὸ ὁρᾶν ἀλλ'
ἀπ' αὐτῶν ἐπιφερομένων τῶν χρωμάτων καὶ ἔτι ἐπὶ
τοὺς ἐκπέμπεσθαι τὸ αἰσθητήριον ὑπολαμβάνοντας,
δίκαιον ἡμᾶς ζητῆσαι, εἰ τῷ ὄντι κινεῖται τὸ διαφανὲς
καὶ τίνα κίνησιν. φαίνεται δὴ διὰ μέσου τοῦ δια-
φανοῦς ὁρώμενα τὰ χρώματα, ἐὰν δὲ ἐπ' αὐτὴν τεθῇ
τὴν ὄψιν οὐχ ὁρώμενα. πρὸς δὲ τοῦτο ἐλέγομεν ὡς
μέσου τοῦ διαφανοῦς δεῖ ἵνα φωτίζηται τὰ ὁρώμενα.
ἀλλὰ καὶ ὅταν λαμπρὸν ᾖ τὸ ὁρώμενον μέσου δεῖ τοῦ
διαφανοῦς, ᾗ καὶ τότε ἐλέγομεν, διὰ τὸ σύμμετρον τῆς
διαστάσεως. δεῖν δὲ μὴ στερεὸν εἶναι τὸ μεταξὺ ἵνα
μὴ τῷ σκοτοποιῷ παραποδίζῃ τὴν ἐνέργειαν. ἆρα
οὖν ὡς μὴ ἐμποδίζον μόνον χρήσιμον τὸ διαφανὲς,
καθάπερ εἰ καὶ κενὸν ἦν τὸ μεταξὺ, ἢ οὐκ εὔλογον
ἀλλὰ συνεισφέρειν τι δεῖ καὶ αὐτό; οὐ γὰρ μάτην
σῶμά ἐστι τὸ μεταξὺ ἀλλὰ καὶ ἐπὶ τῶν χρωμάτων
ἐναργῶς συντελεῖ· οὐ γὰρ ἂν μὴ διαπεφωτισμένου
τοῦ μεταξὺ ἴδοιμεν. ἀκόλουθον οὖν καὶ ἐπὶ τῶν
24 λαμπρῶν τι συνεισάγειν. ἔτι δὲ εἰ καὶ ἐπὶ τῆς ἀκοῆς
κινεῖταί πως ὁ ἀὴρ καὶ ἐπὶ τῆς ὀσφρήσεως, καὶ ἐπὶ

Digitized by Google

τῆς ἁφῆς δὲ ὅταν μεταξὺ ᾖ τοῦ θερμαίνοντός τε καὶ
θερμαινομένου καὶ ἐπὶ τῆς γεύσεως εἰ τῶν ὑγρῶν τι
εἴη μεταξύ· ἢ εἰ καὶ ἐπὶ τούτων τῷ μεμίχθαι, ἀλλ'
οὐ τῷ ἐνεργεῖν, ἀκόλουθον καὶ ἐπὶ τῆς ὄψεως. ἔτι
ἅπαν τὸ φωτίζον ἐνεργεῖ σαφῶς εἰς τὸ διαφανές· τοι-
οῦτον δὲ [καὶ] τὸ ἄγαν λαμπρόν. ὥστε καὶ τὸ ἀμυ-
δρῶς λαμπρὸν ἐνεργεῖ εἰ καὶ μὴ οὕτως ὥστε φωτίζει·
καὶ τὰ χρώματα συντελεωθέντα καὶ ἐπιλαμπρωθέντα
ὑπὸ τοῦ φωτίζοντος κινοίη ἂν καὶ αὐτὰ τὸ διαφανές.
ἆρα οὖν αὐτὰ μὲν τὸ διαφανὲς, τοῦτο δὲ κινεῖ τὴν ὄψιν,
οἷον μορφωθὲν αὐτὸ ὑπὸ τῶν χρωμάτων; ἀλλ'
οὕτω τοῦ διαφανοῦς ἂν πεπονθότος ᾐσθανόμεθα καὶ
οὐ τοῦ χρώματος· εἰ δὲ τοῦ χρώματος τοῦτο ἂν καὶ
τὴν ὄψιν κινοίη· ἀλλὰ καὶ τοῦ διαφανοῦς· τὸ δὲ
διαφανὲς καὶ καθ' αὑτὸ κινητικὸν τῆς ὄψεως ὅταν φω-
279 τίζηται, οὐ δι' ἑτέρου, καὶ ὡς ὑπὸ τῶν ‖ χρωμάτων
κινηθέν. τίς οὖν ἡ κίνησις ἵνα καὶ ὅπερ αὐτὰ τὰ
ὁρώμενα διὰ τοῦ μεταξὺ κινεῖ τὴν ὄψιν γνωρίζωμεν;
φημὶ τοίνυν ὡς καθάπερ τὸ φωτίζον τελειοῖ τὸ δια-
φανὲς χωριστῶς παρούσης αὐτῷ τῆς ἀπ' ἐκείνου ἐνερ-
γείας καὶ τῷ ἡμετέρῳ ὄμματι διὰ τοῦ διαφανοῦς, οὐχ
ὡς πεπονθότος ἀλλ' ὡς καὶ αὐτοῦ κατὰ τὴν χωριστὴν
ἐνέργειαν τελειουμένου, οὕτω καὶ τὸ χρῶμα λαμπρω-
θὲν ἐνεργεῖ εἰς τὸ διαφανὲς χωριστῶς αὐτῷ ἐποχου-
μένην ἐνέργειαν, καὶ διὰ τοῦτο κατὰ διάδοσιν ἀλλὰ
ἀθρόως καὶ ὁμοῦ παντὶ καὶ ὅλην ἀμερίστως πανταχοῦ
αὐτῷ παροῦσαν καὶ οἷον εἰδοποιοῦσαν αὐτὸ χωριστῶς,
καὶ σὺν τῷ οὕτως εἰδοποιηθέντι καὶ τὴν ἡμετέραν κι-
νοῦσαν ὄψιν· ὡς τὸ χρῶμα αὐτὸ καὶ εἰς τὴν ὄψιν
ἐνεργεῖν ἀλλ' οἷον ὑποκειμένῳ τῆς ἰδίας ἐνεργείας τῷ
διαφανεῖ χρώμενον οὐχ ὡς πάσχοντι ἀλλ' ὡς εἰδοποι-
ουμένῳ χωριστῶς κατ' αὐτήν, διὸ καὶ ἀμιγῶς τῇ ὄψει

Digitized by Google

πάρεστιν ἡ τοῦ χρώματος ἐνέργεια, καίτοι οὐκ ἄλλως παροῦσα ἢ τῷ ἐποχεῖσθαι τῷ διαφανεῖ ἐπεὶ δὴ ἀμι-
26 γῶς ἐποχεῖται. τί οὖν συντελεῖ πρὸς ὅρασιν τὸ διαφανὲς, εἰ ἀμιγῶς αὐτῇ προσπίπτει ἡ τοῦ χρώματος ἐνέργεια; ἢ δῆλον ὡς τῷ διαβιβάζειν; ἥκει γὰρ εἰς τὴν ὄψιν τῷ διαφανεῖ ἐποχουμένη χωριστῶς, ὡς εἴρηται, καὶ ἀμερίστως παντὶ παροῦσα· διὸ καὶ πάντες ἐν τῷ θεάτρῳ, ὅσοι ἂν οἱ βλέποντες ὦσι, τοῦ αὐτοῦ καὶ ὅλου αἰσθάνονται, ὡς καὶ τῆς φωνῆς ἀκούουσι πάντες ὅλης ἐν τῷ θεάτρῳ· καὶ γὰρ ἡ φωνῆς ἐνέργειά ἐστι ἀμέριστος πανταχοῦ ὅλη ἡ αὐτὴ χωριστῶς αὐτῷ παροῦσα, ἅτε μήτε συμφερομένη μήτε συναλλοιουμένη τῷ ἀέρι· τῆς γὰρ ἀπολύτου παρουσίας τεκμήριον τὸ καὶ πᾶσι καὶ ἑκάστῳ τῶν ἀκουόντων ὅλην
27 ἐνυπάρχειν καὶ πληροῦν πάντας μονοειδῶς. τί οὖν; οὐ πλήττεται καὶ κινεῖται παθητικῶς ὑπὸ τοῦ ψοφοῦντος ὅ τε ἀὴρ καὶ τὸ αἰσθητήριον; ἢ τὸ μὲν πάθημα καὶ ἡ κίνησις προκατάρχει περὶ τὰ σώματα· ἀλλ' οὐ ταῦτα καὶ φωνὴ, ἀλλ' οὐδὲ ἡ ἀκοὴ, ἡ δὲ κατ' ἐνέργειαν τελειότης ἡ κατὰ τὸ εἶδος ἱσταμένη τῆς κινήσεως. ἀλλ' ἐνταῦθα μὲν προηγεῖται τὸ τοῦ ἀέρος πάθος, ἐπειδὴ διὰ πληγῆς τὸ ἀκουστὸν, τὸ δὲ ὁρατὸν οὐ διὰ τὸ παθεῖν τὸ διαφανὲς ἀλλ' ἤδη ὂν αὐτὸ τὸ χρῶμα. εἰ δὲ κἀνταῦθα δοίη τις ἐγγίνεσθαί τινα παθητικὴν ὑπὸ τῶν χρωμάτων τῷ ἀέρι διάθεσιν, οὐ κατὰ ταύτην ὁρατὸν ἀποτελεῖται τὸ χρῶμα ἀλλὰ κατὰ τὴν τέλειαν καὶ ἀθρόαν καὶ ὅλην ὁμοῦ τοῦ εἴδους ἐνέργειαν ἀπολύτως παροῦσαν τῷ διαφανεῖ, καὶ παθητικῶς μὲν κινοῦσαν τὸ αἰσθητήριον, οὐκ ἐν τῷ πάθει δὲ ὑπαρχούσης τῆς ὄψεως ἀλλ' ἐν τῇ εἰδητικῇ τῆς ζωῆς τελειώσει
28 καὶ τῇ τοῦ λόγου προβολῇ. ἐπὶ δὲ τοῦ ὀσφραντοῦ καὶ τῆς ὀσφρήσεως ἐναργέστερον τὸ συμβαῖνον ἐν τῷ

Digitized by Google

μεταξὺ παθήματι, ὡς καὶ ἀπελθόντος τοῦ ὀσφραντοῦ
ἐμμένειν τὴν ὀσμὴν οὐ διὰ τὰ ἀπορεύσαντα μόρια μό-
νον ἀλλὰ καὶ αὐτοῦ πεπονθότος τι τοῦ ἀέρος, ὥσπερ
καὶ θερμανθέντος ὅταν μεταξὺ τοῦ θερμαίνοντός τε
καὶ τοῦ θερμαινομένου γίνηται, καὶ γλυκαζομένου τοῦ
ἀέρος τοῦ μεταξὺ τῆς γλώττης καὶ τοῦ μέλιτος. καὶ
κατὰ τὸ εἶδος μὲν κἀνταῦθα ἥ τε αἴσθησις καὶ τὸ αἰσθη-
τὸν, ἀλλὰ διὰ τὸ ἐνυλότερον καὶ τοῦ αἰσθητηρίου
καὶ τοῦ αἰσθητοῦ ἐν τούτοις εἶδος σφοδρότερον καὶ
διὰ τοῦτο ἐνεργέστερόν τε τοῖς αἰσθητηρίοις καὶ ἐν
τῷ ἀέρι, ἵνα μετάσχῃ τοῦ αἰσθητοῦ εἴδους, διαφαίνε-
ται τὸ πάθος. οὔτε δὲ ταῦτα κατ' ἀπορροίας αἰσθα-
νόμεθα οὔτε ἔτι μᾶλλον τῶν χρωμάτων τι ἀπορρέον
ποιεῖ τὴν ὅρασιν ἀλλὰ τῷ ἐνεργεῖν ὁρᾶται· καὶ πῶς 29
οὕτως ἰσχυρὰ ἡ τοῦ χρώματος δύναμις ὡς ἄνευ ἀπορ-
ροῆς κινεῖν καὶ τοῦτο συνεχῶς ποιεῖν; δῆλον γὰρ ὅτι
τὴν ἐνέργειαν τὴν αὐτοῦ ἐνεργεῖ συνεχῶς, εἰ μὴ καθ-
άπερ τὸ πῦρ ὕλης δεῖται καὶ, ἀφ' οὗ τὸ φῶς γίνεται,
τοῦ διαφανοῦς; ἢ οὐ τὸ χρῶμα μόνον ἀλλὰ, ὡς εἴρη-
ται, πᾶν αἰσθητὸν τῷ ἐνεργεῖν κινεῖ τὰς αἰσθήσεις,
τὸ δὲ χρῶμα καὶ οὐκ ἀεὶ ἀλλ' ὅταν ἐλλάμπηται, καὶ
ὅταν, ὡς αὐτὸς ἔφη, ἡ ὕλη αὐτῷ παρῇ τὸ διαφανὲς,
ὃ ἅμα καὶ τελειοῖ τὰ χρώματα τῷ φωτὶ καὶ εἰδοποιεῖ-
ταί πως ὑπ' αὐτῶν τῇ χωριστῇ ἀπ' αὐτῶν ἐνεργείᾳ;
τὸ δὲ φῶς οὐ διὰ τοῦ διαφανοῦς ἀλλ' ἐν τῷ διαφανεῖ
καὶ καθ' αὑτὸ ὁρατόν. καὶ αὐτὸ δὲ τὸ διαφανὲς τῷ
φωτὶ οὐ διαιρετέον, φησὶν, ὀρθῶς λέγων. οὔτε γὰρ
τὸ φῶς ἄνευ τοῦ διαφανοῦς οὐδὲ τούτου χωρὶς φωτὸς
αἴσθησις, καὶ εἴ γε χρῶμα τοῦ διαφανοῦς τὸ φῶς, οὐδ'
ἂν ἕτερον εἴη τοῦτο ὁρατὸν παρὰ τὰ χρώματα. τί οὖν 30
πάσχον τὸ διαφανὲς ποιεῖ τὴν ὄψιν; ἔνιοι γὰρ ὑποτυ-
ποῦσθαί φασιν· ἢ οὐχ οὕτως ἀλλ' εἴρηται ὡς ἀπο-

Digitized by Google

λύτως δεχόμενον τὴν ἀπὸ τῶν ὁρατῶν ἐνέργειαν καὶ τῷ αἰσθητηρίῳ ‖ ταύτην συνάπτων. ὁρατὰ δὲ οὐ τὰ 280
χρώματα μόνον ἀλλὰ καὶ μεγέθη καὶ σχήματα, εἰ καὶ δευτέρως, ὡς ἤδη διώρισται.· ἡ δὲ ὄσφρησις, φησὶ, διὰ τοῦ ἀέρος ὥσπερ ἀναμιγνυμένου πως ἔοικε καὶ πάσχοντος, ἡ δὲ ἀκοὴ σχηματιζομένου· εἴρηται δὲ ὡς οὐ κατὰ τὸ πάθος ἡ αἴσθησις, οὐδὲ σχῆμα ἡ φωνὴ, ἀλλά τι τέλειον τῆς ἐνεργείας εἶδος. καὶ τὸ ὀσφραντὸν δὲ οὐ τὸ πάθος ἀλλὰ τὸ εἶδος. πάσχει δὲ μᾶλλον ὑπὸ τούτων ὁ ἀὴρ ὡς ἐνυλοτέρων καὶ σωματοειδεστέ-
31 *ρων εἰδῶν. ζητεῖ δὲ εἰ διικνεῖται πρὸς τὴν αἴσθησιν ἕκαστον ὁμοίως, ἢ τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον. καὶ δῆλον, οἶμαι, ὡς οὐχ ὁμοίως, ἀλλ' ὅπως ἂν ἔχῃ αὐτό τε δυνάμεως τὸ αἰσθητὸν μείζονος ἢ ἐλάττους εἰς τὸ ἐνεργεῖν, καὶ τὸ αἰσθητήριον ἀκριβεστέρας ἢ ἀμυδροτέρας καθαρότητος, ἔτι δὲ καὶ τὸ μεταξὺ μᾶλλον καὶ ἧττον πρὸς τὸ διαβιβάζειν τὴν ἐνέργειαν ἐπιτηδειότητος, ἔτι δὲ κατὰ τὸ διάστημα πορρωτέρω ἢ ἐγγυτέρω ὄντος τοῦ αἰσθητοῦ, γίνεταί τις πρὸς τὴν δίι-*
32 *ξιν διαφορά. ὅπως δὲ καὶ ἐπὶ πασῶν ἐστὶ τὸ ἀνὰ μέσον, εἰ καὶ τῶν μὲν ἔξω τὸ μεταξὺ διαφαίνεται, τῶν δὲ ἐν ἡμῖν οὐδὲν, ἀρκούντως τε παρὰ τῷ Ἀριστοτέλει διώρισται, καὶ ὑπὸ τοῦ Θεοφράστου ἐπιστάσεως μόνον ἠξίωται, ἠπόρηται δὲ οὐδέν. ἀλλ' ἐκεῖνο ἄν τις ζητήσειεν, εἰ ἀθρόα ἡ παρουσία, ὡς ἐλέγομεν, γίνεται ἡ τῆς φωνῆς, πῶς οἱ ἔγγιον μᾶλλον καὶ θᾶττον ἀκούουσιν, ἢ πῶς ὁρῶμεν πρότερον πλήξαντα τὸν δρυτόμον ὕστερον δὲ τοῦ ἤχου αἰσθανόμεθα. δῆλον γὰρ ὡς οὐχ ἅμα τῇ πληγῇ. ἢ ἐπειδὴ παθεῖν τι πρότερον καὶ κινηθῆναι χρὴ τὸν ἀέρα; τὸ δὲ εἶδος τῆς φωνῆς ἀθρόον ὕστερον ἐπιγίνεται, τὸ δὲ πάθος καὶ ἡ κίνησις ἐν χρόνῳ· [τὸ δὲ εἶδος ὕστερον ἀθρόως τῷ γινομένῳ*

Digitized by Google

ἐπιγίνεται]. καὶ ἐπὶ τῆς φωνῆς τοίνυν ὕστερον ἐπὶ
τῷ πάθει τὸ τῆς ἐνεργείας εἶδος, ἐφ᾽ ὅσον κατὰ τὴν
συνέχειαν τοῦ ἀέρος καὶ τὸ πάθος διικνεῖται· διὸ
καὶ οἱ ἔγγιον θᾶττόν τε καὶ μᾶλλον ἀκούουσιν· καὶ
γὰρ θᾶττόν τε καὶ μᾶλλον πάσχουσι εἰ τοῦ πληγέντος
τὴν ἀρχὴν ἔγγιον· τὸ δέ γε ὁρατὸν οὐ κατὰ πάθος
ἐνεργεῖ εἰς τὸ διαφανὲς, ἐπεὶ μηδὲ τὸ φωτίζον, διὸ
καὶ ἀχρόνως, καὶ ἅμα πᾶσιν ὁρατὸν οἷς ὁρᾶται, εἰ καὶ
μὴ ὁμοίως ἀλλὰ τοῖς ἔγγιον ἀκριβέστερον, διότι ἐνερ-
γεῖ μὲν εἰς τὰ ἐπιτηδειότερα· ταῦτα δὲ τὰ προσεχῆ
κατὰ τόπον διὰ τὸ σώματα εἶναι. ἀφοριστέον δὲ, 33
φησὶ ὁ Θεόφραστος, καὶ τὰ περὶ τὰς ἀνακλάσεις. φα-
μὲν γὰρ δὴ καὶ τῆς μορφῆς ὥσπερ ἀποτύπωσιν τῷ
ἀέρι γίνεσθαι, ἴσως καὶ αὐτὸς, ὡς Πλάτων, εἰδωλικήν
τινα ἐν τῷ περὶ τὸ λεῖον φωτὶ τῶν σωματικῶν εἰδῶν
ἔμφασιν γίνεσθαι τιθέμενος. τὰς δ᾽ οὖν κλάσεις οὐ
σωματικὰς θετέον. πάθος γὰρ τοῦτο καὶ τῆς κατὰ
φύσιν ἐνεργείας ἀπᾷδον· καὶ μάλιστα ἐπὶ τοῦ οὐρα-
νίου φωτός· ἀλλ᾽ ἐνεργετικὰς καὶ τὰς κλάσεις νοη-
τέον, εἰς τὸ τέλειον καὶ πυκνὸν καὶ στίλβον μειζόνως
τοῦ φωτίζοντος καὶ τοῦ ὁρῶντος ἐνεργοῦντος, ὡς καὶ
ἄλλα δι᾽ αὐτοῦ καταλάμπειν ἢ ὁρᾶν. ἐκείνου γὰρ ἡ
δευτέρα ἐνέργεια συνεργοῦντος καὶ τοῦ ὑποκειμένου
λείου καὶ στίλβοντος διὰ τὴν πρὸς τὸ φῶς συγγένειαν,
καὶ διότι μὲν τὸ φωτίζον ἑκατέρωθι ἐνεργεῖ· συνε-
χὴς δὲ ἡ δευτέρα τῇ πρώτῃ. διότι δὲ τὸ λεῖον ἐν τῇ
δευτέρᾳ συνεργεῖ διαίρεσίς τις ἀμφοτέρων συμπίπτει,
ὅπερ ἡ κλάσις. ἐπὶ δὲ τῆς διὰ τῶν κατόπτρων τῶν
προσώπων θέας γίνεται μὲν καὶ ἡ τῆς ὄψεως κατ᾽
ἐνέργειαν, ὡς εἴρηται, ἀλλ᾽ οὐ κατὰ πάθος ἡ ἀνάκλα-
σις ἐπὶ τὸ πρωτότυπον. ὁ δὲ Πλάτων καὶ εἰδωλικήν
τινα ἐν τῇ προϊούσῃ τῆς ὄψεως ἐνεργείᾳ περὶ τὸ λεῖον

Digitized by Google

τῶν σωματικῶν εἰδῶν ἔμφασιν, οὐ κατὰ ἀποῤῥοίαν
σωμάτων ἀλλὰ κατὰ τὴν τῶν εἰδῶν σκιαγραφίαν ἐν
τῷ δοκεῖν καὶ φαίνεσθαι, ὑφίστασθαι βούλεται· ὃ
δὴ ἴσως καὶ ὁ Θεόφραστος ἐνδείκνυται, κατὰ τὰς
ἀνακλάσεις λέγων τῆς μορφῆς ὥσπερ ἀποτύπωσιν ἐν
34 τῷ ἀέρι γίνεσθαι. ἐπάγει δὲ ὡς ἐπ' ἐνίων ὁμογενὲς
ἔοικεν εἶναι τὸ αἰσθητήριον τοῖς αἰσθητοῖς. ἥ τε γὰρ
γλῶττα διὰ ὑγροῦ τῶν χυμῶν καὶ ἀκοὴ δὴ διὰ τοῦ
ἀπειλημμένου ἀέρος κινουμένου τῆς φωνῆς αἰσθάνεται.
ζητεῖ οὖν διὰ τί μὴ καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ πῶς
τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχει, ὑπὸ τοῦ ἔξωθεν
ἀέρος ὁ ἀὴρ καὶ ὑπὸ τοῦ ὑγροῦ τὸ ὑγρόν. ἢ καὶ ἐπὶ
τῶν ἄλλων ὅμοιος ὁ λόγος; ἐφ' ἑκάστῃ γὰρ τὸ αἰσθη-
τήριον τοιοῦτόν ὁποῖον καὶ τὸ ἔξω ταῖς τῶν αἰσθητῶν
ἐνεργείαις ὑποκείμενον, διαφανὲς μὲν ἐπὶ τῆς ὄψεως,
διηχὲς δὲ ἐπὶ τῆς ἀκοῆς· οὐ γὰρ καθ' ὃ ἀὴρ ἀλλὰ
καθ' ὃ διηχὲς δέχεται τὸν ψόφον· δίοσμον δὲ
ἐπὶ τῆς ὀσφρήσεως· διὸ κἀνταῦθα ἢ ἀὴρ ἢ ὑγρὸν
ἢ μεταξύ. ὑγρὸν δὲ ἐπὶ τῆς γεύσεως, καὶ ἐπὶ τῆς
ἁφῆς τὸ δυνάμενον τὰς ἁπτικὰς δέχεσθαι ποιότητας.
καὶ οὐ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχει, ἀλλὰ τὸ δυ-
νάμει ὑπὸ τοῦ ἐνεργείᾳ· οὐ μὴν ὡς ὁ ἀὴρ ὑπὸ τοῦ
ἀέρος ἀλλ' ὡς δυνάμει διηχὲς ὑπὸ τοῦ ἐνεργείᾳ διη-
35 χητικοῦ. διὰ τί οὖν ὑγρὸν ἐπὶ τῆς ὄψεως ἀλλὰ μὴ
κοινὸν ὕδατι καὶ ἀέρι; ἐπειδὴ κοινὸν ἀμ‖φοῖν τὸ δια- 281
φανές· καὶ διὰ τί μὴ καὶ ἐπὶ ἀκοῆς τὸ κοινόν; εἴ γε
καὶ ἐν ὕδατι τὸ διηχές. ὁμοία δὲ καὶ ἐπὶ ὀσφρήσεως
ἡ ἀπορία· ἢ ἀρκεῖ καὶ θάτερον; καὶ γὰρ ἐπὶ τῶν
ἔξω οὐ μίξεως δεῖ, ἀλλ' εἴτε ὕδωρ εἴτε ἀὴρ εἴη τὸ με-
ταξὺ γίνεται ἡ ὅρασις. διὰ τί οὖν ἐν ὕδατι ἡ κόρη;
ἐπειδὴ εὐφυλακτότερον καὶ εὐπιλητότερον ἀέρος ὕδωρ.
διὰ τί δὲ ἡ ἀκοὴ ἀέρος; ἐπειδὴ εὐκινητότερον ὁ ἀήρ,

Digitized by Google

συντελεῖ δὲ ἡ κίνησις πρὸς τὴν τοῦ ψόφου αἴσθησιν.
ἀλλ' εἰ ἄνευ τῆς ἀναπνοῆς δυνατὸν ὀσφραίνεσθαι, τί
κωλύει, φησὶ, καὶ ἀκούειν ἄνευ τοῦ ἀέρος; ἐπειδὴ οὐ
δυνατὸν ἄνευ τῆς τοῦ ἐν τοῖς ὠσὶν ἀέρος πληγῆς γί-
νεσθαι ψόφον· τὸ γὰρ τῆς ἀκοῆς αἰσθητήριον ἀήρ·
τῆς δὲ ὀσφρήσεως οὐ τὸ τῆς ἀναπνοῆς εἰσφερόμενον
πνεῦμα, ἀλλὰ καὶ χρήσιμον τοῦτο ἐπὶ τοῦ διανοίγειν
τοὺς ὀσφραντικοὺς πόρους οἷς εἰσὶν ἐπικεκαλυμμένοι·
οἷς δὲ μὴ τούτοις καὶ ἄνευ τοῦ ἀναπνεῖν ὄσφρησις.
ὁ δὲ ψόφος ἄρα πάντως πρὸς στερεὸν, φησὶν, ἢ καὶ 36
στερεοῦ χωρὶς ὡς ὁ τῶν ἀνέμων; ἀλλὰ καὶ οὗτοι τῇ
γῇ προσπίπτοντες ψοφοῦσι, καὶ αἱ βρονταὶ δὲ ὡς
πρὸς στερεὸν τὸ νέφος τοῦ πνεύματος προσρηγνυμέ-
νου. ἀλλ' εἰ ὁ ἀὴρ συμφυὴς, τὸ δὲ ἀκούειν, ὅταν
ὑπὸ τῆς πληγῆς ὁ ἔξω συνάπτηται, κινούμενος δὲ καὶ
οὗτος ἀεὶ καὶ ἠχῶν, ἡ κίνησις ἂν τὴν κίνησιν αἰσθά-
νοιτο καὶ οὐχ ὁ ψόφος τὸν ψόφον. καίτοι γε κωλύοι
ἂν τὸ ἐνυπάρχον ὥσπερ καὶ ἐν τοῖς ἄλλοις· ἢ οὐ
αἰσθητὸς ὁ ἐντὸς ἦχος ἁπλῶς; οὐκ αἰσθανόμεθα γοῦν
ἠχοῦντος ἂν μὴ τὰ ὦτα ἐμφράξωμεν. ἀλλὰ καὶ ἡ κί-
νησις αὐτοῦ ζωτικὴ καὶ οὐχ οἷα ἡ τοῦ πληττομένου.
ὅταν δὲ ὑπὸ τοῦ πληγέντος πάθῃ καὶ τὸ τοῦ ψόφου
ἀναδέξηται εἶδος, τότε ἡ ἐνέργεια ἀκοή. οὐκ ἄρα πα-
ραποδίζει ὁ πρότερος ἦχος ἐπειδὴ μὴ αἰσθητὸς, ἡ δὲ
κίνησις ζωτικὴ οὖσα καὶ συνεργεῖ πρὸς τὴν αἴσθησιν
τοῦ πληγέντος. ἀλλ' εἰ ὁ ψόφος ἔξωθεν δικνεῖται 37
μέχρι τῆς ἀκοῆς, πῶς ἀποφαίνεται μηδεμίαν γίνεσθαι
αἴσθησιν ἁψαμένου τοῦ αἰσθητοῦ; ἐπεὶ καὶ ἐπὶ τῆς
ὀσφρήσεως τῇ ἀναπνοῇ τὴν ὀσμὴν ἕλκομεν ἕως ἂν
προσπέσῃ δηλονότι τῷ κυρίῳ. ἢ τὸ αἰσθητὸν ὅπου
καὶ ἡ πληγὴ καὶ ὅπου τὸ εὐῶδες ἄρωμα ὡς καὶ ὅπου
τὸ χρῶμα; ἃ δὴ οὐχ οἷόν τε αὐτὰ προσπελάζειν

Digitized by Google

τοῖς αἰσθητηρίοις εἰ μέλλει γίνεσθαι αἴσθησις. τὸ δὲ ἀπ' αὐτῶν τῷ μεταξὺ ἐγγινόμενον εἶδος τῆς ἐνεργείας παρεῖναι δεῖ καὶ τῷ αἰσθητηρίῳ. οὐ γὰρ δή, ὅπερ καὶ αὐτὸς ἐπιφέρει, μηδενὸς ἀπὸ τοῦ αἰσθητοῦ διακινουμένου κινοῖτο ἄν τις αἴσθησις. καὶ γὰρ τὸ χρῶμα διὰ τοῦ διαφανοῦς κινεῖ τὴν ὄψιν ποιοῦντός τι καὶ τοῦ μεταξὺ καὶ συνεργοῦντος καὶ αὐτοῦ κινηθέντος πως ὑπὸ τοῦ ὁρατοῦ. καὶ ὅπως ἤδη κατὰ δύναμιν διήρθρωται. καὶ οὐ τοῦ μεταξὺ ἀλλὰ τοῦ ποιοῦντος ἡ αἴσθησις· οὐ γὰρ ταὐτὸν ποίησις καὶ ποιοῦν, οὐδὲ ἐνέργεια καὶ ἐνεργοῦν. ποιεῖ δὲ τὸ ποιοῦν κατὰ τὴν ποίησιν, καὶ τὸ πάσχον ὑπὸ τοῦ ποιοῦντος πάσχει, ἀλλὰ κατὰ τὴν ἀπ' αὐτοῦ ποίησιν, ἀλλ' οὐχ ὑπὸ τῆς ποιήσεως. καὶ αἰσθανόμεθα οὖν οὐ τῆς ἀπὸ τοῦ αἰσθητοῦ ἐνεργείας, ἀλλὰ τοῦ αἰσθητοῦ μὲν κατὰ δὲ τὴν ἀπ' αὐτοῦ ἐνέργειαν, διὸ οὐ τοῦ μεταξὺ ἀλλὰ κατὰ
38 τὸ ἐν (τῷ) μεταξὺ ἐκπεμπόμενον ἐνεργείας εἶδος τοῦ ἐκπέμποντος. εἰπόντι δὲ τῷ Ἀριστοτέλει 'ὡς αἱ διαφοραὶ τῶν ψόφων, οἷον ὀξὺ καὶ βαρὺ ἐν τῷ κατ' ἐνέργειαν ψόφῳ δηλοῦνται, καὶ ἐπαγαγόντι 'ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται τὰ χρώματα, οὕτως οὐδὲ ἄνευ ψόφου τὸ ὀξὺ καὶ βαρὺ ἐπισημαίνεται,' ὡς ὁμοίως ἔχειν λέγοντι φῶς πρὸς χρώματα καὶ ψόφον πρὸς ὀξὺ καὶ βαρύ, ἀντιλέγειν ἔστιν. οὐ γὰρ τὸ φῶς ἀλλὰ τὸ χρῶμα ὁμοίως πρὸς τὸ λευκὸν καὶ μέλαν. ἢ ὡς μὲν γένος τὸ χρῶμα ἀναλογεῖ ψόφῳ ἀλλ' οὐ τὸ φῶς. ἐπεὶ δὲ τὰ χρώματα οὐκ ἄνευ φωτὸς ὁρᾶται, ὡς οὐδὲ τὸ ὀξὺ καὶ βαρὺ ἄνευ ψόφου, ταύτῃ κατὰ τὸ ὁρᾶσθαι μόνον γέγονεν ἡ πα-
39 ραβολή. ἀλλὰ διὰ τί τὸ αἰσθητήριον τοῦ γευστοῦ ἀξιοῖ Ἀριστοτέλης μήτε ὑγρὸν εἶναι μήτε ἀδύνατον ὑγραίνεσθαι; ἐπειδή, φησίν, ὑγρὸν τὸ γευστόν. ἢ

Digitized by Google

οὐχ ὑγρὸν, φαίη ἂν τις, ἀλλ' ὡς ἔγχυμον ὑγρὸν τῇ
γεύσει ἐστὶ αἰσθητόν; ἔδει οὖν μὴ ἔγχυμον εἶναι τὸ
αἰσθητήριον μόνον. ἢ ἐπειδὴ ἁπτικῶς καὶ ἡ γεῦσις
ἀντιλαμβάνεται τοῦ οἰκείου αἰσθητοῦ, πάσχειν αὐτὴν
καὶ ὡς ὑφ' ἁπτοῦ ἀνάγκη; ὥστε καὶ ὡς ὑπὸ τοῦ
ὑγροῦ, διὸ οὐ χρὴ οἰκείᾳ προκατειλῆφθαι ὑγρότητι τὸ
αἰσθητήριον. βούλεται δὲ ὁ Ἀριστοτέλης, ᾧ καὶ ὁ
Θεόφραστος ἕπεται, μηδὲ τὴν γλῶτταν εἶναι τὸ ὄντως
αἰσθητήριον τῆς γεύσεως, μηδὲ τὴν σάρκα τῆς ἁφῆς,
ἀλλὰ ἀναλογεῖν ταῦτα τοῖς μεταξὺ γινομένοις ἐπὶ ὄψεως
καὶ ἀκοῆς. καὶ γὰρ ἐπὶ ἁφῆς καὶ γεύσεως δεῖ μὲν
εἶναι τὸ μεταξὺ, εἴ γε μηδέποτε αὐτῷ προσπίπτον τῷ
αἰσθητηρίῳ τὸ αἰσθητὸν κινεῖ τὴν αἴσθησιν, οὐκ ἔξω-
θεν δὲ ἐπ' αὐτῶν τὸ μεταξύ· καὶ γὰρ ὅταν τι μεταξὺ
οὐ διὰ τούτου ἡ γεῦσις ἢ ἡ ἁφὴ, ἀλλὰ σὺν τούτῳ·
282 οἷον εἰ μέση εἴη ‖ ἀσπὶς, οὐ διὰ τῆς ἀσπίδος ἡ λίθος
πλήττει, ὡς τὸ χρῶμα ὁρᾶται διὰ τοῦ ἀέρος, ἀλλὰ σὺν
τῇ ἀσπίδι καὶ τὴν χεῖρα ὡς ἄμφω ἅμα πληγῆναι. ἐπεὶ
οὖν οὐκ ἔξωθεν ἐπὶ τῆς ἁφῆς καὶ γεύσεως τὸ δι' οὗ
ἐν ἡμῖν ἔσται· τοῦτο δέ πῃ μὲν ἡ σάρξ πῃ δὲ ἡ
γλῶττα. ὅτι μὲν οὖν πάσχει καὶ ἡ σὰρξ ἐναργές· δῆ-
λον δὲ ὡς οὐχὶ τοῖς ἀψύχοις ὁμοίως· οὐκοῦν ζωτι-
κῶς· καὶ ἐπειδὴ αἰσθητικὴ ἡ ζωὴ τῆς σαρκὸς καὶ
αἰσθητικῶς· διὰ τίνος οὖν εἰ μὴ καὶ ἐν αὐτῷ τὸ κρῖ-
νον; εἰ γὰρ καὶ ἄλλο τι μᾶλλον καὶ ἀκριβέστερον εἴη
ἁφῆς αἰσθητήριον, οἷον τὸ πνεῦμα, ἀλλὰ καὶ ἡ σὰρξ
αἰσθητική· καὶ ἔστω ἀναλογοῦσα τῷ ἀέρι ἐπὶ τῆς
ὄψεως. . μεταξὺ τοῦ κυριωτέρου αἰσθητηρίου· τῷ
δὲ μὴ ἔξωθεν ἀλλὰ συμπεφυκυῖα ἡμῖν εἶναι νομίζε-
σθαι θ' αὕτη οὐκ ἀναίσθητος. διὰ τί οὖν εἰ ἡ σὰρξ
αἰσθητικὴ ἄλλο τι δεῖ αἰσθητήριον ἁπτικὸν προϋποτί-
θεσθαι; ἐπειδὴ, φαίην ἂν, σφοδρότερον πάσχουσα ὑπὸ

Digitized by Google

τοῦ αἰσθητοῦ ἀμέσως αὐτῇ προσπίπτοντος, ἐκκρούει τῇ σφοδρότητι τοῦ πάθους τὴν αἰσθητικὴν ἐνέργειαν. διὸ καὶ Ἀριστοτέλης ἀξιοῖ εἶναί τι καὶ ἐπὶ τῆς ἁφῆς καὶ ἐπὶ τῆς γεύσεως τὸ μεταξύ. τοῦτο δὲ συμφυὲς τιθέμενος τοῖς ζώοις ζωτικὸν δηλαδὴ καὶ αἰσθητικὸν
41 καὶ αὐτὸς οἶδε τὸ μεταξὺ ἐπὶ τούτων. ἀξιοῦται δὲ κἀκεῖνο ὀρθῶς τὸ δεῖν τὸ αἰσθητήριον ἐν μεσότητι ὑπάρχειν τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως οὐ κατὰ μῖξιν τῶν ἄκρων, ἤδη γὰρ ἂν εἴη πεπονθὸς, ἀλλ' ὡς τὸ ἀπαθὲς καὶ κριτικὸν τῶν παθῶν· ἐπεὶ τὸ ἐκ τῶν ἄκρων οὐκ ἔσται τῶν μέσων κριτικόν· ἀπαθὲς γὰρ ὑπὸ τοῦ ὁμοίου τὸ ὅμοιον· καὶ ὅτι σῶμα μὲν καὶ μέγεθος τὸ αἰσθητήριον, οὐ μὴν ᾗ μέγεθος αἰσθητικὸν, ἀλλὰ κατὰ λόγον καὶ δύναμιν. ἐν λόγῳ γάρ τινι πρὸς τὰ αἰσθητὰ τὸ αἰσθητήριον καὶ ζωῆς εἴδει κριτικῷ τῶν σωμάτων χαρακτηριζόμενον, ἀλλὰ, ἐπεὶ πάθη ἢ διαφοραὶ σωμάτων εἰσὶ πάντα τὰ αἰσθητὰ — ποιότητες γὰρ καὶ ποσότητες· οἷς δέ ἐστι γνωστὸν ἅπαν ἐν τούτοις καὶ ἐστί — δόξειεν ἂν ἐν τοῖς πάθεσι καὶ ταῖς διαφοραῖς εἶναι πᾶν σῶμα. ἢ οὐ μόνῃ τῇ αἰσθήσει ἀλλὰ καὶ τῷ δοξαστικῷ λόγῳ γνωστὸν τὸ σῶμα; δόξῃ γὰρ μετ' αἰσθήσεως γνωστὸν κατὰ τὸν Πλάτωνα, καὶ τῆς οὐσίας τῆς σωματικῆς ἡ δόξα ἐστὶν ἀντιλη-
42 πτική. τοῦ δὲ Ἀριστοτέλους τὸ μὴ εἶναι πλείους (τῶν πέντε) αἰσθήσεις πιστουμένου διὰ δὲ τούτων πάντα ἡμῖν αἰσθητὰ εἶναι, τὰ ἁπτὰ μὲν τῇ ἁφῇ, τὰ δὲ διὰ τῶν μεταξὺ τῷ ἔχειν ταῦτα δι' ὧν τὸ μεταξὺ γινώσκεται· γινώσκεται μὲν γὰρ τοῦτο διὰ μόνων δύο τῶν ἁπλῶν, ἀέρος τε καὶ ὕδατος, ἐκ δύο δὲ μόνων ἁπλῶν τούτων καὶ τὰ αἰσθητήρια ἡμῖν· τὸ γὰρ πῦρ ἢ οὐδενὸς ἢ κοινὸν πάντων, οὐδὲ ἡ γῆ, ἀλλ' εἴπερ τῇ ἁφῇ πως μέμικται. βουλομένου δὲ, εἰ μὲν δι' ἑνός αἰσθη-

Digitized by Google

τηρίου πλείω αἰσθητὰ τὸν ἔχοντα τοῦτο ἀρκεῖν πρὸς τὰ πλείω· εἰ δὲ διὰ πλειόνων τὸ αὐτὸ καὶ τὸ ἕτερον ἔχοντα ἀμφοῖν ταὐτοῦ αἰσθητικὸν ὑπάρχειν· ζητεῖ ὁ Θεόφραστος πρῶτον μὲν, πόθεν ὡς διὰ μόνων ἀέρος καὶ ὕδατος; μή ποτε γὰρ ἡμῖν διὰ μόνων τούτων, ἐπεὶ καὶ τὰ αἰσθητήρια ἡμῖν ἐκ τούτων, ἡ μὲν ὄψις ὕδατος ἡ δὲ ἀκοὴ ἀέρος θατέρου δὲ τούτων ἡ ὄσφρησις· δεύτερον δὲ, εἰ διὰ τοῦ αὐτοῦ πλείω, οὐ πάντως ὁ τοῦτο ἔχων καὶ τὰ πλείω εἴσεται, οἷον εἰ δι' ἀέρος καὶ τὰ ὀσφραντὰ καὶ τὰ ἀκουστὰ οὐκ ἐξ ἀνάγκης ἄμφω· οὐ γὰρ ὅσα ὀσφραίνεται ταῦτα καὶ ἀκούει· οὐδὲ γὰρ [ὡς] ὁ ἀὴρ ἁπλῶς ὀσφραντικὸς ἢ ἀκουστικὸς, ὁ γοῦν ἐν τῷ φάρυγγι οὐδέτερον, ἀλλὰ κατὰ λόγον καὶ δεῖ πρὸς ἑκάτερον ἔχειν λόγον, καὶ ὁ μὴ ἔχων οὐκ αἰσθήσεται ἀμφοῖν. ἔτι ἐπισκήπτει, μή ποτε οὐδὲ ἐκεῖνο 43
ἀληθὲς τὸ [γὰρ] ἐξ ἀμίκτων ἁπλῶς εἶναι τὰ αἰσθητήρια, ἀλλὰ κατὰ τὸ ἐπικρατοῦν· τὸ γοῦν θερμὸν κοινὸν εἶναί φαμεν, ἐπί τινων δὲ καὶ τὸ ὑγρόν. ἔπειτα καὶ τὸ ἀμιγέστατον ἔσται αἰσθητικώτατον, ὥστε καὶ τὸ χωριζόμενον τοῦ ζώου ἔσται αἰσθητικόν. ἔτι εἰ ὁ λόγος αἴτιος τῆς αἰσθήσεως — καὶ γὰρ φθείρεται τῷ διαλύεσθαι τὸν λόγον, ὁ δὲ λόγος ἐν τῇ τῶν πλειόνων μίξει —, ἐκ πλειόνων ἂν εἴη τῶν αἰσθητηρίων ἕκαστον. διὰ τί δὲ ἐκ δύο μόνων αἰσθήσεις; τὸ γὰρ ζῆν ἐν τῷ θερμῷ μᾶλλον, ἡ δὲ αἴσθησις τοῦ ζῆν. ἐξ ἀρχῆς τοίνυν πρὸς τὰς ζητήσεις ἐροῦμεν. ἐν δύο μὲν 44
μόνοις εἶναι τὸ μεταξὺ οὐ κατὰ τὸ φαινόμενον ἀλλὰ κατὰ τὸ φυσικὸν εὔλογον. τῶν γὰρ ἁπλῶν ἡ μὲν γῆ διὰ τὸ στερεὸν καὶ ἀντίτυπον οὐκ εὐπαθὴς οὐδὲ δεκτικὴ τῶν ἀλλοτρίων ὅρων· τὸ δὲ πῦρ ἑτέρως διὰ τὸ δραστήριον καὶ αὐτὸ εἰδοποιόν· ὁ μέντοι ἀὴρ καὶ τὸ ὕδωρ διὰ τὸ εὐόριστον εὐπαράδεκτα καὶ εὐπαθῆ καὶ

Digitized by Google

οἷον εἰδοποιούμενα ῥᾳδίως· ἀκολούθως ἄρα καὶ τὰ αἰσθητήρια ἡμῖν ἐκ τούτων. πῶς οὖν καὶ πύριον καὶ ἡλιοειδὲς ‖ παρὰ τοῖς Πυθαγορείοις τὸ ὀπτικὸν 283
λέγεται αἰσθητήριον; ὡς φωτὸς, φήσω, δεκτικὸν διά τε τοὺς λεπτοὺς καὶ διαυγεστάτους καὶ καθαρωτάτους ὑμένας καὶ διὰ τὰ ἐν αὐτοῖς περιεχόμενα διαφανέστατα ὑγρά· τὸ γὰρ φῶς πύριον εἶδος, οὐχ ὡς σῶμα ἀλλ' ὡς ὑπὸ πυρὸς μετεχόμενον. διὰ μὲν οὖν τὸ εὐόριστον ἐν δύο μόνοις τὸ μεταξύ. εἰ δὲ διὰ τοῦ αὐτοῦ πλείω, τὸ τοῦτο ἔχον καὶ τὰ πλείω εἴσεται ἐν τοῖς μὴ πεπηρωμένοις μηδ' ἀτελέσι ζώοις. καλῶς μὲν γὰρ τοῦτο ὑπὸ τοῦ Θεοφράστου ἀξιοῦται ὅτι διὰ τοῦ αὐτοῦ τὰ πλείω γινώσκεται κατὰ λόγους καὶ κατὰ διαφόρους πρὸς τὰ πλείω λόγους. τὸ δὲ τέλειον τῷ ὄντι ἅπαντας ἔχειν τοὺς λόγους ἀναγκαῖον, εἰ τέλειον εἶναι μέλλει. τέλειον δὲ δηλαδὴ τὸ καὶ τῶν ἐξῃρημένων τῆς αἰσθήσεως μετέχον δυνάμεων, ὡς ἄνθρωπος ὅ γε καὶ τοῦ νοῦ μετειληφώς. τὰ δὲ ὀσφραινόμενα μὲν μὴ ἀκούοντα δὲ ἀτελῆ. εἰ δὲ καὶ τὸ θερμὸν πᾶσι κοινὸν τὸ δὲ ὑγρὸν ἐνίοις, οὐ διὰ τοῦτο μικτὰ ἔσται τὰ αἰσθητήρια· οὐδὲ ὁ ἔξω ἀὴρ ἢ τὸ ὕδωρ μικτὰ ἐν τῇ τοῦ θερμοῦ μεταλήψει γίνεται· ἕως γὰρ ἂν μὴ οὐσιωδῶς μεταβάλλῃ μένει τὰ ἁπλᾶ· εἰ δὲ καὶ μικτὰ, ἀλλὰ τὸ ἐπικρατοῦν ὅμως κατὰ μόνα τὰ δύο. καὶ εἰ ἁπλᾶ οὐκ ἔσται τὸ χωριζόμενον αἰσθητικόν· ἐπειδὴ οὐχ ὡς ἁπλᾶ, ὡς δὲ τοιᾳδε ζωῇ χαρακτηριζόμενα ἦν αἰσθητικά, ἢ στερόμενα εἰκότως ἀναίσθητα. εἰ μὴ ἄρα πλατωνικώτερον καὶ τὰ ὄντως ἁπλᾶ μάλιστα αἰσθητικώτατα, ὄντως δὲ ἁπλᾶ τὰ ἐν ταῖς οἰκείαις μένοντα ὁλότησι. πῶς οὖν ὁ λόγος τῆς αἰσθήσεως αἴτιος; ὁ γὰρ λόγος ἐν τῇ τῶν πλειόνων μίξει καὶ ἐν τῇ πρὸς ἄλληλα αὐτῶν σχέσει. ἢ τοῦτο καὶ αὐτὸς

Digitized by Google

ἐπιλύεται, οὐκ ἐν τῇ τῶν στοιχείων ἀλλὰ ἐν τῇ τοῦ αἰσθητηρίου πρὸς τὰ αἰσθητὰ σχέσει ἀφορίζων τὸν λόγον; κάλλιον δὲ οἶμαι μὴ ἐν σχέσει προηγουμένως τὸν αἰσθητικὸν θεωρεῖν λόγον, ἀλλ᾽ ἐν οὐσίᾳ ζωτικῇ, κριτικῇ τῶν αἰσθητῶν· καὶ τὴν διάλυσιν τοῦ λόγου τῇ ἀνεπιτηδειότητι τοῦ δεχομένου αὐτὸν ὀργάνου ὑποτίθεσθαι· ἀνεπιτήδειον δὲ τίθεσθαι [καὶ] τῇ ἀσυμμέτρῳ τοῦ αἰσθητοῦ προσβολῇ διαλυούσῃ τὴν δεκτικὴν τοῦ λόγου ἐν αὐτῷ ἐπιτηδειότητα. εἰ δὲ καὶ ἡ αἴσθησις τοῦ ζῆν, τὸ δὲ ζῆν ἐν τῷ θερμῷ μᾶλλον, ἔσται καὶ τὸ θερμὸν ἐν τοῖς ἐν ἡμῖν ἁπλοῖς κατὰ τὴν τῆς ζωῆς μετάληψιν ἐπικτήτως· εἰ δὲ καὶ μικτὰ ἀλλ᾽ ἡ ἐπικράτεια, ὥς εἴρηται, κατὰ μόνα τὰ δύο. πάλιν 46
ὁ Ἀριστοτέλης δεικνὺς μὴ εἶναι τῶν κοινῶν ἰδίαν αἴσθησιν τῇ κινήσει φησὶν ἡμᾶς αἰσθάνεσθαι τῶν κοινῶν, καὶ διὰ τοῦτο πλείοσιν αἰσθήσεσι γνωρίζειν οἷον μέγεθος καὶ ὄψει καὶ ἁφῇ. ἄτοπον δὲ ὁ Θεόφραστος εἰ τὴν μορφὴν τῇ κινήσει, μὴ διορισθέντος, οἶμαι . . . δεῖ οὖν οὐχ οὕτω τῇ κινήσει λέγεσθαι γνωριστικοὺς ἡμᾶς εἶναι τῶν κοινῶν, ὡς προηγουμένως μὲν τῆς κινήσεως, κατὰ συμβεβηκὸς δὲ καὶ δευτέρως τῶν ἄλλων, ἀλλ᾽ ὁμοίως μὲν πάντων τῶν κοινῶν, πάντως δὲ ἐπὶ πάντων τῇ κινήσει τοῦτ᾽ ἐστὶν τῷ ἀλλοιοῦσθαι συναισθάνεσθαι. εἰ δὲ κινεῖται ὑπὸ τοῦ μεγέθους ἡ ὄψις, οὐ κατὰ συμβεβηκὸς αὐτοῦ αἰσθάνεται ὡς τοῦ γλυκέος· οὐ γὰρ πάσχει οὐδὲ ἀλλοιοῦται ἡ ὄψις ὑπὸ τοῦ γλυκέος. εἰ δὲ καὶ τὸ μέγεθος ἰδίαν τινὰ εἶχεν αἴσθησιν, κατὰ συμβεβηκὸς ἂν ταῖς ἄλλαις ἦν αἰσθητὸν ὡς τὸ γλυκύ· νῦν δὲ οὐχ οὕτως ἀλλὰ τῷ κινεῖν. οὐκ ἄρα ἔστι τις μεγέθους ἰδία [ὡς] αἴσθησις, ὁμοίως δὲ οὐδὲ τῶν ἄλλων ὅσα κοινά. καὶ ἡ μορφὴ δὲ κινεῖ, καὶ ἧττον διαφαίνεται τὸ ἀπ᾽ αὐτῆς πάθος, ἀλλὰ μᾶλ-

Digitized by Google

*λον ἡ ἐνέργεια τῆς αἰσθήσεως διὰ τὸ εἰδικώτερον τῆς
μορφῆς ἐνεργητικώτερον καὶ στασιμώτερον κινούσης*
47 *τὴν αἴσθησιν. ἐφ' οἷς δέ πως αἰσθανόμεθα ὅ τι
αἰσθανόμεθα, κατὰ τὰ αὐτὰ τῷ Ἀριστοτέλει διατίθησι
τὸν λόγον· τὴν κοινὴν αἴσθησιν βουλόμενος εἶναι
τὴν ἐπικρίνουσαν, τὴν καὶ τῆς ἐνεργείας συναισθανο-
μένην ἑκάστης καὶ τῆς ἀργίας· τῆς γὰρ αὐτῆς τἀ-
ναντία. ἡ δὲ κοινὴ αἴσθησις οὔτε ἡ αὐτὴ ταῖς κατὰ
μέρος οὔτε πάντη ἑτέρα. κατὰ γὰρ τὴν πασῶν συναί-
ρεσιν καὶ τὴν εἰς ἓν ἀμέριστον ἀποκορύφωσιν· διὸ
καὶ ἑκάστη πως συναισθήσεται, ὅτι αἰσθάνεται, οὐχ
ᾗ μεμέρισται ἀλλ' ᾗ συνῆπται τῇ μιᾷ. ἤδη γὰρ χω-
ριστῆς ἐστιν ἀπὸ σωμάτων δυνάμεως εἰς ἑαυτὴν ἐπι-
στρέφεσθαι καὶ ἑαυτὴν γνωρίζειν, σωματοειδεστέρα
δὲ μᾶλλον ἑκάστη καθ' ὃ μεμέρισται, ἐπὶ δὲ τὸ χωρι-
στὸν εἴσι μᾶλλον κατὰ τὴν πρὸς τὰς ἄλλας ἀμέριστον
ἕνωσιν. καὶ γὰρ αὕτη ἡ ἀμέριστος ἕνωσις τοῖς χωρὶς
τῶν σωμάτων προσήκει εἴδεσιν. εἰ δέ, ὡς αὐτὸς καλῶς
ἀξιοῖ, τῆς αὐτῆς τἀναντία κρίνειν, καὶ διὰ τοῦτο καὶ
τὴν ἀργίαν, ἕξει μὲν καὶ ἑκάστη τὸ χωριστόν πως ἀπὸ
τῶν οἰκείων ὀργάνων. οὐ γὰρ ἂν τὸ σκότος ᾐσθά-
νετο ἡ ὄψις ‖ τῷ μὴ πάσχειν τὸ αἰσθητήριον· ἐνερ-* 284
γεῖν γὰρ ἔοικε καὶ μὴ πάσχοντος. μειζόνως δὲ ἡ κοινὴ
48 *καὶ τὰς αὐτῶν τῶν αἰσθήσεων κρίνουσα ἀργίας. διὸ
καὶ ἡ κοινή, ἀλλ' οὐχ ἑκάστη ἑαυτῆς συναισθήσεται
καὶ τῆς οἰκείας ἐνεργείας· εἰ μὲν γὰρ τῆς ἐνεργείας
καὶ τῆς ἀργίας· εἰ δὲ τῆς ἀργίας ἅμα τε ἂν ἀργοίη
καὶ ἐνεργοίη ὡς συναισθανομένη· οὐκοῦν ἀργεῖ μὲν
ὡς μεριστὴ καὶ καθ' ἑαυτήν, ἐνεργεῖ δὲ καὶ καθ' ὃ
ἐξῄρηται τῆς ἰδίας ἐνεργείας καὶ ἀργίας. ὥστε κατὰ
τὴν κοινήν, καθ' ἣν καὶ ἑκάστη, οὐχ ὡς ἑκάστη οὐδὲ
ὡς διῃρημέναι, ἀλλ' ὡς ἡνωμέναι κατὰ τὴν μίαν πα-*

Digitized by Google

σῶν ἕνωσιν, ἧς καὶ τὰ πασῶν τῶν αἰσθήσεων αἰσθητὰ κρίνειν ἔργον ἐν ταὐτῷ καὶ ἀδιαιρέτως, κατὰ τοὺς διαφόρους ἐνεργούσης λόγους. διὸ καὶ ἀριθμῷ μὲν ἓν τὸ κρῖνον καὶ ἀδιαίρετον, τὸ δὲ εἶναι διαιρετον ᾗ κατὰ διαφόρους ἐνεργεῖ λόγους. ἡ δὲ φωνὴ συμφω- 49
νία εἴρηται παρὰ τῷ Ἀριστοτέλει, ἐπεὶ δὴ κατ' ἐνέργειάν ἐστιν αἰσθητὴ ὅταν ἀκούηται· ἀκούεται δὲ ὅταν ἓν γένωνται ἡ φωνὴ καὶ ἡ ἀκοὴ συμφωνήσασαι καὶ συναρμοσθεῖσαι ἀλλήλαις. ἡ γὰρ ὑπερβολὴ τοῦ αἰσθητοῦ λύει ἢ φθείρει τὴν αἰσθητικὴν ἐνέργειαν. ἐν συμμετρίᾳ δὲ ἡ αἴσθησις, καὶ ἡδέα φαμὲν τὰ κατὰ τὴν συμμετρίαν. ἆρα οὖν ὅταν μὴ ἐνεργῇ ἡ αἴσθησις οὐκ ἐν συμμετρίᾳ καθ' ἑαυτήν; ἢ ἐπειδὴ οὐκ ἐνεργεῖ καθ' ἑαυτὴν ἀλλ' ἐν τῇ πρὸς τὰ ἔξω ἀποτάσει καὶ τῇ πρὸς τὰ αἰσθητὰ σχέσει, δῆλον ὡς οὐδὲ τὴν ἐνεργητικὴν ἕξει συμμετρίαν καθ' ἑαυτὴν, τὴν μέντοι κατὰ δύναμιν ἕξει συμμετρίαν; προϋπάρχει γὰρ ἡ δύναμις καὶ καθ' ἑαυτὴν θεωρεῖται. ἀλλὰ ἐπὶ τὰ ἑξῆς ἴωμεν, ἐπ' ἄλλης ἡμῖν ἀρχῆς τὰ λοιπὰ τοῦ πέμπτου βιβλίου ἐπεξεργαζόμενοι.

Περὶ Φαντασίας.

Ἡ φαντασία, περὶ ἧς ἑξῆς ἀκολούθως τῷ Ἀρι- 1
στοτέλει ἐπεξεργάζεται, ὅτι μὲν ἑτέρα αὐτὴ δύναμις παρὰ τὴν αἴσθησιν ἐκ τῶν ἐκείνου ληπτέον· καὶ ὡς

Digitized by Google

διαφέρει καὶ δόξης καὶ πάσης λογικῆς ὑπολήψεως· καὶ ὡς, καθάπερ αἴσθησις ὑπὸ τῶν αἰσθητῶν κινεῖται εἰδῶν ζωτικῶς ἐγειρομένη καὶ κατὰ τῶν οἰκείων λόγων προβολὴν ἐνεργοῦσα, οὕτω καὶ ἡ φαντασία ὑπὸ τῶν αἰσθητικῶν εἰδῶν κινεῖται, τούτοις ὡς ὑποκειμένοις προσεχῶς χρωμένη καὶ περὶ αὐτὰ ἐνεργοῦσα. διὸ καὶ αὕτη σωματοειδὴς ζωὴ καὶ οὐκ ἄνευ τῶν σωματικῶν ἐνεργοῦσα ὀργάνων. ἐπειδὴ καὶ τὰ αἰσθητικὰ εἴδη ὑφ' ὧν κινεῖται ἐκ τῶν ἐν τοῖς αἰσθητηρίοις τελεοῦται ἐμφάσεων. προσθετέον δὲ καὶ τὰ Ἰαμβλίχεια, ὡς πάσαις ταῖς δυνάμεσι τῆς ψυχῆς παραπέφυκεν ἡ φαντασία καὶ πάσας ἀποτυποῦται καὶ ἐκμάττεται τὰς τῶν εἰδῶν ὁμοιότητας καὶ τὰς τῶν ἑτέρων δυνάμεων ἐμφάσεις εἰς τὰς ἑτέρας διαπέμπει, τὰς μὲν ἀπὸ τῆς αἰσθήσεως εἰς δόξαν ἀνεγείρουσα, τὰς δὲ ἀπὸ (τοῦ) νοῦ δευτέρως τῇ δόξῃ προτείνουσα, ἐν αὐτῇ δὲ ἀπὸ τῶν ὅλων τὰ φαντάσματα παραδεχομένη· καὶ ὡς ἰδίως κατὰ τὴν ἀφομοίωσιν χαρακτηρίζεται, ἔν τε τῷ ποιεῖν καὶ ἐν τῷ δέχεσθαι τὰ προσεοικότα ἐν τοῖς νοεροῖς ἢ τοῖς γενεσιούργοις ἢ τοῖς μέσοις ἐνεργήμασιν, ἀποτυπουμένη τε τὰς πάσας τῆς ψυχῆς ἐνεργείας καὶ συναρμόζουσα τὰς ἐκτὸς πρὸς τὰς εἴσω καὶ ἐπιτιθεῖσα ταῖς περὶ τὸ σῶμα κατατεινομέναις ζωαῖς τὰς ἀπὸ τοῦ νοῦ κατιούσας ἐμφάσεις. καθ' ἑαυτὴν ἄρα ἡ φαντασία δύναμις οὖσα τοῦ ἀφομοιοῦν τὰ ἄλλα πρὸς ἑαυτὴν ἐντεῦθεν καὶ ταῖς ἄλλαις συνάπτεται δυνάμεσι, προκατάρχουσα αὐτῶν ταῖς ἐνεργείαις, οὐκ οὖσα πάθος οὐδὲ κίνησις ἀλλ' ἀμέριστος καὶ ὡρισμένη ἐνέργεια, καὶ οὐ κατὰ παραδοχὴν ἔξωθεν ὡς ἡ κηρὸς διαπλαττομένη ἀλλ' ἔνδοθεν καὶ κατὰ λόγον τῶν ἀφομοιωτικῶν προβολῶν εἰς τὴν τῶν φαντασμάτων ἐγειρομένη
2 ἐπίκρισιν. ἀλλ' εἰ καὶ τὰς ἄλλας ἀποτυποῦται ζωὰς

Digitized by Google

κατὰ τὸν Ἰάμβλιχον καὶ αὐτὰς τὰς λογικάς τε καὶ νοερὰς ἐνεργείας, πῶς ἀληθὲς ἔτι τὸ Ἀριστοτελικὸν, τὸ ὑπὸ τῶν αἰσθητικῶν εἰδῶν κινεῖσθαι τὴν φαντασίαν;
285 ἢ, εἰ καὶ ‖ τὰς κρείττους ἀποτυποῦται ἐνεργείας πάσας, ὅμως κατὰ τὰ αἰσθητικὰ ἀπεικονίζεται εἴδη μορφωτικῶς καὶ μεριστῶς καὶ κατὰ τὴν πρὸς τὰ αἰσθητὰ ἀναφορὰν, ὥστε καὶ τὰς κρείττους ἀποτυποῦται ἐνεργείας ἢ ὑπὸ τῶν αἰσθητικῶν κινεῖται εἰδῶν; πῶς οὖν καὶ μὴ παρόντων τῶν αἰσθητῶν κινεῖται ἡ φαντασία; καὶ γὰρ εἰ ὑπὸ τῶν αἰσθητικῶν κινεῖται, ἀλλὰ καὶ ταῦτα παρόντων τῶν αἰσθητῶν προβάλλεται καὶ απόντων ἀπολείπει. ἢ οὐχ ὡς ἡ αἴσθησις παρόντων μόνον κινεῖται τῶν αἰσθητῶν οὕτω καὶ ἡ φαντασία; ἀλλ' ἐπειδὰν ἅπαξ κινῇ δύναται ἀφ' ἑαυτῆς ἐγείρεσθαι καὶ προβάλλειν τὰ φαντάσματα κατὰ τὴν πρὸς τὰ εἴδη κινήσαντα ἀναφορὰν, ἐνίοτε δὲ οὐχ ἅπαξ ἢ δὶς ἀλλὰ πλεονάκις κινηθῆναι δεῖται πρὸς τὸ ἀφ' ἑαυτῆς ὅμοια τοῖς κινήσασι προτείνειν. καὶ τῷ μὲν μορφωτικῷ καὶ μεριστῷ κοινωνεῖ πρὸς τὴν αἴσθησιν, τῷ δὲ καὶ ἀφ' ἑαυτῆς προτείνειν τὰ φαντάσματα καὶ μὴ παρόντων ἔτι τῶν κινούντων ἐξῄρηται τῆς αἰσθήσεως· τῷ δὲ εἰς ἕτερα ἀναφέρειν ἀεὶ καὶ ἀφομοιοῦσθαι πρὸς τὰς διαφόρους ἐνεργείας τῆς ψυχῆς, ταύτῃ πρὸς πάσας τε τῆς ψυχῆς παραπέφυκε τὰς δυνάμεις καὶ κατὰ τὸ ἀφομοιωτικὸν τῆς ψυχῆς ἵσταται ἰδίωμα. ἐν τίνι οὖν ἡ 3
φαντασία, ζητεῖ ὁ Θεόφραστος. οὐδὲ γὰρ ἐν τῷ αἰσθητικῷ, διότι ἀληθοῦς οὔσης τῆς αἰσθήσεως ψευδὴς γίνεται ἐνίοτε ἡ φαντασία· οὐδὲ ἐν τῷ αἰσθητηρίῳ· τὸ μὲν γὰρ ἐν τῷ αἰσθητηρίῳ πάθημα παρόντος συμβαίνει τοῦ αἰσθητοῦ, τὰ δὲ φαντάσματα γίνεται καὶ ἄποντος. λέγω δὴ οὖν ἑτέραν εἶναι δύναμιν τὴν φαντασίαν παρὰ τὴν αἴσθησιν, προσεχῆ δὲ, καὶ διὰ τοῦτο

Digitized by Google

ὑπ' αὐτῆς πως κινουμένην καὶ οἷον μὲν ὑποκειμένοις τοῖς αἰσθητικοῖς χρωμένην εἴδεσιν ἐξ ὧν ἐγείρεται καὶ πρὸς ἃ ἀναφέρει τὰ φαντάσματα, παντοδαπῶς δὲ ταῦτα ποικίλλουσαν τῷ ὑπερανέχειν, καὶ ἀφ' ἑαυτῆς μετὰ τὸ ἅπαξ κινηθῆναι ἐπὶ τὴν διαμόρφωσιν ὡς ἂν ὁρμήσῃ ἐγείρεσθαι, τὰς δὲ ἐμφάσεις τῶν ἀπὸ τῆς φαντασίας προβαλλομένων εἰδῶν δέχεσθαι καὶ τὸ αἰσθητήριον, ὡς οἱ μορφωτικοὶ καὶ μεριστοὶ δηλοῦσι τύποι τὸ χωριστὸν σωμάτων οὐκ ἐμφαίνοντες, καὶ ἐναργῶς δὲ πολλάκις τοῦ σώματος συγκινουμένου ταῖς φαντασίαις καὶ κατ' αὐτὰς διατιθεμένου ἐμφαίνεσθαι σύμφημι καὶ ἐν τῷ αἰσθητηρίῳ τὰ φαντάσματα, ἀλλ' οὐχ ὡς αἰσθητικῷ, διὸ οὐκ ἔξωθεν οὐδὲ ὡς ὑπὸ σωμάτων τινῶν δρώντων μεταβαλλομένῳ, ἀλλ' ὡς τὰ φανταστὰ δεχομένῳ εἴδη. καὶ οὐ θαυμαστόν· ἐπεὶ καὶ τῆς λογικῆς ἡμῶν ἐνεργείας ἐμφάσεις τινὲς εἰς τὸ σῶμα καθήκουσιν, ὡς αἱ συστροφαὶ δηλοῦσι τῶν ὀμμάτων καὶ αἱ τῶν ὀφρύων συναγωγαὶ ἐν ταῖς ζητήσεσι· καὶ εἰ καὶ τὰ στερεὰ ταῦτα συνδιατίθεται μόρια, πολλῷ πρότερον τὸ αἰσθητήριον αὐτὸ ὡς ζωτικώτερον δέχεσθαι τὰ ἴχνη τῆς ζωῆς ἀνάγκη. καὶ γὰρ ἐν οἷς μὲν αἰσθητικὴ μόνως ἐστὶν ἡ ζωή, καὶ τὸ ὄργανον μόνως ἐστὶν αἰσθητικόν, ἐν οἷς δὲ καὶ φανταστικὴ καὶ ὀρεκτικὴ ἢ καὶ λογική, καὶ τὸ ὄργανόν ἐστι πρὸς τὴν τῆς ζωῆς ταύτης ὑποδοχὴν ἐπιτήδειον. δέξεται οὖν καὶ τὰς φανταστικὰς ἐμφάσεις ὡς φανταστικόν, καὶ ψευδεῖς ἐὰν ὦσι ψευδεῖς καὶ αἱ φαντασίαι. καὶ ὥσπερ ἅμα τῶν ἀληθῶν αἰσθανόμενοι δυνάμεθα ψευδεῖς περὶ αὐτῶν προβάλλειν φαντασίας, οὕτως ἑπομένως, ὡς μὲν αἰσθητικὸν τὸ πνεῦμα τὰς ἀληθεῖς ἀπὸ τῶν αἰσθητικῶν δέχεται ἐμφάσεις, ὡς δὲ φανταστικὸν τὰς ψευδεῖς ἀπὸ τῶν αἰσθητῶν τὰς δὲ ἀληθεῖς ἀπὸ τῆς

φαντασίας· ὡς ὅταν ποδιαῖον ὁρῶντες τὸν ἥλιον πολλαπλάσιον τῆς γῆς φανταζόμεθα ταῖς γεωμετρικαῖς ὑπακολουθοῦντες ἀνάγκαις. καὶ οὔτε τοῦ φαντάσματος ἡ αἴσθησις, ἐπειδὴ καὶ τὸ φάντασμα ἐν τῷ αἰσθητηρίῳ, ἀλλὰ ἀπὸ μὲν τῶν αἰσθητῶν ἡ αἴσθησις, τὰ δὲ φαντάσματα ἀπὸ τῆς φανταστικῆς προβολῆς· οὔτε ἀδύνατον ἅμα καὶ ἀληθεῖς καὶ ψευδεῖς περὶ τῶν αὐτῶν, οἷον περὶ ἡλίου, δέχεσθαι τὸ ὑποκείμενον ἐμφάσεις, ἐπειδὴ ἀπὸ διαφόρων δυνάμεων καὶ κατὰ διάφορα ζωῆς εἴδη τὰ ἀντικείμενα δέχεται. καὶ οὐ κωλύεται ἐν ταὐτῷ συμβαίνειν τὰ φαντάσματα καὶ τὸ αἴσθημα κἂν ἀντικείμενα ᾖ, ὡς μὴ τῆς αὐτῆς ὄντα συστοιχίας μηδὲ τῆς αὐτῆς δυνάμεως ἐνεργήματα. ἐπεὶ καὶ ἡ δόξα ἐν ταὐτῷ καὶ ἡ αἴσθησις ἡ περὶ τοῦ ἡλιακοῦ μεγέθους ἀντικειμένως ἔχουσαι. τοῦτο μὲν οὖν ὧδε ἀπολογιζόμεθα, εἴρηται δὲ κἀκεῖνο ὡς οὐ παρόντων ἀεὶ δεῖ τῶν αἰσθητῶν πρὸς τὸ κινεῖσθαι τὴν φαντασίαν, ἀλλ' ἐπειδὰν ἐγερθῇ καὶ ἐν τῇ προβλητικῇ τῆς τοιᾶς μορφῆς. οὐ γὰρ οὕτω, φησί, ληπτέον 4
οὐδὲ ὡσαύτως· ἐριστικὸν γάρ· ἀλλ' ὡς ὑποκειμέ-
286 νην τινὰ δύνα‖μιν, καθάπερ καὶ ἐπὶ τῶν ὑλικῶν. καὶ ὀλίγον προελθὼν ἐπάγει· τάχα δ' ἂν φανείη καὶ τοῦτο ἄτοπον εἰ ὁ νοῦς ἔχει ὕλης φύσιν μηδὲν ὤν, ἅπαντα δὲ δυνατός. οὐχ οὕτω δὲ ληπτέον οὐδὲ πάντα νοῦν, ἀλλὰ δεῖ διελεῖν. ποῖος οὖν καὶ τίς ἡ διαίρεσις; ἡ μὲν γὰρ ὕλη οὐ τόδε τι, ὁ δὲ νοῦς εἰ μὴ οὕτω τί ἂν ἕτερον; κατὰ ἀνολογίαν οὖν καὶ τῇ δυνάμει ληπτέον ἐπὶ τοῦ ψυχικοῦ νοῦ, ὡς γὰρ πρὸς τὸν ἐνεργείᾳ νοῦν, τοῦτ' ἐστὶν τὸν χωριστόν. ἡ μὲν οὖν ὕλη ὡς ἐσχάτη εἰκότως πάντα δυνάμει, οὐ μὴν ἡ αἴσθησις ὡς ἡ ὕλη· εἶδος γὰρ καὶ λέγεται καὶ περιέχουσα κατ' οὐσίαν τῶν αἰσθητῶν λόγους ἡ αἴσθησις. ἕτερον δὲ

Digitized by Google

τρόπον δυνάμει λέγεται τὰ αἰσθητὰ ὡς ὑπ' αὐτῶν κινουμένη πρὸς τὴν προβολήν, καὶ παρόντων καὶ δρώντων αὐτῶν εἰς τὸ αἰσθητήριον δεομένη πρὸς τὴν οἰκείαν ἐνέργειαν. ὁ δὲ ψυχικὸς νοῦς οὔτε ὡς ὕλη οὔτε ὡς ἡ αἴσθησις· καὶ γὰρ εἶδός ἐστι καὶ πάντων εἰδῶν κατὰ τὴν ἑαυτοῦ οὐσίαν περιεκτικός, καὶ ἀφ' ἑαυτοῦ ἐνεργεῖ, καὶ ἐν ἑαυτῷ περιέχει τὰ νοητά· ἀλλὰ διὰ τὴν πρὸς τὴν ψυχὴν συγγένειαν, καὶ διὰ τὴν οὐσιώδη πρὸς αὐτὴν σχέσιν, καὶ διὰ τὴν πρὸς τὸ μεριστόν πως ἀπόνευσιν, αὐτός τε ἀπὸ τῆς ἀκραιφνῶς ἀμερίστου καὶ πάντη ἡνωμένης ὑπέβη νοερᾶς οὐσίας τε καὶ ἐνεργείας, καὶ τὰ ἐν αὐτῷ νοητὰ τῆς ὑπερλάμπρου καὶ αὐτοφανεστάτης ἀπολείπεται τῶν πρώτων νοητῶν ὑποστάσεως καὶ ἡ ἀμφοῖν συνέχεια κεχαλασμένη πώς ἐστιν. ἀλλ' οὐκ ἀκριβὴς ὁποία ἡ ἐν τῷ χωριστῷ ἕνωσις. καὶ διὰ ταῦτα αὐτός τε πρὸς τὴν καθαρῶς ἀμέριστον γνῶσιν τοῦ ἐνεργείᾳ τελεοῦντος δεῖται νοῦ, καὶ τὰ ἐν αὐτῷ νοητὰ τῆς ἀπὸ τῶν χωριστῶν νοητῶν καταλάμψεως, ἵνα τέλεια ἀποτελεσθῇ νοητά. ὅθεν καὶ ὁ Ἀριστοτέλης χρώμασιν αὐτὰ ἀπεικάζει τῆς ἀπὸ τοῦ ἡλίου δεομένοις αὐγῆς. ἥ τε ἀμφοῖν αὐτῶν συναφὴ εἰς τὸ ἀδιαίρετον συναιρεῖται ὑπὸ τῆς συνῃρημένης ἀκραιφνοῦς ἑνώσεως. ταύτῃ οὖν δυνάμει ὁ ψυχικὸς νοῦς ὡς πρὸς τὸν χωριστὸν νοῦν, διότι καθαρῶς ἐκεῖνος ἀμέριστος καὶ ἡνωμένος ἀκραιφνῶς πρὸς τὰ νοητὰ ὑπέρλαμπρα ὄντα καὶ πρῶτα καὶ τέλεια φῶτα καὶ ὡς ὑπὸ τοῦ τοιουτὶ νοῦ τελειούμενος. καὶ τὸ ἄγραφον οὖν γραμματεῖον κατ' ἀναλογίαν ἀπ' αὐτοῦ ἀκουστέον· οὐ γὰρ ὡς μηδ' ὅλως ἔχοντος τὰ εἴδη, ἀλλ', ὥσπερ αὐτὸς νοῦς ἐστὶ δυνάμει, οὐχ ὡς μηδ' ὅλως ὢν νοῦς, ἀλλ' ὡς νοῦς μέν, τοιοῦτος δὲ οἷος τοῦ τελειοῦσθαι ὑπὸ τοῦ πρώτου δεῖσθαι νοῦ· οὕτω

Digitized by Google

καὶ τὰ ἐν αὐτῷ νοητὰ νοητὰ μὲν, ἀλλὰ τοιαῦτα οἷα τῆς ἀπὸ τῶν χωριστῶν δεῖσθαι καταλάμψεως, ἵνα ἀκραιφνῶς ᾖ νοητά. διὸ καὶ χρώμασιν ἀπείκασται, καὶ τὸ γραμματεῖον ὡς πρὸς τὴν τῶν τελείων τούτων εἰδῶν ὑποδοχὴν ἄγραφον εἴρηται. ὀρθῶς ἄρα καὶ ὁ Θεόφραστος ἄτοπον ἀποφαίνεται τὸ ὑλικὴν ἀποδιδόναι φύσιν τῷ νῷ, καὶ τὸ οὕτως ὡς ὕλη μηδὲν εἶναι ἀλλὰ πάντα δυνατόν, καὶ μὴ δεῖν οὕτω λαμβάνειν παρακελεύεται, ζητεῖν δὲ πῶς καθ' ἕτερον τρόπον δυνάμει λέγεται. ὅπως δὲ, πρὸς τὰ πάροντα εἴρηται ἱκανῶς· καὶ ἅμα ὅτι οὐδὲ πᾶς νοῦς δυνάμει, ἀλλὰ ποῖος, διακέκριται. ἀπορεῖ δὲ ἑξῆς ὅπως γίνεται τὰ νοητὰ, καὶ τί τὸ πάσχειν αὐτόν; δεῖ γὰρ, εἴπερ εἰς ἐνέργειαν ἥξει, καθάπερ αἱ αἰσθήσεις. ἀσωμάτῳ δὲ ὑπὸ σώματος τί τὸ πάθος ἢ ποία μεταβολή; καὶ πότερον ἀπ' ἐκείνου ἡ ἀρχὴ ἢ ἀπ' αὐτοῦ· τὸ μὲν γὰρ πάσχειν ἀπ' ἐκείνου δόξειεν ἄν· οὐδὲν γὰρ ἀφ' ἑαυτοῦ τῶν ἐν πάθει. τὸ δὲ ἀρχὴ πάντων εἶναι καὶ ἐπ' αὐτῷ τὸ νοεῖν, καὶ μὴ ὥσπερ ταῖς αἰσθήσεσιν, ἀπ' αὐτοῦ. γίνεται μὲν οὖν τὰ νοητὰ, ἀλλ' οὐκ ἔστιν ὡς ὁ χωριστὸς νοῦς τὰ πράγματα, διὰ τὸ κεχαλασμένον, ὡς εἴρηται τῆς ἑνώσεως· καὶ ἐπειδὴ συνάπτεται μὲν αὐτοῖς ἀκριβῶς ὑπὸ τοῦ ἐνεργείᾳ νοῦ συναιρούμενος, ταύτῃ δὲ καὶ πάσχει πως, διότι ὑπόβας ἀπὸ τῆς καθαρᾶς καὶ πάντῃ ἀμερίστου τῶν χωριστῶν νοητῶν ἑνώσεως καὶ οἷον ἀφοιτήσας διὰ τὴν πρὸς ψυχὴν ὁμοφυΐαν, ὡς ἕτερος ὑφ' ἑτέρων, ὑπό τε τοῦ ἐνεργείᾳ νοῦ καὶ ὑπὸ τῶν ἐν ἐκείνῳ νοητῶν τελειοῦται. ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν τελειοῖ ἀφ' ἑαυτοῦ τε ἐγειρόμενος καὶ ἑαυτὸν συνάπτων τῷ ἐνεργείᾳ νῷ καὶ τὴν ἀπ' ἐκείνου τελειότητα αὐτενεργήτως δεχόμενος, καὶ ἐπειδὴ μὴ παντελῶς τοῦ ἐνεργείᾳ ἐκπεφοίτηται νοῦ, ἀλλὰ, καίτοι ὑπόβας, συνῆπται ὅμως

Digitized by Google

πρὸς ἐκεῖνον ἅτε νοῦς ὢν καὶ αὐτὸς, διὸ καὶ οὐκ ἔξω ποι στρεφόμενος ἀλλ' εἰς ἑαυτὸν εἰσιὼν καὶ πρὸς ἑαυτὸν ὡς ὅτι μάλιστα συναιρούμενος καὶ ὑπὸ τοῦ ἐνεργείᾳ τελειοῦται νοῦ· διὰ ταῦτα τοίνυν ἑτέρως ἢ ὡς αἱ αἰσθήσεις πάσχει, καὶ ὅλως οὐ κυρίως ἀλλὰ καθ' ὁμωνυμίαν πάσχει, ἐνεργεῖ δὲ μᾶλλον· τῇ γὰρ ἑαυτοῦ ἐνεργείᾳ καὶ τὰς ἀπὸ τῶν προτέρων δέχεται τελειότητας καὶ οὐκ ἔξωθεν εἰσδέχεται ἅπερ νοεῖ. ἔστι γὰρ καὶ αὐτὸς τὰ πράγματα τελειωθεὶς δευτέρως, ἡνωμένος τοῖς‖ ἑαυτοῦ νοητοῖς καὶ ἅμα καὶ τοῖς κρείττοσι συνημ- 287
μένος τῷ μὴ ἀπεσπάσθαι τὰ αὐτοῦ τῶν προτέρων. καὶ ἐνεργεῖ μὲν καὶ τὰ νοητὰ εἰς τὸν νοῦν, ὡς καὶ τὰ αἰσθητὰ εἰς τὴν αἴσθησιν, ἀλλ' οὐκ ἔξωθεν ἐπειδὴ μὴ κεχώρισται· διὸ μία ἀμφοῖν τοῦ τε νοῦ περὶ τὰ νοητὰ καὶ τῶν νοητῶν εἰς τὸν νοῦν ἡ ἐνέργεια καθ' ὃ οὐ διέσπασται ἀλλ' ὁ νοῦς ἐστὶ τὰ νοητά. ἔτι δὲ ἐπὶ τῆς αἰσθήσεως τὸ πάθος περὶ τὸ αἰσθητήριον συμβαίνει, ἐπεὶ τὸ πρῶτον αἰσθητικὸν κατ' οἰκείαν τελειοῦται ἐνέργειαν καὶ τὴν ἀπὸ τῶν αἰσθητῶν κίνησιν οὐ παθητικῶς ἀλλ' ἐνεργητικῶς δεχόμενον· μειζόνως δὲ ὁ νοῦς ἀφ' ἑαυτοῦ ἐνεργεῖ καὶ τὴν ἀπὸ τῶν νοητῶν τελείωσιν οὐ παθητικῶς ἀλλ' ἐνεργητικῶς δέχεται· εἰ καὶ δέχεσθαι δεῖ φάναι ἀλλὰ μὴ προάγειν ἀφ' ἑαυτοῦ· ἀφ' ἑαυτοῦ γὰρ ἀρχόμενος τελειοῦται. καὶ ὅλως ἐν τοῖς ἑτεροκινήτοις τὸ πάθος ὡς ἔξωθεν διεγειρομένοις, ἐν δὲ τοῖς πάντα ἔνδοθεν ἐνεργοῦσι καὶ ὅλοις δι' ὅλων ἐνεργητικοῖς ἀδύνατον ὑπονοεῖν τι πάθος εἰ μὴ ὁμωνύμως. καὶ γὰρ τῇ οὐσίᾳ ἐστὶν ἐνέργεια δευτέρως καὶ ὁ δυνάμει νοῦς, αὐτὴ δ' ἡ ἐνέργεια ἀντίκειται τῷ πάθει καὶ οὐκ ἄν ποτε παθητικῶς διατεθείη. καὶ ἁπλῶς δὲ ἐν τοῖς χωριστοῖς σωμάτων ἀσωμάτοις, ὅπερ καὶ αὐτός φησι, τί τὸ πάθος ἢ ποῖα μεταβολή; καὶ τὰ μὲν πάθη

Digitized by Google

ἔξωθεν, ὁ δὲ νοῦς ἀρχὴ καὶ ἀφ' ἑαυτοῦ. πῶς οὖν παθητικός; εἰ γὰρ ὅλως ἀπαθής, φησίν, οὐδὲν νοήσει, τὴν ἀπὸ τῶν νοητῶν τελείωσιν πάθος καλῶν· ἐπεὶ πάντη καθαρεύειν τὸν νοῦν ἀνάγκη. ἐπεὶ δὲ καὶ ἀπὸ τῶν νοητῶν κατ' οἰκείαν τελειοῦται ἐνέργειαν, διὰ τοῦτο κοινότερον ἀλλ' οὐ κυρίως ἂν τοῦ πάθους ἐκείνου ἀκούοιμεν· ἀπαθὲς γὰρ ὁ νοῦς, φησὶν ὁ Θεόφραστος· εἰ μὴ ἄρα ἄλλως ᾖ τὸ παθητικὸν, οὐχ ὡς τὸ κινητικὸν, ἀτελὴς γὰρ ἡ κίνησις, ἀλλ' ὡς ἐνέργεια. ταῦτα δὲ διαφέρει. χρῆσθαι δὲ ἀναγκαῖον ἐνίοτε τοῖς αὐτοῖς ὀνόμασιν. ὁρᾷς ὅτι οὐδ' ἀτελὲς οὐδὲ κατὰ τρόπον ᾗ τινα κίνησιν οὐδὲ ἔξωθεν ἀλλὰ κατ' ἐνέργειαν τὸ πάθος ἀφορίζεται ἐπὶ τοῦ νοῦ. συγγινώσκειν δὲ ἀξιοῖ τῇ τῶν ὀνομάτων χρήσει, διότι ἐκ τῶν αἰσθητῶν καὶ ἐπὶ τὰ νοερὰ μεταφέρομεν τὰ ὀνόματα. ἀξιοῖ δὲ ἀφορίζεσθαι τὸ πάσχειν. καὶ εἴρηται ὅτι κατὰ τὴν ἀπὸ τοῦ κρείττονος ἐνδιδομένην τελείωσιν ἐνεργητικῶς τοῦ δευτέρου τελειουμένου καί πως νοητὸν ὑπὸ νοητοῦ πάσχει. ἐπειδὴ ὡς νοητὸν δεύτερον, τοῦτ' ἐστὶν ὡς ἐνεργητικὸν καὶ ὡς ἄρχον καὶ αὐτενεργήτως ὁριζόμενον ὑπὸ τοῦ κρείττονος, καί πως αὐτὸς ἑαυτὸν τελειοῖ, διότι ὡς εἴρηται καὶ τὰ ἀπὸ τοῦ κρείττονος αὐτενεργήτως δέχεται. καὶ διὰ τί οὐκ ἀεί; ἢ 6
ὁ μὲν νοῦς ἀεὶ ἐνεργεῖ, ἡ δὲ ψυχὴ οὐκ ἀεὶ χρῆται καὶ πάροντι τῷ νῷ ἐν τῇ πρὸς τὰ σώματα στροφῇ; ἐοίκασι δὲ οἱ ἄνδρες οὗτοι, καὶ ὁ Ἀριστοτέλης καὶ ὁ Θεόφραστος, ὅπερ καὶ ἤδη ἔφαμεν, νοῦν ἐνίοτε καὶ πᾶσαν τὴν λογικὴν προσαγορεύειν ζωὴν, ὅπου γε καὶ μέχρι φαντασίας τὸ τοῦ νοῦ διατείνουσιν ὄνομα. καὶ οὕτως εὐλόγως ἂν ἐπὶ τῆς ψυχῆς ζητοίη διὰ τί οὐκ ἀεί; οὐ τῷ μὴ ἔχειν δὴ τὴν δύναμιν ἀλλὰ τῷ πρὸς τὰ δεύτερα καὶ σωματικὰ καὶ ὅλως ἔξω ἑαυτῆς ἀποτείνεσθαι διὰ

Digitized by Google

τὸ ἀμφίβιον τῆς μερικῆς ζωῆς· ἐν γὰρ τῇ εἰς ἑαυτὴν στροφῇ καὶ τῇ πρὸς νοῦν συννεύσει ἡ τελείωσις αὐτῇ, ἐν δὲ τῇ πρὸς τὰ σώματα ῥοπῇ ἡ τοῦ νοεῖν ἀπόστασις. τελεοῦται δὲ καὶ ἡ ψυχὴ ὑφ' ἑαυτῆς τε ἀρχομένη καὶ ἑαυτὴν προσάγουσα τῷ νῷ, καὶ αὐτενεργήτως καὶ τὴν ἀπ' ἐκείνου δεχομένη τελείωσιν· ἐπεὶ, φησὶ, τὸ ὑφ' ἑτέρου κινοῦντος τὴν ἐνέργειαν εἶναι τοῦ νοῦ καὶ ἄλλως ἄτοπον, καὶ πρότερόν τι ποιεῖν ἐστὶν ἕτερον τοῦ νοῦ· καὶ μὴ ἐφ' ἑαυτῷ τὸ νοεῖν εἰ μή τις ἄλλος ὁ κινῶν νοῦς. καὶ ταῦτα ἀληθῆ εἴτε τὴν μετεχομένην ὑπὸ ψυχῆς ἀμέριστον οὐσίαν καλοίη νῦν,
7 εἴτε αὐτὴν τὴν λογικὴν ψυχήν· ἀλλὰ τί τὸ ἐπαγόμενον; εἰ γὰρ ἐνεργῶν, φησὶ, γίνεται τὰ πράγματα, τότε δὲ μάλιστα ἑκάτερόν ἐστι, τὰ πράγματα ἂν εἴη ὁ νοῦς. οὐ μόνον γὰρ τὰ νοούμενα ἀλλὰ καὶ νοῦς τότε μάλιστά ἐστιν ὅταν νοῇ· διὸ ἑκάτερον ἔφη. εἰ οὖν ὅτε τὰ πράγματά ἐστι τότε καὶ νοῦς ἐστὶν, ὁ νοῦς ἂν εἴη τὰ πράγματα. ἆρα οὖν, ὅταν μὴ νοῇ, μὴ ὢν τὰ πράγματα οὐδὲ νοῦς ἐστίν; ἢ ὁ μὲν ὄντως νοῦς καὶ ὁ δυνάμει ὑπὸ ψυχῆς μετεχόμενος νοεῖ, ἅτε ὢν καὶ αὐτὸς, εἰ καὶ δευτέρως. τῇ οὐσίᾳ ἐνέργεια; ἐπὶ δὲ τῆς μερικῆς ψυχῆς ἔχοι ἂν χῶρον ἡ ἀπορία· αὕτη γὰρ καὶ οὐκ ἀεὶ νοεῖ. ἆρα οὖν οὐδέν ἐστι πρὶν νοεῖν; ἢ ἔστι μὲν οἷον ὕλη, εἰδοποιεῖται δὲ ἔξωθεν ἐπιγινομένοις τοῖς πράγμασιν, ὅταν γινώσκῃ. ἀλλὰ καί ἐστί τι πρὶν ἐπίστασθαι ἡ ψυχὴ καὶ οὐκ ἔξωθεν ἀλλ' ἀφ' ἑαυτῆς ἄρχεταί τε καὶ προβάλλει τὰ γνωστὰ καὶ εἰς ἑαυτὴν εἰσιοῦσα εὑρίσκει τὰ πράγματα· καὶ πρὶν οὖν γνῶναί ἐστι τὰ πράγματα, ἀλλ' ἐπειδὴ καὶ ταύτῃ μεμέρισταί πως ἡ ψυχὴ τῷ μὴ τῇ οὐσίᾳ εἶναι ἐνέργειαν, δευτέραν δὲ ἴσχειν καὶ προϊοῦσαν ἀπὸ τῆς οὐσίας ἐπιστημονικὴν ἐνέργειαν, ὥσπερ ἐστὶ καὶ ὅταν μὴ ἐπίστηται, οὕτω

Digitized by Google

καὶ τὰ πράγματά ἐστιν οὐκ ἐνεργητικῶς ἀλλ' οὐσιωδῶς· δεῖ γὰρ καὶ τὰ ἐν αὐτῇ πράγματα συστοίχως τῇ ψυχῇ νοεῖν, οὐ τῷ εἶναι νοούμενα ἀλλὰ τῷ γνωστῶς ἐνεργεῖν· καὶ γνωστὰ ἀποτελούμενα κατὰ τὴν
288 ‖ δευτέραν καὶ προϊοῦσαν ἀπὸ τῆς οὐσίας ἐνέργειαν. εἰ μὴ ἄρα ἐπὶ τῆς ψυχῆς οὐχ ἁπλοῦν οὐδὲ μονοειδὲς οὐδὲ τὸ εἶναι οὐδὲ τὸ ἐνεργεῖν, ἀλλὰ τὸ μὲν μόνιμον τὸ δὲ μεταβαλλόμενον, περὶ μὲν τὴν μένουσαν τῆς μεταβαλλομένης προϊούσης κατ' ἀμφοτέρας τῆς ὅλης θεωρουμένης ψυχῆς καὶ διὰ τοῦτο ἅμα τε μενούσης καὶ μεταβαλλομένης· καὶ ἅμα τε ἀεὶ ἐνεργούσης κατὰ τὴν κρύφιον καὶ συμφυῆ τῇ μονίμῳ οὐσίᾳ ἐνέργειαν καὶ κατὰ τὴν ἔξω προϊοῦσαν καὶ μεταβαλλομένην ζωήν· ὅταν αὐτὴ περὶ τὰ δεύτερα καὶ μεριστὰ ὅλη στρέφηται πρὸς ταῦτα ἐνεργεῖ, δόξῃ μετὰ αἰσθήσεως χρωμένη, ἀλλ' οὐ πρὸς τὰ ἐπιστητὰ, ἅπερ τὰ ἐν αὐτῇ ἐστὶ πράγματα, οὐδὲ ἔτι μᾶλλον πρὸς τὰ νοητὰ, οἷς διὰ τῶν ἐπιστητῶν συνάπτεται κατὰ μίαν οἷον συνέχειαν. καὶ ὅταν δὴ πρὸς τὰ ἐν αὐτῇ μένοντα τὴν προβεβλημένην ἐπανακαλέσηται ζωήν τε καὶ ἐνέργειαν, οὐ περὶ πάντα ἅμα ἐνεργεῖ ἀλλὰ νῦν μὲν ἐνθάδε νῦν δὲ ἄλλα διὰ τὴν μεριστὴν φύσιν. τὸ οὖν δυνάμει καὶ ἐνερ- 8
γείᾳ κατὰ τὴν μεταβολήν· ἢ ὅταν μὴ παρῇ ἡ προϊοῦσα ἐνέργεια καθ' ἣν ἡ ἐπιστήμη, τότε τὴν ταύτης προβλητικὴν τὴν μένουσαν οὐσίαν δυνάμει φαμὲν, οὖσαν δὲ τὰ πράγματα, οὐκ ἐνεργοῦσαν δὲ κατὰ τὴν προϊοῦσαν ἐνέργειαν; κἂν οὖν μὴ πάντα ἅμα, ἄλλοτε δ' ἄλλα γινώσκῃ, οὐ διὰ τοῦτο καί ἐστιν ἄλλοτε ἄλλα, καὶ οὐδέποτε τὰ αὐτὰ, διότι οὐ πάντοτε μεταβάλλεται, ἀλλ' ἔστι τι καὶ τὸ μένον ἐπὶ τῆς ψυχῆς καθ' ἃ ἀεὶ ἕστηκεν ἐν αὐτῇ τὰ πράγματα; καὶ γὰρ ἄτοπον, φησὶ, εἰ δυνάμει μὲν ὢν μηδὲν ἔστιν ἐνεργείᾳ, (ἐνεργείᾳ δ'

Digitized by Google

ὧν ἐστιν ἕτερος), ἕτερος δὲ ὅταν μὴ ἑαυτὸν νοῇ, τῷ
δὲ ἄλλο καὶ ἄλλο νοεῖν οὐδέποτε ὁ αὐτός. ἄκριτος
γάρ τις αὕτη γε καὶ ἄτακτος ἡ φύσις ἄριστ' ἂν ἐλέγ-
χοι τοὺς δυνάμει πάντα καὶ μηδὲν εἶναι καθ' αὑτὸν
(τὸν) νοῦν ὑποτιθεμένους. πρῶτον μὲν γὰρ ὅταν μὴ
νοῇ οὐδὲν ἔσται· ἔπειτα δὲ καὶ νοῶν, ὅταν ἄλλα καὶ
μὴ ἑαυτὸν νοῇ, ἕτερόν τι ἔσται καὶ οὐκ αὐτὸς, ἄλλοτε
ἄλλὸς καὶ ἀεὶ μεταβαλλόμενος. διὸ, φησὶν, οὐχ οὕτω
ληπτέον, ἀλλ' ὡς ἐλέχθη πρότερον ἐν οἷς ἠξίου κατὰ
ἀναλογίαν ἀκούειν τὸ δυνάμει καὶ ἐνεργείᾳ, καὶ μὴ
ὡς ἐπὶ τῆς ὕλης οὕτω καὶ ἐπὶ τοῦ νοῦ· τόδε γάρ τι
9 εἶναι τὸν νοῦν· μηδὲ μὴν ὡς ἐπὶ τῆς αἰσθήσεως·
αὕτη μὲν γὰρ, ὡς καὶ νῦν ἐπάγει, οὐκ ἄνευ σώματος,
ὁ δὲ χωριστός· διὸ τῶν ἔξω προελθόντων οὐ δεῖται
πρὸς τὴν τελείωσιν. καὶ ὅταν ἄρα μὴ γινώσκῃ ἡ ψυχὴ
ἐνεργείᾳ πάντα ἐστὶ κατὰ τὴν μένουσαν καὶ οὐσιώδη
τελειότητα, ἐλλείπει δὲ ἡ κατὰ προβολὴν ἐνέργεια,
διὸ δυνάμει ὡς πρὸς ταύτην· καὶ ἐπειδὴ συμφυής
ἐστι τοῖς ἐπιστητοῖς, ὅταν ὁτιοῦν ἐπίστηται ἐνερ-
γείᾳ οὖσα ὅπερ τὸ ἐπιστητὸν οὐχ ἑτέρα ἐστὶν ἑαυ-
τῆς, διότι αὐτὴ κατὰ τὰ ἐπιστητὰ πάντα οὐσίωται.
ἀλλὰ δὴ φαίνεται καὶ γινομένη πως. ὅταν γὰρ οὕ-
τως ἕκαστα γένηται ὡς ἐπιστήμων κατ' ἐνέργειαν
λέγεται, τοῦτο δὲ συμβαίνειν φαμὲν ὅταν δύνηται δι'
αὑτῆς ἐνεργεῖν, ἐστὶ μὲν οὖν καὶ τότε δυνάμει πως,
10 οὐ μὴν ὁμοίως καὶ πρὶν μαθεῖν καὶ εὑρεῖν. ὑπὸ τί-
νος οὖν ἡ γένεσις καὶ πῶς; εἴτε οὖν ἕξεως καὶ δυνά-
μεως εἴτε οὐσίας. ἔοικε δὲ μᾶλλον ἕξεως, αὕτη δὲ
οἷον τελεοῦν τὴν φύσιν. γίνεται μὲν οὖν πως ἡ ψυ-
χὴ, ἐπειδὴ μὴ ἔστι μονοειδὴς ὡς τὰ νοερὰ, μηδὲ κα-
θαρῶς μόνιμος· ἅμα δὲ μένει καὶ ἔμφυτον ἔχει τὴν
μεταβολὴν, ἀμφίβολός τέ ἐστι διὰ τὴν μεσότητα καὶ

Digitized by Google

τὴν ἐν κινήσει ἀφοριζομένην ζωήν. διὸ καὶ εἰς ἄγνοιαν ὑποφέρεται κατὰ τὴν εἰς τὸ χεῖρον ῥοπὴν καὶ τῇ ἐπιστήμῃ αὖ τελειοῦται κατὰ τὴν ἐπὶ τὸ κρεῖττον στροφήν· διὸ καὶ ἀτελής ποτε γίνεται καὶ τελεία, ὅταν μὲν ἀγνοοίη ἀτελὴς, καὶ διὰ τοῦτο δυνάμει, ἐπειδὴ τὴν τοῦ γνῶναι δύναμιν ἔχει καὶ τότε. ὅταν δὲ ἐπίστηται τελεία, διὸ ἐνεργείᾳ μὲν τὸ ἐνεργεῖν ἡ τελειότης. ἐπεὶ δὲ καὶ ὅταν ἐπίστηται οὐ πάντως ἐνεργεῖ, δυνάμει μέν ἐστι καὶ τότε, οὐ μὴν ὁμοίως ὥσπερ καὶ πρὶν μαθεῖν ἢ εὑρεῖν, ἅτε τὴν ἕξιν ἤδη ἀπειληφυῖα καὶ τελεώσασα τὴν τῶν ἐπιστημονικῶν ἐνεργειῶν προβλητικὴν δύναμιν· ὑπὸ τίνος οὖν, φησίν, ἡ γένεσις, εἴτε ἕξεως καὶ δυνάμεως εἴτε οὐσίας; τοῦτ' ἔστιν, πότερον καθ' ἕξιν μόνον καὶ δύναμιν ἐν
τῇ ψυχῇ ἡ μεταβολὴ ἢ καὶ κατ' οὐσίαν; ἐπεὶ οὖν ἀπὸ 11
τῆς οὐσίας αἵ τε ἕξεις καὶ ἐνέργειαι, ἀδύνατον ὑποτίθεσθαι τὴν οὐσίαν μένουσαν πάντῃ ἀμετάβλητον καὶ ἀεὶ ἀμεταβλήτως ἔχουσαν, ποτὲ μὲν τελείων καὶ ἀγαθοειδῶν ἐνεργειῶν εἶναι ἀποδοτικὴν, ποτὲ δὲ ἀτελῶν καὶ διεστραμμένων· αἱ γὰρ οὐσίαι τῶν ἐνεργειῶν αἴτιαι, καὶ ὁποῖαι ἂν ὦσιν αἱ ἐνέργειαι τοιοῦτον ἡμῖν καὶ τῆς δυνάμεως καὶ τῆς οὐσίας τὸ εἶδος συλλογίζεσθαι παρέχονται. εἰ δὲ διττὴν ἐν ἡμῖν οὐσίαν νοοῖτό τις καὶ διττὰς δυνάμεις τε καὶ ἐνεργείας, καὶ τὰς μὲν ἀεὶ τελείας, τὰς δὲ ποτὲ μὲν ἀτελεῖς ποτὲ δὲ τελείας οἰηθείη, εἰ μὲν διεσπασμένας, πολλὰ ζῷα τὸ ἓν ποιήσει καὶ παντελῶς ἀποστήσει τὴν κρείττονα οὐσίαν, ὡς μήτε ἄρχουσαν τῆς ζωῆς μήτε κοινόν τι ἔχουσαν, εἴ γε κατὰ τὴν δευτέραν τὸ παρὰ μέρος ἀτελές τε καὶ τέλειον, ἐν ᾧ ἡ ἀνθρωπεία ὁρίζεται ζωή. εἰ δὲ σχέσεις λέγων διττὰς ἢ λόγους ἢ ζωὰς τὴν ἕνωσιν τοῖν
289 δυοῖν ‖ ἀναιροίη, ἵνα μὴ χορῷ ἢ ἄλλῳ πλήθει προσεοι-

Digitized by Google

κὸς τὸ ἡμέτερον συνέχηται εἰς ἓν πάντα καὶ πρὸς μίαν συμφύηται ἀρχὴν, τὸ ἓν τοῦτο ζητήσομεν, πότερον μονοειδές ἐστι καὶ ἀκήρατον πάντη καὶ ἀμετάβλητον. ἀλλ' οὕτω πάλιν οὐδεμία ἔσται ποτὲ ἐν ταῖς ψυχαῖς ἢ κατ' οὐσίαν ἢ κατ' ἐνέργειαν ἀτέλεια ἢ κακία ἢ πάθος· ἀκολουθοῦσι γὰρ τῇ οὐσίᾳ καὶ αἱ ἐνέργειαι. ἀλλ' οὐδὲ πάντη μεταβαλλόμενον οἷόν τε συγχωρεῖν·
12 διαμένει γὰρ ἡ ζωὴ ἐν ταῖς μεταβολαῖς. ἄμφω ἄρα κατὰ τὸν Ἰάμβλιχον ἡ μερικὴ ψυχὴ ἐξ ἴσου συνείληφε, καὶ τὸ μόνιμον καὶ τὸ μεταβαλλόμενον, ἵνα καὶ ταύτῃ ἡ μεσότης σώζηται. τὰ μὲν γὰρ κρείττω μόνιμα μόνον, τὰ δὲ θνητὰ πάντῃ μεταβλητά. ἡ δὲ μερικὴ ψυχὴ, ὡς μέση πᾶσι τοῖς περικοσμίοις γένεσι συμμεριζομένη τε καὶ συμπληθυνομένη, οὐ μόνον μένει ἀλλὰ καὶ μεταβάλλει τοσαύτας διαζῶσα μεριστὰς ζωάς. καὶ οὐ κατὰ τὰς ἕξεις μόνας ἀλλὰ καὶ κατὰ τὴν οὐσίαν μεταβάλλει πη· ὃ δὴ, οἶμαι, καὶ αὐτὸς ἐνδεικνύμενος ἔοικε μᾶλλον, φησὶν, ἕξεως· διαφαίνεται μὲν γὰρ ἡ κατὰ τὰς ἕξεις μεταβολὴ καὶ τελείωσις. διὸ μᾶλλον αὐτὸ τὸ μᾶλλον φάναι ἠνίξατο καὶ τὴν κατὰ οὐσίαν τελείωσιν. διὸ καὶ ἐπάγει· αὕτη δὲ οἷον τελεοῖ τὴν φύσιν τοῦ ἐνεργοῦντος, δηλαδὴ ὡς οὐ πρότερον οὖσαν τελείαν· οὐδὲ γὰρ ἂν πάντη τελείας οὔσης τῆς οὐσίας ἀτελὴς ἦν ἥ τε ἕξις καὶ ἡ ἐνέργεια ἀπὸ μόνης προϊοῦσα
13 τῆς οὐσίας. ἐφεξῆς δὲ καὶ αὐτὸς, ὥσπερ ὁ Ἀριστοτέλης, τιθέμενος ἔνια μὲν ἄϋλα τῶν εἰδῶν, ἐφ' ὧν ταὐτὸν αὐτό τε ἕκαστον καὶ τὸ εἶναι αὐτῷ· τὸν γὰρ λόγον καὶ τὸ εἶδος τὸ εἶναι δηλοῖ, αὐτὸ δὲ τὴν ὅλην ὑπόστασιν, ἐπὶ δὲ τῶν ἀΰλων κατὰ μόνον καὶ τὸ εἶδος καὶ τὸν λόγον ἡ ὅλη ὑπόστασις· ἔνια δὲ ἔνυλα, ἐφ' ὧν ἕτερον αὐτὸ καὶ τὸ εἶναι αὐτῷ· κατὰ γὰρ τὸ συναμφότερον αὐτὸ, τὸ δὲ εἶναι πάλιν κατὰ τὸ εἶδος

Digitized by Google

ἐπειδὴ ἀμφοτέρων θεωρητικὸς ὁ δυνάμει νοῦς, ζητεῖ, πῶς ἑκάτερα, καὶ πῶς τὰ ἐν ὕλῃ καὶ ἀφαιρέσει· καὶ γὰρ αὐτὰ τὰ ἔνυλα ἢ κατὰ τὸ συναμφότερον ἢ κατὰ μόνον θεωρεῖ τὸ εἶδος. διακέκριται μὲν οὖν ταῦτα σαφέστερον παρὰ τοῖς γνησίοις τοῦ Ἀριστοτέλους ἐξηγηταῖς, τῷ τε Ἰαμβλίχῳ καὶ τῷ Νεστορίου Πλουτάρχῳ φημί. μνηστέον δέ τι καὶ ἡμῖν δι' ὀλίγου τὰ ζητούμενα διευκρινοῦσι· φημὶ τοίνυν, τὸν δυνάμει νοῦν, τόν τε μετεχόμενον ὑπὸ τῆς ψυχῆς καὶ αὐτὴν τὴν λογικὴν, ὅταν καθαρῶς τῷ λόγῳ χρῆται καὶ μὴ σὺν αἰσθήσει καὶ φανταστικῶς εἰς τὰ ἔξω ἀποτείνηται, τὰ ἐν αὐτῇ θεωροῦσαν εἴδη καὶ τοὺς ἐν αὐτῇ ἀΰλους λόγους, κατὰ τούτους καὶ τὰ ἄϋλα καὶ τὰ ἔνυλα θεωρεῖν; τὰ μὲν κατὰ ταὐτότητα καὶ τὴν πρὸς ἄλληλα τῶν ἀΰλων ἕνωσιν, τὰ δὲ ὡς ἀπ' αἰτίας τὰ πρὸς τὴν αἰτίαν ὅμοια. ὡς γὰρ ὁ ἐνεργείᾳ νοῦς ἑαυτὸν νοῶν καὶ τὰ μεθ' ἑαυτὸν ἅπαντα γινώσκει, ἅτε αὐτὸς ὢν τὰ αἰτιώδη πράγματα καὶ ἀπὸ αἰτίων τούτων καὶ τὰ αἰτιατὰ κρειττόνως ἢ ἔστιν ἐκεῖνα νοῶν, οὕτω καὶ ὁ δυνάμει νοῦς δευτέρως ἀπὸ τῶν ἐν αὐτῷ προσεχῶν αἰτίων γινώσκει τὰ ἔνυλα, ἄϋλα μὲν εἰδὼς ἐν αὐτῷ, αἴτια δὲ τῶν ἐνύλων. γινώσκει δὲ τὰ ἔνυλα οὐχ ὡς 14
ἡ αἴσθησις· αὕτη μὲν γὰρ ὡς μερικὰ κατὰ τὰς ποιότητας, οἷον ὡς θερμὰ ἢ ψυχρὰ ἢ λευκὰ ἤ τι τοιοῦτον. ὁ δὲ νοῦς καὶ ἡ λογικὴ ζωὴ τὰς οὐσίας κατὰ τὰ τῶν ἐνύλων κοινὰ εἴδη. ἆρα οὖν ὅτι θερμὸν τὸ πῦρ οὐκ εἴσεται; ἢ καὶ αἱ ποιότητες καὶ τὰ συμβεβηκότα πάντα ἀπὸ τῆς ἑκάστης προΐασιν οὐσίας; διὸ ὁ τὴν οὐσίαν εἰδὼς νοῦς καὶ τὰ συμβεβηκότα κρειττόνως (ἐκ) τῶν τῆς οὐσίας γνωρίσει λόγων. ἀλλὰ τὸ προκείμενον πῶς ἑκάτερα γινώσκει ἡ ψυχὴ τά τε ἄϋλα, φημὶ, καὶ τὰ ἔνυλα; ἢ, ὡς εἴρηται, ἄμφω μὲν κατὰ τοὺς ἐν αὐτῇ

 Digitized by Google

λόγους, ἀλλὰ τὰ μὲν ὡς σύστοιχα τοῖς ἐν ἑαυτῇ ἢ καὶ
ὡς κρείττω, τὰ δὲ ὡς αἰτιατά; τὰ δὲ ἐν ἀφαιρέσει
ἐστὶ μέν πως τὰ αὐτὰ τοῖς ἐνύλοις εἴδεσιν, ἐπινοεῖται
δὲ καθ' αὑτά, τοῦτ' ἐστὶν οὐ μετὰ τῆς ὕλης· ἐπεὶ
οὐδὲ ὑφέστηκε χωριστῶς οὐδὲ νοεῖται ὡς χωριστῶς
οὐσιωμένα. ἀλλ' ὅταν μὲν μετὰ τῆς ὕλης αὐτὰ γινώ-
σκωμεν. τότε ὡς ἔνυλα, ὅταν δὲ εἴδη μόνον, εἰδότες
ὅτι ἐν ὕλῃ καὶ οὐκ ἄλλως ὑφέστηκε, τότε ἐξ ἀφαιρέ-
15 σεως. ἆρα οὖν ἑτέρῳ ἢ ἑτέρως ἔχοντι κρίνει τά τε
ἄϋλα καὶ τὰ ἔνυλα, καὶ τὰ ἐν ὕλῃ αὖ καὶ τὰ ἐξ ἀφαιρέ-
σεως, ἢ τῷ αὐτῷ καὶ ὡσαύτως ἔχοντι; ἢ ἄμφω ἀληθῆ;
καὶ γὰρ τὸ αὐτὸ τῶν διαφόρων ἐστὶ κριτικόν, τὸ νοη-
τικόν φημι, καὶ ὡσαύτως ἔχον, κατὰ γὰρ τοὺς οἰκεί-
ους λόγους. καὶ ἑτέρῳ δέ πως καὶ ἑτέρως ἔχοντι, διότι ἢ
ὡς αἰτίους θεωρεῖ τοὺς οἰκείους λόγους ὅταν ἀπ' αὐτῶν
τὰ ἔνυλα θεωρῇ ἢ ὡς συστοίχους τοῖς ἀΰλοις, ἢ ὡς αἰτι-
ατοὺς τῶν νοερῶν εἰδῶν, καὶ κατὰ τοῦτο ἑτεροιουμένοις
16 καὶ ἑτέρως ἔχουσιν. ὅλως δὲ ὡς χωριστὰ τὰ πράγματα
τῆς ὕλης, οὕτω καὶ περὶ τὸν νοῦν ἀμφότερα ἀποφαίνον-
ται ὅ τε Ἀριστοτέλης καὶ ὁ Θεόφραστος. ἢ τοῦτο δηλοῦν-
τες, ὅτι, ὥσπερ τὰ ἔνυλα εἴδη τῇ ἐπινοίᾳ μόνῃ χωρίζεται
τῆς ὕλης, καὶ ταύτῃ ἑτέρῳ καὶ ἑτέρως ἔχοντι κρίνεται,
ὡς μόνῃ ἀποδιαλαμβανόμενα τῇ ἐπινοίᾳ, οὕτω καὶ τοῦ
δυνάμει νοῦ κατὰ μόνην ἐπίνοιαν χωρίζεται τὰ εἴδη·
ἐπεὶ κατ' οὐσίαν ἀεὶ σὺν τοῖς εἴδεσιν ὑπάρχει ἵνα καὶ
ὅπως δυνάμει λέγηται καὶ μηδὲν ἐνεργείᾳ ἐπιστήσω-
μεν ὅτι κατὰ μόνην ἐπίνοιαν. ἦ οὖν τοῦτο σημαίνου-
σιν; οὕτω γὰρ ἐξηγεῖται Πλούταρχος. ἢ ὅτι, ὥσπερ
τὰ χωριστὰ τῆς ὕλης τὰ μέν ἐστιν ὄντως χωριστὰ ὡς
τὰ ἄϋλα, τὰ δὲ || κατ' ἐπίνοιαν ὡς τὰ κατ' ἀφαίρεσιν, 290
οὕτω καὶ νοεῖται ἄμφω, τὰ μὲν ὡς ὄντως χωριστά, τὰ
δὲ εἰ καὶ τῇ ἐπινοίᾳ χωρίζεται ἀλλ' οὐκ ἂν ἄλλως ἢ

Digitized by Google

ἐνύλως ὑφεστῶτα; ἢ μᾶλλον ἐκεῖνο, ὅτι τὰ περὶ τὸν
νοῦν οὕτω θετέον, ὥσπερ τὰ χωριστὰ καὶ ἄϋλα διατι-
θέμεθα. ἵνα μὴ κατ' ἐπίνοιαν ἀλλὰ κυρίως τὸ χωρι-
στὸν ἀκούσωμεν. ὡς γὰρ τὰ ἄϋλα εἴδη ὄντως χωριστά,
οὕτω καὶ ὁ νοῦς χωριστός· καὶ γὰρ πρὸ τῶν ἐνύλων
τὰ ἄϋλα εἴδη ὑφεστάναι τε ἀνάγκη καὶ νοητῶς ὑφε-
στάναι, ἅτε μεριστὰ ὄντα καὶ ζωῆς ὅλα δι' ὅλων καὶ
γνώσεως ἡνωμένης πλήρη· ἡ γὰρ ἀζωΐα καὶ ἡ ἄγνοια
κατὰ στέρησιν, ἡ δὲ στέρησις ἐν τῇ πρὸς ὕλην μίξει.
ἐπεὶ οὖν νοερὰ τὰ ἄϋλα δῆλον ὡς καὶ ἐν νῷ. καὶ ὁ
νοῦς αὐτός τέ ἐστιν ἄϋλος καὶ τοῖς αὔλοις συνουσιώ-
ται εἴδεσιν, εἴ γε ἀμέριστός ἐστιν ἥ τε ζωὴ καὶ ἡ γνῶ-
σις εἰς ἑαυτὴν ἐστραμμένη καὶ ἐν ἑαυτῇ τὰ ὄντα εὑρί-
σκουσα. ἐπεὶ δὲ καὶ ἐν τοῖς ὄντως χωριστοῖς καὶ
αὔλοις πράγμασι διαφορά τίς ἐστι καθ' ὑπόβασιν —
τὰ μὲν γὰρ πάντα ἀμέριστα, τὰ δὲ μετά τινος ἀνελί-
ξεως, τὰ δὲ μέσα ὡς ἀμέριστα μὲν ὁριστικὰ δὲ τῶν
ἀνελιττομένων — οὕτω καὶ νοῦς πρῶτον μὲν ὁ ἐνερ-
γείᾳ χωριστὸς, δευτέρως δὲ ὁ δυνάμει ὢν μετεχόμενος
ὑπὸ ψυχῆς τῆς [αὕτη ἡ] λογικῆς· καὶ γὰρ αὕτη, εἰ
καὶ μετὰ ἀνελίξεως ἀλλὰ καὶ συνάγει καὶ εἰς τὸ ἀμέ-
ριστον συναιρεῖται, ἀφ' ἑαυτῆς τε ἄρχεται καὶ ἐν αὐτῇ
θεωρεῖ τὰ ὄντα, καὶ αὐτὴ ἄρα χωριστὴ καὶ τῶν χωρι-
στῶν ἐστὶ πλήρης λόγων. πάλιν δὲ ὑπομιμνήσκει φι- 17
λοσοφώτατα ὁ Θεόφραστος ὡς καὶ αὐτὸ τὸ εἶναι τὰ
πράγματα τὸν νοῦν καὶ δυνάμει καὶ ἐνεργείᾳ ληπτέον
οἰκείως, ἵνα μὴ ὡς ἐπὶ ὕλης κατὰ στέρησιν τὸ δυνά-
μει, ἢ κατὰ τὴν ἔξωθεν καὶ παθητικὴν τελείωσιν τὸ
ἐνεργείᾳ ὑπονοήσωμεν, ἀλλὰ μηδὲ ὡς ἐπὶ αἰσθήσεως,
ἔνθα διὰ τῆς τῶν αἰσθητηρίων κινήσεως ἡ τῶν λόγων
γίνεται προβολή, καὶ αὕτη τῶν ἔξω κειμένων οὖσα
θεωρητική. ἀλλὰ νοερῶς ἐπὶ νοῦ καὶ τὸ δυνάμει καὶ

Digitized by Google

τὸ ἐνεργείᾳ εἶναι τὰ πράγματα ληπτέον· καθ᾽ ἕνωσιν
μὲν ἀμέριστον καὶ ὅρον ἀκραιφνῆ καὶ τελειότητα ἡνω-
μένην τὸ ἐνεργείᾳ· ἔστι γὰρ ὁ ἐνεργείᾳ νοῦς τὰ πρά-
γματα οὐ κατὰ μέθεξιν οὐδὲ διῃρημένως, οὐδὲ ὡς ἄλ-
λος, ἀλλ᾽ οὐδὲ ὡς ὁριζόμενος ὑπ᾽ αὐτοῦ ἢ τελειούμε-
νος· ὡς δὲ αὐτὸς ὢν τὰ πράγματα καὶ ὁ πάντων ὅρος
καὶ ἡ τελειότης. κατὰ δὲ τὴν μεθ᾽ ἑτερότητος συνα-
φὴν καὶ τὴν εἰς τὸ ὁριζόμενόν πως καὶ τελειούμενον
ὑπόβασιν τὸ δυνάμει, διαφανέστερον μὲν ἐπὶ τῆς λο-
γικῆς ψυχῆς τῆς ἑτερότητος ἐκφαινομένης, ὡς καὶ ἡ
θεωρία αὐτῆς δηλοῖ μετὰ ἀνελίξεως συναιρουμένης
τοῖς γνωστοῖς· οὐδὲ αὐτὴ πάντη μερισθεῖσα οὔτε δια-
στᾶσα τῶν πραγμάτων· οὐ γὰρ ἂν εἰς τὸ ἀμέριστον
συνῃρεῖτο, οὐδὲ ἂν ἐφ᾽ ἑαυτῆς καὶ ἐν ἑαυτῇ ἐθεώρει
τὰ γνωστά· ἀλλ᾽ οἷον κεχαλασμένην ἔχουσα τὴν πρὸς
τὰ πράγματα ἕνωσιν, διὸ καὶ ἤρτηται τοῦ ἀκραιφνοῦς
ἡνωμένου, καὶ ταύτῃ δυνάμει. διαφανέστερον μὲν
οὖν ὁ χαλασμὸς οὗτος ἐπὶ τῆς ψυχῆς, ἤδη δὲ καὶ ἐπὶ
τοῦ μετεχομένου ὑπ᾽ αὐτῆς νοῦ, διὰ τὴν ὑπόβασιν,
καὶ μετεχομένου καὶ τοῦ ἡνωμένου καὶ παντελῶς ἀμε-
ρίστου ὅρου ἀπῃωρημένου, καὶ ὑπ᾽ ἐκείνου κατὰ οὐσί-
αν τελειουμένου, ὃ δυνάμει. ἀλλ᾽ ἐπεὶ καὶ αὐτὸς
ἀμέριστος καὶ οὐ κατὰ ἀπόστασιν οὐδὲ διὰ παντελοῦς
ἑτερότητος ἀπὸ τοῦ πρώτου ὑπέβη, διὰ τοῦτο οὔτε ὡς
ἑτεροκίνητος οὔτε ὡς ὑφ᾽ ἑτέρου τελειοῦται, ἀλλ᾽ ἑαυ-
τὴν καὶ τῷ ἐκείνου τελειοῖ ὅρῳ, ὡς δεύτερον ὢν ὅπερ
ἐκεῖνος, καὶ κατὰ δευτέραν τινὰ καὶ πρὸς ἐκεῖνον
ἡνωμένος ἕνωσιν. οὕτως οὖν οἰκείως τὸ δυνάμει ἐπὶ
18 τοῦ νοῦ ληπτέον. καί μοι δοκεῖ ἐπισημήνασθαι κἀν-
ταῦθα τὸ δεῖν οἰκείως λαμβάνειν ὑπειδόμενος τὸ ἄγρα-
φον γραμματεῖον, ἐνταῦθά που ὑπὸ τοῦ Ἀριστοτέ-
λους ὡς παράδειγμα τοῦ δυνάμει νοῦ προφερόμενον,

Digitized by Google

ἵνα καὶ τὸ ἄγραφον ὡς ἐν νῷ θεωρῶμεν, ἔχοντι μὲν
κατ' οὐσίαν τὰ εἴδη καὶ τέλεια ἔχοντι, ἀπὸ δὲ τοῦ
πρώτου νοῦ τελειουμένῳ καὶ ἐντελεχαίᾳ γραφομένῳ.
τὸ γὰρ ἀμέριστον καὶ ἡνωμένον τῆς τελειότητος ἐκεῖ-
θεν δυνάμει νοῦς, ὡς κατὰ ὑπόβασιν μὲν καὶ μετά
τινος ἑτερότητος, ἀλλ' ἐγειρόμενος ἐφ' ἑαυτοῦ εἰς τὴν
ἀπὸ τοῦ πρώτου νοῦ ἀμέριστον τελειότητα· τοιοῦτον
γὰρ τὸ νοερὸν δυνάμει· ἐντελεχείᾳ δὲ οὐδὲν πρὶν
νοεῖν, τοῦτ' ἐστὶν οὐκ ἀμεριστῶς οὐδὲ ἡνωμένως, πρὶν
ὑπὸ τοῦ πρώτου τελειωθῆναι· τὸ δὲ πρίν, εἰ καὶ ἐπὶ
τῆς ψυχῆς ἀλλ' οὔτι γε ἐπὶ τοῦ μετεχομένου νοῦ, χρο-
νικῶς ἀκουστέον, κατὰ δὲ τὴν ὕφεσιν καὶ τὸν ἐπινο-
ούμενον χωρισμὸν καὶ κατὰ τὴν αὐτοῦ ἰδιότητα. ὡς
γὰρ ὑφειμένος καὶ ὡς αὐτὸς ὁ δυνάμει νοῦς οὔπω ἐν-
τελέχεια, ἀλλ' ᾗ τῷ πρώτῳ συνάπτεται ὑπ' ἐκείνου
τελειούμενος, μᾶλλον δὲ κατ' ἐκεῖνον ἑαυτὸν τελειῶν.
ἐπὶ δὲ τούτοις ἐκθέμενος τὰ Ἀριστοτέλους, ἐν οἷς ἐκεῖ- 19
νος τὰ χωριστὰ καὶ τὰ ἄϋλα εἰς ταὐτὸν ἄγει τῷ νῷ,
ἐν δὲ τοῖς ἐνύλοις δυνάμει ἕκαστον εἶναι τῶν νοητῶν
καὶ τούτοις μὴ ἐνυπάρχειν τὸν νοῦν, ἐπιαρθροῖ τε τὰ
εἰρημένα καὶ ἐπαπορεῖ τινά. ἵνα οὖν καὶ τούτων σα-
φέστερον ἀντιλαβώμεθα, τὸ Ἀριστοτέλους ἡμῖν προ-
291 διαρ||θρωτέον ὡς οἷόν τε διὰ βραχέων. ἐπειδή φησίν,
τὰ μέν ἐστιν ἐν ὕλῃ τὰ δὲ ἄνευ ὕλης, ὁποῖα αἱ ἀσώ-
ματοι καὶ χωρισταὶ οὐσίαι; ἐν μὲν τοῖς χωριστοῖς ταὐ-
τόν ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον. ὅ τε γὰρ νοῦς
μὴ ἔξω ἀποτεινόμενος ἀλλ' ἐν αὐτῷ μένων νοεῖ τὰ
πράγματα, διὸ ὁ αὐτὸς τοῖς νοητοῖς· τά τε ἄϋλα πάντα
ἀμέριστα ὄντα καὶ ζωῆς καὶ γνώσεως πλήρη νοερὰ τυγ-
χάνει ὄντα· ἐπεὶ καὶ τὰ μὲν αἰσθητὰ διὰ τὸν ὑλικὸν
διασπασμὸν ἑτέροις ἐστὶν αἰσθητά, ἑαυτοῖς δὲ ἔνια
οὐδαμῶς· τὰ δὲ ἄϋλα νοητὰ ὄντα καὶ ταύτῃ τῶν αἰ-

Digitized by Google

